φέρει ἔπαινος ἐγκωμίου, ἢ τὸ ἀληθὲς τοῦ πιθανοῦ. οἱ γὰρ ὡς φρονοῦσιν οὕτως ἀποφαινόμενοι ἐπί τινων μετ' εὐφημίας, οὗτοι ἔπαινον λέγουσι, τῷ κεκτῆσθαι τὴν ἀρετὴν οὐ διὰ τοῦ λόγου μαρτυρίαν μόνον παρεχόμενοι, ἀλλὰ καὶ τὴν τῆς γνώμης συγκατάθεσιν. ἀμέλει οἱ παλαιοὶ καὶ τὸ συγκατατίθεσθαι μόνον ἔπαινον ἐκάλουν, ὡς παρ' Ὁμήρῳ, οἱ δ' ἐπῄνεον. τὸ δ' ἐγκώμιον μιμεῖται μὲν τοῦ ἐπαίνου τὴν εὐφημίαν, οὐ μὴν ἔχει γε τὴν συγκατάθεσιν ἀληθῆ παρὰ τῆς ψυχῆς τοῦ τὸ ἐγκώμιον διεξιόντος. ἀμέλει ὅταν χύτρας ἐγκωμιάζωμεν ἢ ψήφους, ὡς Πολυκράτης, οὐ πάντως καὶ τεθαυμακότες τὴν χύτραν ἢ τὰς ψήφους ἐπαινοῦμεν, ἀλλὰ γυμνάζοντες ἑαυτοὺς πιθανοῖς τισι λόγοις. οἰκεῖαι δὲ τῷ μὲν ἐγκωμίῳ δόξαι καὶ εὐδοξίαι, τῷ δ' ἐπαίνῳ κλέος καὶ εὔκλεια· δόξα μὲν γάρ ἐστι τὸ προειρημένον. οἱ οὖν ἐγκωμιάζοντες εἰκότως ταῖς δόξαις τῶν πολλῶν χρῶνται πιθανότητος ἐπιμελούμενοι, κλέος δέ ἐστιν ἔπαινος κεκριμένος παρὰ σπουδαίων γιγνόμενος, καὶ ἡ εὔκλεια ἐπίτασις πάλιν τοῦ προειρημένου. οἱ γοῦν ἐπαινοῦντες * ἀλλὰ τὸ ἀληθὲς ταῖς τῶν σπουδαίων κρίσεσι συγκατατίθενται. ἀντίκειται δὲ πάλιν τῷ μὲν ἐγκωμίῳ ψόγος, τῇ δὲ δόξῃ ἀδοξία. ψόγος μὲν οὖν ἐστιν ὁ τῷ ἐγκωμίῳ ἀντικείμενος λόγος κατηγορίαν ἔχων, ἀδοξία δέ ἐστιν ἐπίτασις τοῦ προειρημένου. διὸ πάλιν οἱ τὸν ψόγον μεταχειριζόμενοι ταῖς ἀδοξίαις καὶ ταῖς κακοδοξίαις προσχρῶνται. τῷ δὲ ἐπαίνῳ ἀντίκειται ψόγος, ὁμώνυμος μὲν ἐκείνῳ τῷ ψόγῳ, ὃς ἀντέκειτό μοι τῷ ἐγκωμίῳ, ὡς δηλοῦσιν οἱ ὅροι· ψόγος γάρ ἐστιν ὁ τῷ ἐπαίνῳ ἀντικείμενος λόγος, κατηγορίαν τὴν ἀπὸ κακίας ἔχων. δύσκλεια δὲ ὁ τῷ κλέει ἀντικείμενος λόγος, παρὰ σπουδαίοις γιγνόμενος, ἐπίτασιν προσειληφώς. διὸ πάλιν οἱ μεταχειριζόμενοι τὸν ψόγον τὸν ἀντικείμενον τῷ ἐπαίνῳ ταῖς κρίσεσι τῶν σπουδαίων συγκατατίθενται, πανταχοῦ τὸ ἀληθές, οὐ τὸ πιθανὸν

www.libtool.com.cn
Digitized by Google

ζητοῦντες. ἔνιοι δὲ οὕτως ὁρίζονται, ἔπαινος μέν ἐστι λόγος ἐμφανίζων μέγεθος ἀρετῆς, ἐγκώμιον δὲ λόγος ἐμφανίζων πράξεις καλάς, καὶ ὅτι τοὺς μὲν θεοὺς ἐπαινοῦντες τὴν παροῦσαν ἀρετὴν πειρώμεθα σεμνύνειν, ἐγκωμιάζομεν δὲ ἀνθρώπους, οἷον τοὺς ἐν Μαραθῶνι μαχεσαμένους ἢ ἐν Σαλαμῖνι· πράξεις γὰρ ἀποφαίνομεν καλάς. καὶ τὴν εὐλογίαν δέ φασιν εἶδος ἐπαίνου, δυνάμενον καὶ ἐν ποιήμασι καὶ ἐν μέλεσι λέγεσθαι, καὶ μὴ πάντως ἐν λόγοις. περιαυτολογίαν δ' ἔπαινον ἀπ' αὐτοῦ τινος γιγνόμενον περὶ αὐτοῦ, οἷον τὸ τοῦ Ἀχιλλέως παρὰ τῷ ποιητῇ, οἷον

οὐχ ὁράᾳς οἷος κἀγὼ καλός τε μέγας τε.

πῶς δ' ἄν τις ἑαυτὸν ἀνεπαχθῶς ἐπαινέσειεν, ἐν τοῖς ἑξῆς δηλωθήσεται. ὕμνον δέ φασιν ἔπαινον εἶναι θεοῦ. ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν, ἀφ' ὅσων θεὸς ἐπαινεῖται.

ΑΠΟ ΠΟΣΩΝ ΔΕΙ ΘΕΟΝ ΕΠΑΙΝΕΙΝ.

Λέγοις ἂν οὖν, ὅτι ὁ μὲν φιλόσοφος λόγος περὶ θεοῦ φησιν, ὅτι ὁ θεὸς ἀγέννητόν ἐστι καὶ ἀνώλεθρον ἀεὶ ὤν, 337 Πλάτων δὲ καὶ τὸν τοιοῦτον ἔοικε προσῖεσθαι λόγον, ὅτι γεγόνασι θεοὶ ὑπὸ τοῦ πρώτου θεοῦ, ὥστε καὶ τὸν κοινὸν λόγον ἐνδέχεσθαι· ἀπ' ἐκείνου γὰρ τοῦ λόγου ὁδὸς πρόεισιν ἐπὶ τοὺς γεννητοὺς θεούς. σοὶ δ' ἔστι καθισταμένων τῶν λόγων ἀμφοτέροις προσχρῆσθαι λέγοντι κατὰ τὸν Πλάτωνα, ὅτι τὸ μὲν εἰδέναι τὰ πάντα θεοῦ, τῶν δ' ἀνθρωπίνων λόγων ὁ μὲν σοφώτερος, ὁ δὲ καὶ κοινότερος, καὶ πρῶτον λέγοις ἂν τὸν σοφώτερον, διότι καὶ καθόλου ἐστὶ περὶ θεοῦ φύσεως, δεύτερον δὲ τὸν τῶν πολλῶν, εἴτε εἷς εἴη εἴτε καὶ πλείους· περὶ γὰρ θεοῦ οἱ πλεῖστοι τῶν ἀνθρώπων τὴν αὐτὴν δόξαν ἔχουσιν, ἀλλὰ τῶν αὐτῶν θεῶν γενέσεις ἄλλαι καὶ τὰ ἔθη καὶ τὰ ὀνόματα διάφορα, καὶ δὴ τὰ παρ' ἑκάστοις λεγόμενα, Ἕλλησί τε καὶ βαρβάροις, δεῖ λέγειν περὶ τοῦ γένους,

www.libtool.com.cn

Digitized by Google

καὶ ἐνταῦθα περὶ ἀρχαιότητος καὶ νεότητος, τουτέστι περὶ ἡλικίας τοῦ θεοῦ. οἱ μὲν γὰρ παλαιότεροι, οἱ δὲ νεώτεροι λέγονται τῶν θεῶν. περὶ δὲ τινῶν καὶ ἀμφισβητεῖται, οἷον περὶ τοῦ Ἡρακλέους [ἀλλ'] ἄλλως οἱ Αἰγύπτιοι, ἄλλως δὲ Ἕλληνες λέγουσι· ἔτι τίσι τῶν 5
ἄλλων ὁ αὐτὸς εἶναι θεὸς δοκεῖ, καὶ πόσων θεῶν δύναμιν εἰς ἑαυτὸν ἀφαιρεῖται, οἷον λέγουσι τὸν αὐτὸν εἶναι Ἥλιον καὶ Ἀπόλλω, καὶ Σελήνην καὶ Ἄρτεμιν καὶ Ἑκάτην τὴν αὐτήν. εἶθ' ὡς ὑπὸ πάντων ἐθνῶν ἢ ἐνίων τιμᾶται· οὐ γὰρ πάντες παρὰ πᾶσι νομίζονται, ἀλλ' ἄλ- 338
λοι παρ' ἄλλοις. ἐὰν μὲν οὖν παρὰ πᾶσιν ὁ θεὸς τυγχάνῃ 11
τιμώμενος, τοῦτ' αὐτὸ μέγιστος ἔπαινος· ὑπὸ γὰρ πάντων, ὃ δὴ σπάνιόν ἐστι, φήσεις τιμᾶσθαι· ἐὰν δὲ ὑπὸ τινῶν, τὰ νομίζοντα αὐτὸν ἔθνη ἐπαινεῖν χρὴ καὶ ἀποδεικνύειν, ὅτι ἤτοι τὰ ἐμφανέστατα, ἢ τὰ ἀλκιμώτατα, 15
ἢ τὰ πρεσβύτατα, ἢ τὰ βασιλικώτατα ἔθνη, ἢ τὰ εὐνομώτατα, ἢ ὅ τι ἂν ᾖ τῷ ἔθνει προσὸν ἀγαθόν, τοῦτον ἐνόμισε θεὸν καὶ κατεστήσατο. εἶτα καὶ ἀπὸ τῆς τῶν μὴ τιμώντων αὐτὸν διαβολῆς ἐπαινεῖσθαι, καὶ ἐὰν μὲν ὑπὸ Ἑλλήνων ᾖ τιμώμενος, ὑπὸ δὲ βαρβάρων μή, λέγοις 20
ἄν, ὅτι ὁ θεὸς τοῦτο ἐξέφυγεν, ὅπερ καὶ οἱ Ἕλληνες βάρβαροι νομισθῆναι. εἶτ' ἀπὸ τῶν συμβαινόντων· ἀνάγκη γὰρ ἐκείνων μιαιφόνων ὄντων καὶ αὐτὸν χραίνεσθαι, καὶ ἀπὸ τῶν ἄλλων ὁμοίως ἀδίκων. ἐὰν δὲ καὶ πας' ἃ βαρβάροις, ὥσπερ καὶ ὁ Ἀπόλλων ὁμοίως παρὰ 25
Λυδοῖς, λέξεις ὅτι οὐδὲ οἱ βάρβαροι τὸν θεὸν ἠγνόησαν. εἶτα ἀφ' ὧν πλάσσεται. εἶτα τὴν δύναμιν αὐτοῦ ἥ τις ἐστί, καὶ ἐπὶ τίνων ἔργων, ἔνθα δὴ καὶ περὶ ἀρχῆς δεῖ λέγειν τοῦ θεοῦ. εἶτα ποῖός τις, τῶν οὐρανίων, τῶν ἐναλίων, τῶν ἐπιγείων, καὶ ἐξῆς τὸ ἄστυ καὶ τὸ χωρίον 30
ἐπαινοῖτο ἄν. εἶτ' ἐπὶ ποίας τέχνης λέγεται, καὶ πότερον μιᾶς ἢ πασῶν ἢ πολλῶν, ὥσπερ Ἀθηνᾶ ἐπὶ πασῶν εἶναι 339
τῶν τεχνῶν, καὶ ὁ Ζεὺς ἐπὶ μαντείας καὶ ὁ Ἀπόλλων.

www.libtool.com.cn
Digitized by Google

εἶθ' ὅσα κατώρθωται διὰ τῆς τέχνης, ἣν μεταχειρίζεται καὶ ἧς προέστηκεν. εἶτα τίνα εὑρήματα ἐγένετο τοῦ θεοῦ ἢ λέγονται. εἶτα εἴ τινα ἐν θεοῖς αὐτοῦ ἢ πρὸς θεοὺς ἔργα, ὥσπερ τῷ Διῒ ἡ ἀρχή, καὶ τῷ Ἑρμῇ ἡ κηρυκεία. εἶτα ποταπὸς πρὸς τοὺς ἀνθρώπους ἐφάνη, ἔνθα δὴ ἡ φιλανθρωπία. εἶτα τίνα αὐτοῦ ζῶα ἱερά, τίνα δένδρα, τίνα χωρία, καὶ εἴ τινες ἐπιδημίαι καὶ ξενίαι ἀντὶ τῆς ὑποδοχῆς δοθέντα καὶ μετὰ τίνων θεῶν ἐστιν, ὡς Ἀπόλλων μετὰ τῶν Μουσῶν.

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

XIX.

ΑΛΕΞΑΝΔΡΟΥ

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΑΛΕΞΑΝΔΡΟΥ
ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΔΙΑΝΟΙΑΣ ΚΑΙ ΤΗΣ ΛΕΞΕΩΣ ΣΧΗΜΑΤΩΝ.

Tom. VIII Walz. p. 421.

I.

α'. Ἔστι μὲν οὐχ ἡ τυχοῦσα δυσκολία περὶ τῶν τοῦ λόγου σχημάτων εἰπεῖν· καὶ γὰρ αὐτὰ τῷ πλήθει δυσπόριστά ἐστι τῶν μὲν καὶ ἄπειρα φασκόντων εἶναι τὰ σχήματα, τῶν δὲ οὐκ ἄπειρα μέν, πολλὰ δὲ καὶ ἀπερίληπτα, καὶ πρὸς τούτῳ γε οὐ ῥᾴδιον διακρῖναι το σχῆμα ἀπὸ τοῦ τρόπου, καὶ τὰ τῆς διανοίας καὶ τῆς λέξεως ἀπ' 422 ἀλλήλων· ὅμως δέ, ὡς ἂν οἷόν τε ᾖ, πειρασώμεθα περὶ 11 αὐτῶν διεξελθεῖν, τά τε ὑπὸ τῶν ἀκριβέστερον περὶ αὐτῶν γεγραφότων παραδεδομένα τιθέντες καὶ διακρίνοντες αὐτὰ ἀπ' ἀλλήλων, ὡς δυνατόν, τά τε κατὰ τὴν διάνοιαν καὶ τὴν λέξιν, χωρὶς μὲν τὰ τῆς διανοίας, χω- 15 ρὶς δὲ τὰ τῆς λέξεως τάττοντες· προεκθέμενοι δὲ τὴν πρὸς τοὺς τρόπους καθόλου τῶν σχημάτων διαφορὰν καὶ τὴν πρὸς ἄλληλα τῶν τε τῆς διανοίας καὶ τῆς λέξεως οὕτως εἰς τὸν περὶ αὐτῶν τρεψόμεθα λόγον. διαφέρει τοίνυν σχῆμα τρόπου, ὅτι ὁ μὲν τρόπος περὶ ἓν ὄνομα 423 γίνεται ἀρετή, ὥσπερ ὁ βαρβαρισμὸς κακία, τὸ δὲ σχῆμα 21 περὶ πλείω ὀνόματα κόσμησις, ὡς ὁ σολοικισμὸς ἀκοσμία, ὥστε τὴν αὐτὴν εἶναι διαφορὰν βαρβαρισμοῦ τε πρὸς σολοικισμὸν ὡς ἐν κακίᾳ, καὶ τρόπου πρὸς σχῆμα ὡς ἐν ἀρετῇ λόγου· καθάπερ γὰρ ἐν μὲν τῷ βαρβαρισμῷ 25

Digitized by Google

ὄνομα διορθοῦμεν, ἐν δὲ τῷ σολοικισμῷ σύνταξιν ὀνομάτων, οὕτω τὸν μὲν τρόπον εἰς τὸ σύνηθες μεταβάλλοντες ὀνόματος εἰς ὄνομα ποιησόμεθα τὴν μετάθεσιν, τὸ δὲ σχῆμα εἰς τὸ κατὰ φύσιν μεταποιοῦντες τὴν σύν-
5 ταξιν μετακινήσομεν. ἔτι δὲ διαφέρει καὶ ταύτῃ σχῆμα τρόπου, ὅτι ὁ μὲν τρόπος ἀλλότριον ἀντὶ τοῦ ἰδίου ὄνομα ἔχει· τὴν γὰρ τροπὴν ἐκ τοῦ κυρίου λαμβάνει, οἷον κορυφὴν ὄρεος καὶ πόδα νείατον Ἴδης, τὸ δὲ σχῆ-
424 μα τὸ ἴδιον ὄνομα τοῦ πράγματος σώζει, πῶς μέντοι
10 κείμενον καὶ ὑπ' αὐτῆς τῆς λέξεως πεπλασμένον· μενούσης γὰρ τῆς κυρίας λέξεως τοιῶσδε εἰλημμένης ἀποτελεῖται, ὡς ἔχει τὸ ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς. τούτοις μὲν οὖν ἢ ἀμφοτέροις ἢ τῷ ἑτέρῳ σχῆμα τοῦ τρόπου διενήνοχε, τὸ δὲ τῆς λέξεως
15 σχῆμα τοῦ τῆς διανοίας διαφέρει, ὅτι τὸ μὲν τῆς λέξεως κινηθείσης τῆς λέξεως τῆς συσχούσης τὸ σχῆμα ἀπόλλυται, οἷον ἀλλ' ἢ τούτους μεταπεμπτέον, ἢ ἄλλην μὴ ἐλάττω στρατιὰν ἐπιπεμπτέον· εἰ γὰρ
425 ἀντὶ τοῦ ἐπιπεμπτέον ἀποσταλτέον εἴποι τις,
20 ἀπόλλυται τὸ σχῆμα τῆς παρονομασίας· τοῦ δὲ τῆς διανοίας σχήματος, κἂν τὰ ὀνόματα κινῇ τις, κἂν ἑτέροις ὀνόμασιν ἐξενέγκῃ, τὸ αὐτὸ πρᾶγμα μένει, ὁμοίως δὲ κἂν ἡ σύνταξις κινηθῇ ἢ προστεθῇ καὶ ἀφαιρεθῇ τι, λύεται τὸ σχῆμα τῆς λέξεως. τὸ γοῦν ἐπὶ σαυτὸν κα-
25 λεῖς, ἂν οὕτως ἐξενέγκῃ τις, καλεῖς ἐπὶ σαυτὸν καὶ τοὺς νόμους, λέλυται· καὶ τὸ καίμοι μὴ θορυβήσῃ τις, ἔστι μὲν προδιόρθωσις, εἰ δὲ αὐτὸ οὕτως ἐξενέγκῃ, ἀλλὰ μὴ θορυβήσῃ τις, οὕτω γενέσθαι, δέομαι μεθ' ἡσυχίας ἀνασχέσθαι μου, μένει τὸ αὐτὸ σχῆμα· ἡ γὰρ
426 διάνοια οὐδὲν πάσχει τῶν ὀνομάτων τρεπομένων. τοιαύ-
31 τη μὲν οὖν ἐν τούτοις ἐστὶν ἡ διαφορά.

www.libtool.com.cn

Digitized by Google

β'. ΟΡΟΣ ΣΧΗΜΑΤΟΣ.

Σχῆμα δέ ἐστιν ἐξάλλαξις λόγου ἐπὶ τὸ κρεῖττον κατὰ λέξιν ἢ κατὰ διάνοιαν ἄνευ τρόπου. ὅτι μὲν οὖν ἐξάλλαξις, δῆλον· ὅτι γὰρ οὐκ ἐπ' εὐθείας ἐκφέρεται ὁ λόγος, γίνεται διὰ τοῦτο σχῆμα, πρόσκειται δὲ τὸ ἐπὶ τὸ κρεῖττον, ὅτι καὶ ὁ σολοικισμὸς ἐξάλλαξίς ἐστι λόγου, ἀλλ' ἐπὶ τὸ χεῖρον. ἵν' οὖν ἡ διαφορὰ σχήματός τε καὶ σολοικισμοῦ φαίνηται, διὰ τοῦτο πρόσκειται ἐπὶ τὸ κρεῖττον, τὸ δὲ ἄνευ τρόπου πρόσεστιν, ἐπεὶ καὶ ὁ τρόπος ἐξάλλαξις λόγου ἐστὶ κατὰ λέξιν. οὗτος μὲν οὖν ὁ ὅρος κοινὸς ἀμφοτέρων τῶν σχημάτων τῶν τε τῆς λέξεως καὶ τῶν τῆς διανοίας, ὁρίζονται δέ τινες καὶ ἰδίᾳ ἑκάτερον τῶν σχημάτων, τὸ μὲν τῆς διανοίας οὕτω, σχῆμά ἐστι διανοίας μετάπλασις διανοήματος ἐκ τοῦ κατὰ φύσιν πλάττουσα πρὸς τὸ χρησιμώτερον τὴν ἀναγκαίαν διάνοιαν, τὸ δὲ τῆς λέξεως ** χρείας χάριν. τοιαύτη μέν τις ἔννοια τοῦ τε κοινοῦ σχήματος, καὶ τοῦ τῆς διανοίας καὶ τῆς λέξεως, λέγωμεν δὲ πρότερον περὶ τῶν τῆς διανοίας σχημάτων μικρὰ προειπόντες πρὸς τοὺς ἀναιροῦντας αὐτὰ καθάπαξ· φασὶ γάρ τινες οὐδὲν ἴδιον ἔχειν τὸ σχῆμα τῆς διανοίας· μηδὲ γὰρ εὑρεῖν εἶναι ῥᾴδιον λόγου ἀσχημάτιστον, καὶ τοῦτο κατὰ ἀνάγκην οὕτως ἔχειν· ὁ γὰρ λόγος ἐκ διατυπώσεως τῆς ψυχῆς ἐστιν, οὗ χάριν καὶ εὑρέθη, τὰς μορφὰς αὐτῆς καὶ τὰ πάθη καὶ συνόλως τὰ κινήματα ἐξοίσειν, ψυχὴ δὲ ἀεικίνητόν ἐστι καὶ πλείστους λαμβάνει σχηματισμούς, λόγου χάριν ὁριζομένη, νουθετοῦσα, βουλευομένη, τῶν ἄλλων τῶν περὶ ψυχὴν συμβαινόντων ἕν τι πάντως πάσχουσα ἢ δρῶσα, ὥστε κατὰ τὸ τῆς ψυχῆς μίμημα ὁ λόγος ἕν τι πάντως σχῆμα ἕξει. ἔστι δὲ πρὸς ταῦτα πρῶτον ἡμῖν ἐκεῖνο εἰπεῖν, ὅτι εἰ μὴ ἦν διανόημα τὸ μὲν κατὰ φύσιν, τὸ δὲ ἐσχηματισμένον, οὔτ' ἂν τῶν ἰδιωτῶν οἱ ῥήτορες διέφε-

www.libtool.com.cn
Digitized by Google

ρον οὔτ' ἀλλήλων, ταὐτὰ οἱ μὲν ἁπλούστερον καὶ ἄνευ κόσμου τινὸς μετὰ λόγου λέγοντες, οἱ δὲ ἐναργέστερον καὶ οὐ μετὰ ἀκοσμίας· δῆλον γὰρ ὅτι τοῦ ἰδιώτου ὁ ῥήτωρ τῇ πλάσει τῶν σχημάτων διενήνοχε, καὶ οἱ ῥήτορες τῶν ῥητόρων τῷ τοὺς μὲν ἐπ' ὀλίγον καὶ ἀκαιρότερον, τοὺς δὲ πλεῖον καὶ κατὰ καιρὸν τοῖς σχήμασιν χρῆσθαι. ἔπειτα δὲ κἀκεῖνο λέγοι τις ἄν, ὅτι καὶ ἡ ψυχὴ κατ' ἀνάγκην μὲν διηνεκῶς ἐσχημάτισται, ἔστι δ' ὅμως καὶ ψυχῆς κατὰ φύσιν τινὰ κινήματα καὶ παρὰ φύσιν ἐπί τε τῆς καθεστώσης καὶ φρονούσης καὶ ἐπὶ τῆς ἐν πάθεσιν
429 οὔσης, ἀφ' ἧς οἱ παθητικοὶ λόγοι. οὕτω δὴ οὖν καὶ ὁ λόγος ἔστι μὲν [ἢ] κατὰ φύσιν ἢ κατὰ συνήθειαν ἐσχηματισμένος, ὃν οὔπω φαμὲν εἶναι σχῆμα, ἔστι δέ τις καὶ παρὰ ταῦτα ὁ πεπλασμένος, ὃν ἐσχηματίσθαι λέγομεν. ἔτι τοίνυν, εἰ καὶ τοῦτο δοίη τις, ὅτι πᾶς λόγος ἴδιόν τι σχῆμα ἔχει κατὰ φύσιν, ἀλλ' ὅ γε πολιτικὸς καὶ συγγραφικὸς οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ μίμησιν ἐκείνου γίνεται. σημεῖον δὲ τοῦ λεγομένου τὸ τοιοῦτον, ἔστι τις λόγος κατὰ φύσιν ἀνθολκήν τινα ψυχῆς ἐμφαίνων, οἷον ποίαν ἔλθω, ταύταν ἢ κείναν; τοῦτον οὔπω σχῆμα ἔχειν λέγομεν, διὰ τί; ὅτι κατὰ φύσιν ἐξενήνεκται καὶ ἀληθῶς ὁ λέγων ἀπορεῖ. ἔστι δὲ λόγος ἕτερος κατὰ μίμησιν τούτου γεγονώς, ἔχων καὶ αὐτὸς ἀνθολκὴν οὕτως, ἢ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ καίαν εἴτε ἄγνοιαν εἴτε ἀμφότερα ταῦτα εἰπεῖν, τοῦτον μὲν δὴ σχῆμα ἔχειν φαμέν· οὐκ ἀπορῶν γὰρ ὁ λέγων αὐτὸς προσποιεῖται ἀπορεῖν καὶ μιμεῖται τὸν ἀποροῦντα ἐξ εὐθείας εἰπεῖν φυλαττόμενος. ταῦτα
430 ἂν οὖν τις ἔχοι λέγειν πρὸς τοὺς ἀναιροῦντας τὰ σχήματα τῆς διανοίας, ὅτι κἂν πᾶς λόγος σχῆμα ἴδιον ἔχῃ [καὶ] κατὰ φύσιν, τό τε καθ' ὁμοιότητα τούτου πανουργεῖσθαί τινα καὶ πλάττεσθαί τινα λόγον οὐδεὶς ἂν εἴποι.

Digitized by Google

τὸ πλαττόμενον οὖν τοῦτον τὸν τρόπον ἐξαιρέτως σχῆμα καλεῖται, καὶ ἡμεῖς περὶ τούτου ποιούμεθα τὸν λόγον, ἀλλ' οὐ περὶ παντὸς τοῦ ὁπωσοῦν ἐσχηματισμένου λόγου. οὐ μὴν ἀλλ' ὅτι ἴδια μέν ἐστι τὰ κατὰ φύσιν σχήματα τοῦ λόγου, ἴδια δὲ τὰ κατὰ τὴν τέχνην, ἐκεῖνο σημεῖον ἂν εἴη, ὅτι πᾶν σχῆμα, τοῦτο δὴ περὶ οὗ καὶ λέγομεν, μετάγειν ἐστὶν εἰς τὸ κατὰ φύσιν, τοῦτο δὲ ἐπ' ἐνίων μὲν ἐναργέστατα φαίνεται, ὡς ἐπὶ τῆς εἰρωνείας καὶ ἀλληγορίας καὶ ὑπερβολῆς, ἐπ' ἐνίων δὲ δυσόριστόν ἐστιν, ὥσπερ ἐπὶ τῆς ἐρωτήσεως καὶ ἐπὶ πύσματος καὶ διαπορήματος. ταὐτὰ λέγειν ἐστὶ καὶ πρὸς τοὺς τὰ τῆς λέξεως σχήματα ἀναιροῦντας, ὡς πάσης συνθέσεως λέξεως ἴδιόν τι σχῆμα ἐχούσης καὶ οὐδὲν κατὰ τὴν πλάσιν οὐδ' ἐξαίρετον· καὶ γὰρ ὅτι διαφέρει πλάσις ῥητορικὴ τῆς τῶν ἰδιωτῶν ἐστι λέγειν, καὶ ὅτι ῥήτορες ῥητόρων ἄμεινον φράζουσι, καὶ ὅτι ἴδια σχήματα κατὰ φύσιν συνθέσεως λέξεώς ἐστι, καὶ τὰ ἀπὸ τούτων κατὰ μίμησιν γινόμενα κατὰ τέχνην τῶν ῥητόρων, καὶ ὅτι ἔστι τὰ σχήματα τῆς λέξεως εἰς τὸ κατὰ φύσιν μετάγειν τὰ μὲν εὐχερῶς καὶ ῥᾷον, τὰ δὲ δυσκολώτερον. ἑωραμένων δὲ τούτων καὶ ἔτι περὶ τῆς χρείας, ἣν παρέχεται τὰ σχήματα, εἰπόντες περὶ αὐτῶν λοιπὸν ποιησόμεθα τὸν λόγον. ἔστι τοίνυν χρεία τῶν σχημάτων κατὰ τρόπους πλείονας· ἐπίτασιν γὰρ δύναται τῶν πραγμάτων ἐμφαίνειν, ὡς ἔχει τὰ τοιαῦτα, σὺ δ' ὁ σεμνὸς ἀνὴρ καὶ διαπτύων τοὺς ἄλλους, καὶ πάλιν, ἐμοὶ δ' ὅσον, εἴτε τις βούλεται νομίσαι μανίαν εἴτε καὶ φιλοτιμίαν· διὰ γὰρ τῆς εἰρωνείας μᾶλλον, ἢ εἰ ἐξ εὐθείας ἐλέγετο, ηὔξηται ὁ λόγος. καὶ καταβολὴν δὲ καὶ ἔκλυσιν ἐκ τῶν ἐναντίων, οὐ μέμνησθε αὐτοῦ τὰ ἀπίθανα ῥήματα καὶ μιαρά, καὶ πάλιν, σὺ Θετταλοὺς ἀποστήσας· σὺ γὰρ ἂν κώμῃ

www.libtool.com.cn
Digitized by Google

προσέλθοις, ὅπου κίνδυνός ἐστι. παρέχει δὲ καὶ ἔμφασιν ἤθους χρηστοῦ, ὡς Αἰσχίνης, ἆρά μοι δοίητε συγγνώμην, εἰκίναιδον αὐτὸν προσείποιμι, καὶ μὴ καθαρὸν τὸ σῶμα, μηδ' ὅθεν τὴν φωνὴν ἀφίησι, καὶ τὰ ἑξῆς· φαίνεται γὰρ αἰδούμενος ἐφ' οἷς μέλλει λέγειν. ἔστι δὲ διὰ τῶν σχημάτων δοκεῖν καὶ αὐτοσχεδίως λέγειν μηδὲ ἀπὸ παρασκευῆς, ὡς Δημοσθένης, ἆρά τις ἡμῖν λοιπὸς λόγος; ἢ οὕτω, τουτὶ μικροῦ με παρῆλθεν εἰπεῖν. τὰ γὰρ τοιαῦτα τὴν τοῦ δοκεῖν αὐτόθεν λέγειν ἔμφασιν ποιεῖ. καὶ μὴν ποικιλίαν τινὰ τῷ λόγῳ παρέχει τὰ σχήματα, ὡς ὅ γε ὁμοειδὴς προΐσταται τρόπος, δεῖ δὲ τὴν ἡδονὴν διώκειν καὶ τὴν ποικιλίαν ἐν τῷ λόγῳ μετὰ τοῦ χρησίμου καὶ μάλιστα ἐν τῷ δικανικῷ λόγῳ. παραδείγματα δὲ τῶν τοιούτων σχημάτων τὰ τὸν λόγον ποιοῦντα ποικίλον παρὰ Δημοσθένει ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ καὶ ἐν τῷ περὶ τῆς παραπρεσβείας· περὶ γὰρ τῆς πολιτείας πολλάκις λέγων ἁπλῶς καὶ πολλαχῶς καὶ ποικίλως πλάττει τὸν λόγον, οὗ προΐσταται, καὶ περὶ τῆς λύσεως πάλιν τῶν αἰχμαλώτων μεμνημένος συνεχέστερον δὴ τὸν περὶ αὐτῶν πεποίηται λόγον τὸ αὐτὸ πρᾶγμα μεταβάλλων καὶ ποικίλως φράζων. ταῦτα μὲν ἐπὶ τοσοῦτον, λέγωμεν δὲ ἤδη, τίνα σχήματα τῆς διανοίας.

γ'. ΠΕΡΙ ΠΡΟΔΙΟΡΘΩΣΕΩΣ.

Προδιόρθωσίς ἐστιν, ὅταν μέλλωμέν τι τοιοῦτον λέγειν, ὃ δεῖταί τινος θεραπείας, ὥστε μὴ χαλεπῶς αὐτὸ προσδέξασθαι τὸν ἀκροατήν, καὶ προθεραπεύωμεν αὐτόν, ὡς ἔχει τὸ Δημοσθενικόν, βαδιοῦμαι δὲ ἐπ' αὐτά, ἃ πέπρακταί μοι, καί με μηδεὶς ἀπαρτᾶν νομίσῃ τὸν λόγον τῆς γραφῆς, ἂν εἰς Ἑλ-

www.libtool.com.cn

ληνικὰς πράξεις καὶ λόγους ἐμπέσω. ὁ αὐτός, καίμοι, πρὸς θεῶν, ὅταν ἕνεκα τοῦ βελτίστου λέγω, ἔστω παρρησία τοῦ λέγειν. καὶ πολλὰ παρ' αὐτῷ τοῦ σχήματος τούτου παραδείγματα.

www.libtool.com.cn

δ'. ΠΕΡΙ ΕΠΙΔΙΟΡΘΩΣΕΩΣ.

Ἐπιδιόρθωσις δέ ἐστι τῇ μὲν χρείᾳ τὸ αὐτὸ τῇ προδιορθώσει, τῇ τάξει δὲ ἐκείνης διαφέρον· ὃ γὰρ τῷ προείπειν ποιοῦμεν θεραπεύοντες τὸν ἀκροατὴν ἐπὶ τῆς προδιορθώσεως, τὸ αὐτὸ ἐπὶ τῆς ἐπιδιορθώσεως· ἀποθεραπεύομεν γὰρ ἐπὶ τοῖς εἰρημένοις τὸν ἀκροατήν, ἵνα μὴ χαλεπαίνῃ πρὸς ἡμᾶς, ὡς πάλιν Δημοσθένης πολλὰ προειπὼν ἐπιφέρει, ἀξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι τοῦτο μεμνῆσθαι παρ' ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω γραφῆς οὐδ' ἂν ἐγὼ λόγον οὐδένα ἐποιούμην ἕτερον· πάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου, ἀνάγκη με πρὸς ἓν ἕκαστον τῶν εἰρημένων βραχέα ἀπολογήσασθαι.

ε'. ΠΕΡΙ ΑΜΦΙΔΙΟΡΘΩΣΕΩΣ.

Τοῦτο μικτόν ἐστι τὸ σχῆμα ἔκ τε τῆς προδιορθώσεως καὶ ἐπιδιορθώσεως, ὅταν καὶ πρὶν εἰπεῖν καὶ εἰπόντες ἀσφαλιζώμεθα τὸν λόγον. γίνεται δὲ τοῦτο οὐκ ἐπὶ τῶν τυχόντων, ἀλλ' ἐπὶ τῶν μείζονος προμηθείας δεομένων, ὡς εἴ λέγοι τις, ἐγὼ μὲν λέγω, καὶ μηδεὶς ἀηδῶς ἀκούσῃ τὸ λεγόμενον, ἂν ἀληθὲς ὂν φαίνηται, μεγάλων ἄξιον ἐμαυτὸν ἐνόμιζον ἐξ ὧν διεπεπράγμην καὶ πάσης παρρησίας καὶ τῶν μεγίστων τιμῶν· νομίζω μηδένα τούτοις ἄχθεσθαι τοῖς λόγοις, εἰ πάντα τὰ μέγιστα πράξας τῶν μεγίστων ἄξιον ἐμαυτὸν ἀποφαίνω,

Digitized by Google

καὶ ὡς ἔχει τὸ Δημοσθενικόν, εἰ γὰρ οἷος ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνικῶν πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕνα ἄνδρα Ἀρκαδία καὶ ἕνα Θετταλία ταὐτὰ φρονοῦντα ἔσχεν ἐμοί. καὶ γὰρ λέγων κατὰ τὴν ἐμαυτοῦ τάξιν προαπολύεται τὸ ἐπαχθές, καὶ τῷ μᾶλλον δ' εἰ ἕνα τὸ δοκοῦν ἐνδεεστέρως εἰρῆσθαι προσεπηνώρθωται.

www.libtool.com.cn

ς'. ΠΕΡΙ ΠΡΟΚΑΤΑΛΗΨΕΩΣ.

Ἡ δὲ προκατάληψις γίνεται, ὅταν προκαταλαμβανώμεθα καὶ τοὺς ἀντιδίκους, περὶ ὧν μέλλουσιν λέγειν,
437 καὶ τοὺς ἀκροατάς, περὶ ὧν ὑπονοοῦσι καθ' ἡμῶν, καὶ τὸν λόγον, ὃν ἰσχυρότατον ὁ ἀντίδικος οἴεται λέξειν καὶ ὃν οἱ δικασταὶ καθ' ἡμῶν ὑπονοοῦσί τι ἔχειν ἰσχυρόν, τοῦτον ἐμφάσει τινὶ προεκλύοντες ὡς εἰ καὶ λέγοι τις, ἐπεὶ δὲ καὶ τούτῳ μάλιστα τῷ λόγῳ θαρρεῖ, βούλομαι δεῖξαι καὶ τοῦτον πολὺ τῶν ἄλλων ἀσθενέστερον. καὶ ὡς Αἰσχίνης, πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον ὃν φησι Δημοσθένης.

ζ'. ΠΕΡΙ ΤΠΕΞΑΙΡΕΣΕΩΣ.

Τοῦτο τὸ σχῆμα σύμφωνον καὶ ὁμογενὲς λέγουσιν εἶναι τῶν προκειμένων. πιστότερον δὲ γίνεται τοῦτον τὸν τρόπον· ὑπεξελόμενοί τι πρόσωπον ἢ γένος τῶν λοιπῶν προκρίνομεν περὶ οὗ ποτ' ἂν ὁ λόγος ᾖ, ὡς εἴ τις λέγοι· μετὰ γὰρ τοὺς θεοὺς Ἀριστογείτονος ὑπὸ τῶν
438 ἀνθρώπων· ἢ οὕτως, ὁ μὲν Ζεὺς κρατεῖ τῶν πάντων, ἐγὼ δὲ τῶν ἀνθρώπων ἄρχω. καὶ πάλιν δ' ἂν τῷ Ἀπόλλωνι περὶ μουσικῆς ἕκαστα, ἢ καὶ ὡς τὸ Ὁμηρικόν,

ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,
οὔτ' Ἡρακλῆϊ οὔτ' Εὐρύτῳ·

Digitized by Google

ἡ γὰρ τῶν ὁμολογουμένων ἀρίστων ὑπεξαίρεσις πιστοτέραν ποιεῖ τὴν ἐπαγγελίαν.

η'. ΠΕΡΙ ΑΙΤΙΟΛΟΓΙΑΣ.

www.libtool.com.cn

Αἰτιολογία δέ ἐστιν, ὅταν προθέντες τι πρὸς τὸ γενέσθαι σαφέστερον αὐτὸ τὴν αἰτίαν προσαποδιδῶμεν, ὡς φησι Δημοσθένης, ἐάν τις ἐν ἄθλοις τινὰ ἀποκτείνῃ, τοῦτον ὁ νομοθέτης ὥρισε μὴ ἀδικεῖν. διὰ τί; ὅτι οὐ τὸ συμβὰν ἐσκέψατο, ἀλλὰ τὴν τοῦ δράσαντος διάνοιαν· ἔστι δὲ αὕτη τίς; ξῶντα νικῆσαι, οὐκ ἀποκτεῖναι, καὶ τὰ ἑξῆς. 439

θ'. ΠΕΡΙ ΣΥΝΑΘΡΟΙΣΜΟΥ.

Συναθροισμὸς δέ ἐστιν συναγωγὴ τῶν πεπραγμένων ἢ πραχθῆναι δυναμένων εἰς ἓν κεφάλαιον, ὡς φησι Δημοσθένης, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δὲ Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτὸν ποιούμενος καὶ τὸ Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας τὰς μὲν ἀναιρῶν, εἰς ἃς δὲ καὶ τοὺς φυγάδας κατάγων, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ; 440

ι'. ΠΕΡΙ ΕΠΙΜΟΝΗΣ.

Ἐπιμονὴ δέ ἐστιν, ὡς καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ, ἐπὶ πλεῖον ἐπὶ τοῦ αὐτοῦ νοήματος ἐπιμονὴ μετὰ αὐξήσεως. Εὐριπίδης,

Digitized by Google

441 ἀλλ' ἥδε μ' ἐξέσωσεν, ἥδε μοι τροφός,
[ἡ] μήτηρ, ἀδελφή, δμωΐς, ἄγκυρα, στέγη.

καὶ ὡς Δημοσθένης, οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο, πάντ' ἐκεῖνος ἦν αὐτοῖς, καὶ πάλιν, ἐγὼ δ' ὑπ' ἐχθροῦ νήφοντος ἔωθεν, ὕβρει καὶ οὐκ οἴνῳ ταῦτα ποιοῦντος, ἐναντίον πολλῶν καὶ ξένων καὶ πολιτῶν ὑβριζόμην, καὶ ὡς ὁ ποιητής,

ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάξει
ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ,
μοῦνον, τηλύγετον, πολλοῖσιν ἐπὶ κτεάτεσσιν.

ια'. ΠΕΡΙ ΛΕΠΤΟΛΟΓΙΑΣ.

Λεπτολογία ἐστίν, ὅταν ἑνὸς ἑκάστου τῶν συμβεβηκότων ἢ συμβαινόντων τὴν ἀκριβῆ καὶ ἐπὶ λεπτῷ ἐξεργασίαν ποιώμεθα, ὡς παρὰ Μενάνδρῳ ταυτί,

442 μὰ τὴν Ἀθηνᾶν, ἄνδρες, εἰκόν' οὐκ ἔχω
... ὁμοίαν τῷ γεγονότι πράγματι,
ζητῶν πρὸς ἐμαυτόν, τί ταχέως ἀπολλύει.
στρόβιλος; ἐν ᾧ συστρέφεται, προσέρχεται,
προέλαβεν, ἐξέρριψεν, αἰὼν γίνεται.
ἀλλ' ἐν πελάγει συγκλυσμός; ἀναπνοὴν ἔχει
Ζεῦ σῶτερ, εἰπεῖν, ἀντέχου τῶν σχοινίων,
ἑτέραν περιμεῖναι χάτέραν τρικυμίαν·
ναυαγίου δ' ἂν ἐπιλάβοι· ἐγὼ δ' ἅπαξ
ἁψάμενός εἰμι καὶ φιλήσας ἐν βυθῷ.

νῦν γὰρ διὰ νοήματος ἐλάσσονα γινόμενα καὶ οὐδ' εἰς ὑποψίαν ἀκριβῶς ἐλθεῖν δύναται τῷ λόγῳ καὶ λεπτὸν καὶ ἀκριβῶς τε ὁ ποιητὴς εἰπὼν εἰς ἔννοιαν ἀκριβεστέραν αὐτῷ ἀγήοχε, καὶ τὸ καθ' ἑαυτὸν ηὔξησε πάθος ταχύτερον ἐκ τῆς ἐκείνων λεπτολογίας ἀποδείξας. καὶ ταῦτα δὲ ὁμοίως ἔχει· καὶ ὑμεῖς μέν, ὦ Ἀθηναῖοι,

www.liotool.com.cn
Digitized by Google

τὰς ἐλπίδας τῆς σωτηρίας εἴχετε ἐν τῷ τὸν
στρατηγὸν ὑμῶν ἐκπλεύσαντα ταχέως τῶν
ἐπικαίρων κρατῆσαι τόπων. ὁ δ' ἕως ἐνετέλ- 443
λετό τινα τοῖς οἰκείοις, ἐπιτρόπους καθίστα
καὶ τῶν οἴκοι πραγμάτων, ἡσπάζετο τὴν γυ- 5
ναῖκα καὶ τοὺς παῖδας, ἐδεξιοῦτο τοὺς φί-
λους, ἐξῄει τῆς πόλεως, κατέβαινεν εἰς τὸν
λιμένα, ἐνεβάλλετο τὰ ἐπιτήδεια εἰς τὴν
ναῦν, ἔλυετὰ πρυμνήσια, ἦρε τὰς ἀγκύρας,
ἔλαθον οἱ πολέμιοι κρατήσαντες τῶν ἐπι- 10
καίρων χωρίων. αὔξησιν δὲ ἔχει τὸ σχῆμα, ὅταν
ταχυτῆτα ἢ βραδυτῆτα ἐμφῆναι θέλωμεν, ἢ τάχος ἐξ
ἀντιπαραθέσεως ποιῆσαι φανερόν, ὥσπερ ὁ Μένανδρος.

ιβ'. ΠΕΡΙ ΠΡΟΣΩΠΟΠΟΙΙΑΣ.

Ἡ προσωποποιῖα δέ ἐστι προσώπου διάπλασις ἤτοι 15
τὴν ἀρχὴν μὴ γενομένου πώποτε ἢ γενομένου μέν, οὐκ
ἔτι δὲ ὄντος. τοῦ μὲν παράδειγμα τὸ Δημοσθενικόν,
ὁ μὲν οὖν παρὼν καιρός, ὦ Ἀθηναῖοι, μονο-
νουχὶ λέγει φωνὴν ἀφιείς· οὐχ ὑφεστηκὸς γὰρ
τὸ πρόσωπον τὸν καιρὸν αὐτὸν εἰσάγει· τοῦ δὲ δευτέ- 444
ρου τὸ Αἰσχίνου, ὅταν ἐπὶ τελευτῆς ἤδη τοῦ λό- 21
γου τοὺς συνηγόρους καλῇ, καὶ τοὺς κοινω-
νοὺς αὐτῷ τῆς δωροδοκίας παρακαλῇ, ὑπο-
λαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος ἀντιπαρα-
τεταγμένους, Σόλωνα μὲν τὸν καλλίστοις 25
νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, Ἀρι-
στείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλ-
λησι, καὶ ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, ὅτι
οἱ μὲν πατέρες ὑμῶν Ἀρίθμιον τὸν Ζελείτην,
καὶ τὰ ἑξῆς. 30

ιγ'. ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ.

Ἐπανάληψίς ἐστιν, ὅταν κατὰ πλείους φωνὰς ἐπανα-

www.libtool.com.cn
Digitized by Google

λαμβάνωμεν, ὡς ἔχει τὸ τοιοῦτον, ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, καὶ τὸ Ὁμηρικόν,

445 τοῦ δ' ἐγὼ ἀντίος εἰμί, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε.

www.libpool.com.cn

5 ταῦτα μὲν οὖν ἐπανείληπται μηδενὸς αὐτῶν μεταξὺ τιθεμένου μορίου· ἔστι δὲ ὅτε ἐπαναλέγεται μὲν τὰ ὀνόματα, οὐκ εὐθὺς δέ, ἀλλὰ μέσα τινὰ παρεμβάλλεται, καθάπερ ἔχει τὸ τοιοῦτον, ἦν ποτε, ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν τῇ τῶν πολλῶν ψυχῇ· κἀκεῖνο, οὐ

10 γὰρ ὑφ' αὑτῷ ποιήσασθαι τὴν πόλιν βούλεται Φίλιππος, οὔ· καὶ τὸ Αἰσχίνου, καλόν, ὦ Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων πραγμάτων φυλακή, καὶ τὸ Ὁμηρικόν,

ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,

15 Αἰθίοπας·

πολλάκις δὲ ταῦτα καὶ πλεονάκις ἀναλαμβάνεται, ὡς καὶ Δημοσθένης, καίτοι φιλίαν τε καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ νῦν εἰπέ που λέγων ὁ τὴν Ἀλε-

446 ξάνδρου ξενίαν ὀνειδίζων ἐμοί· ἐγώ σοι ξε-

20 νίαν Ἀλεξάνδρου; πόθεν λαβόντι; φανερὸν δὴ ποσάκις τὸ αὐτὸ ὄνομα ἀνείληπται. τοῦτο δέ τινες ἰδίως ἀναδίπλωσιν λέγουσιν, ὅταν τὸ δεύτερον λεγόμενον ἄρχηται ἀπὸ τῆς τοῦ προηγουμένου τελευτῆς, ὡς Σοφοκλῆς

ὦ φίλταθ' ὥς μ' ἀπώλεσας,

25 ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.

ὡς καὶ νῦν ἐν τῷ χρησμῷ, Ἀρκαδίην μ' αἰτεῖς· οὔ τοι δώσω, δώσω τοι Τεγέην. δοκεῖ δὲ ποιητικώτερον εἶναι.

ιδ'. ΠΕΡΙ ΕΠΑΝΑΦΟΡΑΣ.

30 Ἐπαναφορά ἐστιν, ὅταν ἀπὸ τοῦ αὐτοῦ ὀνόματος

447 δύο ἢ πλείω κῶλα ἄρχηται, ὡς παρὰ τῷ Δημοσθένει, ταῦτ' εἶπον ὑπὲρ ὑμῶν, ταῦτ' ἐπρέσβευσα,

Digitized by Google

ταῦτ' ἐδεήθην, ἢ ὅταν ἐπὶ πολὺ τὸ ὄνομα ἐν ἀρχῇ τῶν κώλων καὶ τῶν περιόδων πολλάκις παραλαμβάνηται, [καὶ] ἢ αὐτὸ ἢ τὸ ἰσοδυναμοῦν αὐτῷ [ὀνομάζει]. καὶ αὐτὸ μὲν ὡς τὸ Δημοσθενικόν, τί οὖν, ὦ παλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις; καὶ ὡς τὸ Ὁμηρικόν,

Νιρεὺς αὖ Σύμηθεν ἄγεν,
Νιρεὺς Ἀγλαΐας υἱός.

[τὸ δ' ἰσοδυναμοῦν οὕτως,

ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη.

ἐνταῦθα γὰρ τό τε ἀρσενικὸν ἄρθρον καὶ τὸ θηλυκὸν ἴσον ὡς πρὸς τὸ πρᾶγμα δύναται.] τὸ δ' ἰσοδυναμοῦν οὕτως, ὡς εἴ τις λέγοι, ἐπέδωκα τῇ πόλει χρήματα, παρέσχον συμμάχους, ἐχαρισάμην ὅπλα, καὶ ὡς ** αὐτοῦ τῶν δωροδοκημάτων παρακαλῇ, ὑπολαμβάνετε καθορᾶν ἐπὶ τοῦ βήματος ἀντιπαρατεταγμένους, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ πατέρες ὑμῶν Ἀρίθμιον τὸν Ζελείτην, καὶ τὰ ἑξῆς.

www.tbtool.com.cn

448

ιε'. ΠΕΡΙ ΗΘΟΠΟΙΙΑΣ. 449

Ἠθοποιΐα δέ ἐστιν, ὅταν ὑπάρχοντα πρόσωπα τιθέντες λόγους τινὰς αὐτοῖς περιτιθῶμεν πρὸς τὸ πιστοτέρους αὐτοὺς δόξαι εἶναι ἢ εἰ αὐτοὶ ἐλέγομεν αὐτούς, ὡς Αἰσχίνης ἐπὶ τοῦ Δημοσθένους, μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλωτα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε, ἀλλ' ὑπολαμβάνετε αὐτὸν εἰσεληλυθότα οἰκαδε ὁρᾶν σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ, διεξιόντα ὡς εὖ τὸ πρᾶγμα ὑφειλόμην τῶν δικαστῶν,

Digitized by Google

ἀπαγαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν ἐπέστησα φέρων ἐπὶ τὸν κατήγορον καὶ Φίλιππον καὶ Φωκεῖς. καί· παρελθόντα εἰς τὴν ἐκκλησίαν, ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, καὶ τὰ ἑξῆς.

www.libtool.com.cn

450 ις'. ΠΕΡΙ ΑΠΟΣΙΩΠΗΣΕΩΣ.

Ἀποσιώπησίς ἐστι λόγος ἐπιτείνων τὸ παρασιωπώμενον, ἢ παραλείπων τὸ γινωσκόμενον, ἢ σιωπῶν τὸ αἰσχρόν. ἐπιτείνει μὲν οὖν τὸ παρασιωπώμενον, ὡς Δημοσθένης, ᾧ μήτηρ μὲν ὑπῆρχε πολῖτις, πατὴρ δὲ οὐκ ἐρῶ πόθεν. οὐδὲν γὰρ πλεῖον τῶν ἀναγκαίων αὐτὸν ἐξετάσασθαι. παραλείπει δὲ τὸ γινωσκόμενον οὕτως, καὶ πάλιν, τοσαῦτα, ὦ Ἀθηναῖοι, ὅσα οὐκ ἠσαι μ' ἂν εἰπεῖν· παντὶ γὰρ δῆλον, ὅτι τὸ πρῶτον μὲν ἀηδές τι παραλείπει, εἶτα εἰδικώτερον ὅτι ἀτιμίαν εἰπεῖν βούλεται ἢ τι τοιοῦτον. σιωπᾷ δὲ τὸ αἰσχρὸν Εὐριπίδης,

ἢ πόσιν ἀπείρῳ περιβάλλουσ' ὑφάσματι
ἔκτεινεν, ὧν δ' ἔκατι παρθένον λέγειν
οὐ καλόν.

ιζ'. ΠΕΡΙ ΕΠΙΤΡΟΧΑΣΜΟΥ.

Ἐπιτροχασμός ἐστι προσκείμενον σχῆμα τῷ τε συν-
451 αθροισμῷ καὶ τῇ ἐπιμονῇ, διαφέρει δὲ ἐκείνων, ὅτι τὰ πολὺ διεστηκότα συνάγει καὶ ἀξιοπιστίας ἕνεκα λέγεται, ὡς ἔχει τὸ Δημοσθενικόν, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἦκεν ἐπ' Ἀμβρακίαν, Ἥλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσε πρώην.

ιη'. ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Εἰρωνεία δέ ἐστι λόγος προσποιούμενος τὸ ἐναντίον λέγειν, ὡς ἐπὶ τῆς Μηδείας Εὐριπίδης,

Digitized by Google

τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
ἔθηκας ἀντὶ τῶνδε, θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ σεμνὸν ἡ τάλαιν' ἐγώ,

καὶ τὰ ἑξῆς. καὶ ὡς ὁ Δημοσθένης, δῆλον γάρ, ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς τῶν Θηβαίων ἀτυχήμασιν, κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα πεποιηκότος. εἶδη δὲ τῆς εἰρωνείας τέτταρα, ἀστεϊ- 452
σμός, μυκτηρισμός, σαρκασμός, χλευασμός.

www.libook.com.cn

ιθ'. ΠΕΡΙ ΠΑΡΑΛΕΙΨΕΩΣ.

Παράλειψις δέ ἐστιν, ὅταν δοκοῦντές τι παραλιπεῖν μηδὲν ἧττον λέγωμεν αὐτό, ὡς Δημοσθένης, ἀλλὰ τί ἐχρῆν με ποιεῖν, ἤδη γὰρ σὲ ἐρωτῶ, πάντα ταῦτα ἀφείς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, οὐδενὸς τούτων μέμνημαι, Σέρριον δὲ καὶ Δορίσκον καὶ τὴν Πεπαρήθου πόρθησιν οὐδ' εἰ γέγονεν οἶδα, καὶ πάλιν, ὅσα μὲν οὖν τοὺς χορεύτας ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατείας ἠνώχλησε, καὶ προβαλλόμενος καὶ χειροτονῶν αὐτὸν εἰς Διονύσια ἐπιμελητήν, ἐάσω, καὶ πάλιν, τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν Μειδίου καὶ τὰ λοιπὰ ἄπειρα ὄντα κακὰ ἐάσω. καὶ οὔτε τόδε λέγω οὔτε τόδε, οὐδ' ὡς ἠδίκησεν τὴν πόλιν οὗτος. καὶ πάλιν, οὔτε γὰρ τοὺς Ἑρμᾶς, οὓς ἐλωβήσατο, λέξω, οὔθ' 453
ὡς ηὐτομόλησεν εἰς Σικελίαν, ἀλλ' ἔστω τού- 26
των ἀμνηστεία μυρίων ὄντων.

κ'. ΠΕΡΙ ΑΠΟΣΤΡΟΦΗΣ.

Ἀποστροφὴ δ' ἐστίν, ὅταν πρόσωπον ἕτερον ἀνθ' ἑτέρου αἰτιώμεθα, ἤτοι πραΰνειν, ἢ ἐποτρύνειν ἐθέλοντες, ὡς ὁ ποιητής.

Digitized by Google

Ἀτρείδη νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν.
οὐδέ τι ἐκτελέουσιν ὑπόσχεσιν, ἥνπερ ὑπέσταν·

ἐπεὶ γὰρ ἀπότομον ἦν λέγειν, ὦ Ἀχαιοί, ἄδικοί ἐστε, πρὸς τὸν βασιλέα οὐκ ἐθέλοντες ἐκτελεῖν αὐτῷ τὰς ὑποσχέσεις, μετεσχημάτισε τὸν λόγον πρὸς αὐτὸν τὸν Ἀγαμέμνονα· γίνεται δὲ ἡ ἀποστροφὴ καὶ ὅταν ἄλλων μνημονεύοντες, ὡς δυναμένων ταὐτὰ ποιῆσαι τούτοις, περὶ ὧν ἂν ποιησώμεθα τὸν λόγον, μὴ πεποιηκότων δέ, εἶτα δι' αὐτῶν καὶ καθαπτώμεθα τῶν ἀντιδίκων, ὡς Δημοσθένης τὰ ὑπὸ Μειδίου γεγονότα βουλόμενος διαβάλλειν διαβάλλει τὰ περὶ Ἰφικράτην, καίτοι φασὶν Ἰφικράτην ποτὲ ἐκεῖνον Διοκλεῖ τῷ Πιτθεῖ
434 τὰ μάλιστα ἐλθεῖν εἰς ἔχθραν, καὶ ἔτι πρὸς τούτῳ συμβῆναι, Τισίαν τὸν ἀδελφὸν τὸν Ἰφικράτους ἀντιχορηγῆσαι τῷ Διοκλεῖ· ἀλλ' ὅμως πολλοὺς ἔχων Ἰφικράτης καὶ τὰ ἑξῆς, οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατερρήγνυτὰ κατεσκευασμένα ἱμάτια ἐς τὴν ἑορτὴν καὶ τὰ ἑξῆς.

κα'. ΠΕΡΙ ΔΙΑΠΟΡΗΣΕΩΣ.

Διαπόρησις δ' ἐστίν, ὅταν περὶ ἑνὸς πράγματος δύο ἢ καὶ πλείονας ἐννοίας ἔχωμεν, ἢ καὶ προσποιώμεθα μὴ οὔσας ἔχειν, εἴγε ἀποροῦμεν καὶ μὴ ἐφιστῶμεν ἐπ' αὐταῖς, ὡς ἔχει τὸ τοιοῦτον, εἴτε τινὸς εἰπόντος, εἴτε αὐτὸς συνιείς, οὐκ ἔχω εἰπεῖν, ὅτι δὲ σωτηρία μόνη γίνοιτο ἂν αὐτῷ ἡ ἡμετέρα, εἴτε χρὴ φιλανθρωπίαν αὐτὴν λέγειν, εἴθ' ὅ τι δή ποτε ἄλλο, [οὐκ ἔχει.]

κβ'. ΠΕΡΙ ΕΡΩΤΗΜΑΤΟΣ.

435
31 Ἐρώτημά ἐστι, πρὸς ὃ ἀνάγκη ἀποκρίνασθαι κατ'

www.libtool.com.cn
Digitized by Google

ἀπόφασιν ἢ κατάφασιν οὕτω, ναὶ ἢ οὔ, οἷον ἐξῆλθες ἐπὶ τὴν μάχην ἢ οὔ; καὶ ὡς Δημοσθένης, πότερον ταῦτα ποιῶν ἔλυε τὴν εἰρήνην ἢ οὔ; ἀνάγκη γὰρ καὶ πρὸς τοῦτο ἢ ναὶ ἢ οὔ ἀποκρίνασθαι.

www.libtool.com.cn

κγ'. ΠΕΡΙ ΠΤΣΜΑΤΟΣ.

Πύσμα δέ ἐστι, πρὸς ὃ διεξοδικῶς ἀπαντῆσαι δεῖ καὶ διὰ πλειόνων, ὡς ἔχει τὸ τοιοῦτον, ἐμὲ δέ, ὦ τριταγωνιστά, τὸ τίνος φρόνημα λαβόντα τούτοις συμβουλεύειν ἔδει; ἐνταῦθα γὰρ οὐκ ἔστιν ἀποκρίνασθαι ναὶ ἢ οὔ, ἀλλὰ διὰ πλειόνων ἀνάγκη ἅπαντᾶν τῷ τοιοῦτον ἐροῦντι.

κδ'. ΠΕΡΙ ΔΙΑΤΥΠΩΣΕΩΣ. 456

Διατύπωσις δ' ἄρ' ἐστίν, ὅταν ἅμα προσώπων καὶ πραγμάτων παρασυναγωγὴν ποιησάμενοι μὴ τοὺς λόγους μόνον, ἀλλὰ καὶ τὰ ἐναργήματα καὶ τὰ πάθη καὶ τὰ εἴδη διατυπώμεθα, ὡς ὁ Αἰσχίνης, γίνεσθέ μοι μικρὸν χρόνον τὴν διάνοιαν, μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ. καὶ νομίσατε ὁρᾶν προσιόντα τὸν κήρυκα, καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίνεσθαι, καὶ τὰ ἑξῆς. καὶ ὡς φησι Δημοσθένης, ὅτε γὰρ εἰς Δελφοὺς ἐπορευόμεθα, ἦν ὁρᾶν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, γύναια καὶ παιδάρια ὀλίγα καὶ ἄθλια καὶ πρεσβύτας οἰκτρούς.

κε'. ΠΕΡΙ ΑΝΤΕΙΣΑΓΩΓΗΣ. 457

Ἀντεισαγωγὴ γίνεται, ὅταν ἕτερον ἀνθ' ἑτέρου ἀντιτιθῶμεν, ἀντὶ ἀγαθοῦ κακὸν ἢ ἀντὶ κακοῦ ἀγαθόν, οἷον οἰκτρὸν πατρὶ καὶ μητρὶ παίδων στερηθῆναι καὶ ἐρήμοις εἶναι τῶν ἀναγκαιοτάτων γηροτρόφων· σεμνὸν δὲ αὐτοῖς τιμὴν καὶ μνήμην

τέκνων καταλειπομένην ἐφορᾶν, καὶ πάλιν, ἡδὺ τὸ ξῆν, ἀλλὰ τόγε ὑπὲρ πατρίδος ἀποθανεῖν δόξαν αἰώνιον παρασκευάζει.

κε'. ΠΕΡΙ ΔΙΑΣΤΡΜΟΥ.

www.intool.com.cn

Διασυρμὸς δ' ἐστίν, ἐπειδὰν λέγωμεν ἀξιοπίστως διασύροντες, ὡς Ὑπερίδης ἐπὶ Δημοσθένους, καὶ συκοφαντεῖς τὴν βουλὴν προκλήσεις προτιθεὶς
438 καὶ ἐρωτῶν ἐν ταῖς προκλήσεσιν, πόθεν ἔλαβες τὸ χρυσίον, καὶ τίς ἦν σοι ὁ δούς, καὶ πῶς; τελευταῖον δ' ἴσως ἐρωτήσεις καὶ εἰ ἐχρήσω τῷ χρυσίῳ ὥσπερ τραπεζιτικὸν λόγον παρὰ τῆς βουλῆς ἀπαιτῶν, καὶ ὁ αὐτὸς ἐπὶ τῆς Φρύνης, τίς γάρ ἐστιν αἰτία αὕτη, εἰ Ταντάλῳ ὑπὲρ τῆς κεφαλῆς λίθος κρέμαται. καὶ ὡς Αἰσχίνης, οὐ μέμνησθε αὐτοῦ τὰ ἀπίθανα καὶ μιαρὰ ῥήματα, ἃ πῶς ποτε ὑμεῖς, ὦ σιδήριοι, ἐκαρτερεῖτε ἀκροώμενοι, ὅτε ἔφη παρελθών, ἀμπελουργοῦσί τινες τὴν πόλιν, καὶ τὰ ἑξῆς, καὶ ὡς Δημοσθένης πρὸς αὐτὰ ταῦτα, πάνυ γὰρ κατὰ τοῦτο χείρω γέγονε τὰ τῶν Ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διεξῆλθον ἐγώ, ἢ δευρὶ τὴν χεῖρα ἀλλὰ μὴ δευρὶ μετήγαγον.

κς'. ΠΕΡΙ ΜΕΤΑΣΤΑΣΕΩΣ.

Μετάστασις δ' ἐστίν, ὅταν ἀφ' ἑαυτῶν μεθιστῶ-
439 μεν τὴν αἰτίαν ἐφ' ἕτερον ἔξω τοῦ πράγματος ὄντα, ὡς
26 Δημοσθένης, τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐδὶ ἐμέ· οὐ γὰρ ἔγωγε τότε ἐπολιτευόμην, ἢ ἐπὶ τοὺς ἀκούοντας, ἐγὼ γὰρ τοῦ μὲν εἰπεῖν κύριος ἦμην, ἡμεῖς δὲ τοῦ ψηφίσα-
30 σθαι τὰ ῥηθέντα, ἢ τὸν ἀντίδικον εἰς αἰτίαν καθιστῶμεν, ἐξ ὧν αὐτὸς ἡμῖν ἐγκαλεῖ, ὡς πάλιν Δημοσθέ-

Digitized by Google

νης, εἶτ' ὦ τί εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας; καὶ τὰ ἑξῆς.

www.libtool.com.cn

II.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΛΕΞΕΩΣ ΣΧΗΜΑΤΩΝ.

α'.

Τὰ μὲν τῆς διανοίας σχήματα προείρηται κατὰ λόγον ἡμῖν· παντὸς γὰρ λόγου προάγει ἡ τοῦ διανοήματος 460
εὕρεσις, ἕπεται δὲ λέξις τῷ διανοήματι, δι' αὐτῆς ποι- 11
οῦσα φανερὸν αὐτό· νῦν δὲ περὶ τῶν τῆς λέξεως σχημάτων ποιησόμεθα τὸν λόγον, ἐπεὶ δ', ὡς ἂν εἴποι τις, τὰ πρῶτα καὶ ἀνωτάτω σχήματα τῆς λέξεώς ἐστι περίοδος καὶ κῶλον καὶ κόμμα· διὰ τούτων γὰρ πᾶσα λέξις 15
πλέκεται καὶ συντίθεται, τί ποτ' ἐστὶν ἕκαστον τούτων προεροῦμεν. περίοδος μὲν οὖν ἐστι λόγος ἄνευ περιγραφῶν καὶ κώλων συνθέσει αὐτοτελῆ διάνοιαν ἐκφέρων, ὡς ἔχει τὸ τοιοῦτον, ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει, 20
περίοδος δὲ ἀπὸ τοῦ περιοδευομένως οἷον κύκλῳ τὴν διάνοιαν ἐκπλέκειν. κῶλον δ' ἐστὶ περιόδου μέρος, ὃ λέγεται μὲν καθ' αὑτό, ἀντικείμενον δὲ πληροῖ περίοδον. αὐτὸ μὲν οὖν καθ' αὑτὸ κῶλον τὸ τοιοῦτόν ἐστιν, ἀνὴρ γὰρ ἰδιώτης, κατὰ δὲ τὸ ἀντικείμενον οὕτω γί- 25
νεται σύνθεσις κώλων, ἄτοπον δ' ἐστὶ σὲ μὲν ἐν τοῖς ἀλλοτρίοις, ἐμὲ δὲ ἐν τοῖς ἰδίοις ἀπορεῖ- 461
σθαι. κατὰ δὲ τὸ παρακείμενον οὕτω, καλὸν γὰρ καὶ τοὺς φίλους εὖ ποιεῖν καὶ τοὺς πολίτας

Digitized by Google

διὰ παντός. κόμμα δ' ἐστὶ τὸ περιόδου καὶ κώλου ἔλαττον. λαμβάνεται δὲ καὶ κόμμα καθ' αὑτό, καθάπερ ἔχει τὰ τοιαῦτα, γνῶθι σαυτόν, μέτρον ἄριστον, ἔπου θεῷ· λαμβάνεται δὲ καὶ πρὸς ἕτερον, οἷον ὅρκον αἰτεῖς, νόμον αἰτεῖς, δημοκρατίαν αἰτεῖς. τῶν δὲ περιόδων αἱ μέν εἰσι δίκωλοι, ὡς ἔχει ἡ τοιαύτη, πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. αἱ δὲ τρίκωλοι, ὥσπερ ἦν προείπομεν, ἀνὴρ γὰρ ἰδιώτης, δεύτερον δὲ ἐν πόλει δημοκρατουμένῃ, τρίτον δὲ νόμῳ καὶ ψήφῳ βασιλεύει. γίνεται δὲ καὶ τετράκωλος, ὡς παρὰ Ἰσοκράτει, τίς γὰρ οὐκ ἂν ἡδέως μετάσχοι στρατείας, τῆς ὑπ' Ἀθηναίων τε καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἁπάσης ἐκπεμπομένης· νοεῖται δ' ἡ περίοδος τετράκωλος χωρὶς τῆς πρώτης προθέσεως, τίς γὰρ οὐκ ἂν ἡδέως μετάσχοι στρατείας. συντίθενται δὲ καὶ ἐκ πλειόνων κώλων περίοδοι, ἀλλ' ἐκβαίνουσι τὴν συμμετρίαν καὶ οὐκ ἔτι περιόδων, ἀλλὰ διεξοδικῶν λόγων ἔχουσι τάξιν. εἰσὶ δὲ τῶν περιόδων αἱ μὲν αὐτοτελεῖς,
462 ὥστε καθ' αὑτὰς σημαίνειν διάνοιαν, αἱ δὲ συνεζευγμέναι, ὥστε μεθ' ἑτέρων ἐκφέρειν τὸ διανόημα πλῆρες. αὐτοτελεῖς μὲν οὖν εἰσιν αἱ ἄνευ συνδέσμου ἐκφερόμεναι, οἷα ἐστὶν αὕτη, ἣν γὰρ ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιον ἡγεῖσθαι, συνεζευγμέναι δὲ αἱ μετὰ τῶν συνδέσμων συγκείμεναι, ὡς ἔχει αὕτη, χρὴ γὰρ τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ

www.libtool.com.cn
Digitized by Google

χρὴ διδόναι τὴν ψῆφον, μὴ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

β'. ΠΕΡΙ ΑΝΑΔΙΠΛΩΣΕΩΣ Η ΠΑΛΙΛΛΟΓΙΑΣ Η ΕΠΑΝΑΛΗΨΕΩΣ.

www.hotoor.com.cn

Τοῦτο τὸ σχῆμα ὁ μὲν Καρκῖνος παλιλλογίαν καλεῖ, ἔνιοι δὲ ἀναδίπλωσιν, οἱ δὲ ἐπανάληψιν, φαίνεται δὲ ὅτε μὲν ῥῆμα ἐπαλλήλως ἐντιθέντων ἡμῶν, ὡς ἔχει τὸ τοιοῦτον, μιαρὸν μιαρὸν θηρίον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ πάλιν ὡς Ξενοφῶν ὠγκωμένῳ ἐπὶ γένει, πεφυσημένῳ δ' ἐπὶ πλούτῳ, διατεθρυμμένῳ δὲ ὑπὸ πολλῶν ἀνθρώπων. 463 6

γ'. ΠΕΡΙ ΕΠΑΝΑΦΟΡΑΣ.

Γίνεται δὲ ἡ ἐπαναφορὰ ποτὲ μὲν ἐπὶ τῶν ἡγουμένων κώλων, ὡς ἔχει τὰ προειρημένα, ποτὲ δὲ ἐπὶ τῶν ἑξῆς ὡς ἔχει τὸ Δημοσθενικόν, ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων· ἐτέλεις, ἐγὼ δ' ἐτελούμην. πεποίηκε δὲ Δημοσθένης καὶ διπλῆν ἐπαναφορὰν ἐπί τε τῶν προηγουμένων κώλων τὸ αὐτὸ μόριον λαμβάνων καὶ ἐπὶ τῶν ἑπομένων ἐν τούτοις, μέχρι τούτου φίλος ὠνομάζετο Λασθένης Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Εὔδικος καὶ Σιμὸς ὁ Λαρισσαῖος, ἕως τὴν Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν· τῶν μὲν γὰρ πρώτων κώλων τὸ μέχρι ἄρχει μόριον, τῶν δὲ δευτέρων τὸ ἕως. 464

δ'. ΠΕΡΙ ΑΝΤΙΣΤΡΟΦΗΣ.

Ἀντιστροφὴ δ' ἐστὶν τὸ ἐναντίον τῆς ἐπαναφορᾶς· ὡς γὰρ ἐκείνη ἀπὸ τῶν αὐτῶν ἄρχεται, οὕτως αὕτη εἰς τὸ αὐτὸ λήγει, διὸ καὶ ταύτην ἔχει τὴν προσηγορίαν ἀντιστρέφουσα τὴν ἐπαναφοράν. παράδειγμα δὲ τοῦ σχήμα-

Digitized by Google

τος, λέγεταί τι τῶν ὑμῖν συμφερόντων, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης, καὶ τὸ [αὐτὸ] Αἰσχίνου, ὅστις δ' ἐν τῷ συλλόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ.

www.libtool.com.cn

ε'. ΠΕΡΙ ΣΥΜΠΛΟΚΗΣ Η ΣΥΝΘΕΣΕΩΣ.

465 Τοῦτο τὸ σχῆμα μικτόν ἐστιν ἐκ τῆς ἀναφορᾶς καὶ τῆς ἀντιστροφῆς, διὸ καὶ οὕτω κέκληται· καὶ γὰρ ἐν ἀρχῇ τῶν κώλων καὶ ἐπὶ τελευτῆς τὴν αὐτὴν ἔχει λέξιν, ὡς Αἰσχίνης, ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς.

ς'. ΠΕΡΙ ΣΥΝΩΝΥΜΙΑΣ.

Συνωνυμία δέ ἐστιν, ὅταν τῷ χαρακτῆρι διαφόροις ὀνόμασι, τῇ δυνάμει δὲ τὸ αὐτὸ δηλοῦσι χρώμεθα πλείοσιν, ἓν μὲν καὶ τὸ αὐτὸ βουλόμενοι δηλοῦν, ὡς καὶ Δημοσθένης, καὶ γινώσκεται μὲν ὑπὸ τῶν Περινθίων καὶ Βυζαντίων, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεσπόζειν, ἀλλ' οὐχ ἡγεῖσθαι τῶν συμμάχων προαιρούμενος, ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων.

ζ'. ΠΕΡΙ ΕΠΑΝΟΔΟΥ.

Ἐπάνοδος δέ ἐστιν, ὅταν δύο ὀνόματα διάφορα προ-
466 τιθέντες μήπω τοῦ νοῦ πέρας ἔχοντος, ἐπανίωμεν ἐπὶ τὰ προκείμενα καὶ τὸ λεῖπον τῷ νῷ προσαποδιδῶμεν, ὡς ὁ Δημοσθένης, ὁρῶν δὲ ταῦτα ὁ δῆμος ὁ τῶν Ὠρειτῶν ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δὲ ἀποτυμπανίσαι τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δὲ ἐπιτήδειον ἔφη ταῦτα πάσχειν, καὶ ὡς ὁ Φίλιππος, ἐν ὀργίᾳ καὶ δυσθυμίᾳ μὲν ἐπὶ τῶν

Digitized by Google

στρατηγῶν ὁ δῆμος οἷς ἐνέτυχεν, καὶ θελῆσαι προδιδόναι φάσκων δυσθυμίαν νικωμένων κατὰ τὸν πόλεμον τοῖς πόνοις, οὐ ταῖς μάχαις. κέχρηται δὲ Ὅμηρος καὶ τούτῳ τῷ σχήματι, ποιήσας εὐχόμενον τὸν Ἀχιλλέα ὑπὲρ τοῦ Πατρόκλου,

τῷ δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσε·
νηῶν μέντοι ἀπώσασθαι, πόλεμόν τε μάχην τε
δῶκε, σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι.

www.libtool.com.cn

η'. ΠΕΡΙ ΚΑΙΜΑΚΟΣ. 467

Κλῖμαξ δὲ γίνεται, ὅταν ἐπὶ πλεῖον μηκύνοντες τὸ προκείμενον κεφάλαιον καθ' ἕκαστον κόμμα τὴν αὐτὴν λέξιν τελευτήν τε καὶ ἀρχὴν ποιήσωμεν, ὡς ἔχει τὸ Δημοσθενικόν, καὶ οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐκ ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους. γίνεται δὲ καὶ κατὰ συνωνυμίαν κλῖμαξ, ὡς ἔχει τὸ Ὁμηρικόν,

Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι·
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργειφόντῃ·
Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ·
αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρεΐ ποιμένι λαῶν·

καὶ γὰρ Κρονίων καὶ Ζεὺς συνώνυμά πώς ἐστι, καὶ τὸ Ἀργειφόντης καὶ Ἑρμῆς· εἴληφε δὲ τὸ σχῆμα τὸ ὄνομα ἀπὸ τῆς κλίμακος· καὶ γὰρ ἐν ταύτῃ, ἐφ' ὃν λήγομεν βαθμόν, ἀπ' ἐκείνου πάλιν ἀρχόμεθα.

θ'. ΠΕΡΙ ΠΡΟΣΔΙΑΣΑΦΗΣΕΩΣ.

Προσδιασάφησίς ἐστιν, ὅταν ἓν ὄνομα ἐπενεχθῇ πεπληρωμένῳ λόγῳ, προσδιασαφοῦν πλέον τι, ὡς ἔχει τὸ 468
Ὁμηρικόν,

ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ·

Digitized by Google

τὸ γὰρ Θυμῷ ἐπηνέχθη πλήρει τῷ λόγῳ προσδιασαφοῦν, ὅτι ψυχή ἐστι, περὶ ἣν τὸ τοῦ ἀρέσκειν πάθος γίνεται· καὶ εἴ τις ἐν πολλῷ λόγῳ λέγοι, ταῦτα ἐννοήσας τῇ ψυχῇ.

www.libtool.com.cn

ι'. ΠΕΡΙ ΠΕΡΙΦΡΑΣΕΩΣ.

Ἡ δὲ περίφρασις ἰδιόν μοι δοκεῖ σχῆμα εἶναι τῆς ποιήσεως· πολλὰ γὰρ τὰ περιπεφραγμένα παρ' ἐκείνοις, οἷον βίη Ἡρακληείη καὶ μένος Ἀλκινόοιο· οὐ μὴν ἀλλὰ τὸ σχῆμά ἐστι τοῦτο εὑρεῖν καὶ παρὰ Δημοσθένει, ἀλλ' ἁπλῶς οὕτως ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς καὶ τῆς ὕβρεως τῆς Μειδίου, γέγονε δὲ ὁ 469 λόγος καὶ ὑψηλότερος καὶ πλείονα ἔμφασιν ἔχων κατὰ τὴν περίφρασιν, ἢ εἰ οὕτω ῥηθείη, ἠτίμωται ὑπὸ Μειδίου. καὶ ὡς τὰ Ξενοφῶντος ἔχει, ἔννοιά ποθ' ἡμῖν ἐγένετο, ἀντὶ τοῦ ἐνενοήσαμεν, καὶ ὡς τὸ παρὰ Θουκυδίδῃ, οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε ἀντὶ τοῦ ἐμανθάνετε· πολὺ δὲ τὸ σχῆμα παρὰ τῷ ἀνδρὶ τούτῳ.

ια'. ΠΕΡΙ ΠΛΕΟΝΑΣΜΟΥ.

Πλεονασμὸς δέ ἐστιν, ὅταν ᾖ τῷ λόγῳ προσκείμενον μόριον ἐκ τοῦ περιττοῦ κόσμου χάριν ἢ ἐμφάσεως, οὗ ἀφαιρεθέντος οὐδὲν ἡ διάνοια βλάπτεται, ὡς ἔχει τὸ τοιοῦτον, κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο· ἐνταῦθα γὰρ τὸ δὴ προσκείμενον τῷ λόγῳ παρέσχε κόσμον, ἀφαιρεθὲν δὲ οὐδὲν λυμαίνεται τὴν διάνοιαν. πάλιν, ἐκεῖνος Καλλίστρατος [ἐκρίνετο]· τὸ γὰρ ἐκεῖνος προσκείμενον ἔμφασίν τινα μεγέθους περὶ τὸν ἄνδρα δηλοῖ.

ιβ'. ΠΕΡΙ ΑΣΤΝΔΕΤΟΥ Η ΔΙΑΛΥΣΕΩΣ.

Κατὰ τοῦτο τὸ σχῆμα τοὺς συνδέσμους αἴροντες

Digitized by Google

τοὺς ὀφείλοντας τὰ κῶλα συνάπτειν οὕτω φαμὲν τὸν 470
λόγον, ὡς ἔχει τὰ τοιαῦτα, εἰ δ' ὁμοίως ἁπάντων
τὸ ἀξίωμα, τὴν ἡγεμονίαν παρείλετο, καὶ πάλιν, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόννησον, οὐδενὸς τούτων μέμνημαι. 5

www.libtool.com.cn

ιγ'. ΠΕΡΙ ΕΛΛΕΙΨΕΩΣ.

Ἔλλειψις δὲ γίνεται, ὅταν ὀνόματα πολλὰ περιῃρημένα χρὴ ὀνομαστὶ μὴ κειμένων, ὅτε δέ τι νοεῖται πλέον, ὡς ὁ Δημοσθένης, εἴ τις ἐπακολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι, εἰ τὸ καὶ τὸ ἐποίησεν, οὐκ ἂν 471
ἀπέθανεν· ἐμβρόντητε, εἶτα νῦν λέγεις; νοεῖ- 11
ται γὰρ τὸ φαίη ἄν τις πρὸς αὐτὸν ἢ εἴποι. καὶ πάλιν, μέλει δ' οὐδενὶ οὐδὲ μέμνηται, καὶ γὰρ ἐνταῦθα ἐλλείπει τὸ οὐδείς· πάθους δὲ ἔμφασιν ἔχει τὸ σχῆμα.

ιδ'. ΠΕΡΙ ΑΛΛΟΙΩΣΕΩΣ Η ΑΛΛΑΓΗΣ. 15

Ἡ δὲ ἀλλοίωσις ἢ καὶ ἀλλαγὴ σχῆμά ἐστι ποικίλον, καὶ κατὰ πολλοὺς γινόμενον τρόπους· καὶ γὰρ ἀριθμοὺς ἀλλάσσομεν, καὶ ὀνομάτων τὰς πτώσεις, καὶ ἐπὶ τῶν ῥημάτων πάλιν χρόνους, πάθη. ὀνομάτων μὲν οὖν εἴδη καὶ οὕτως ἀλλοιοῦται καὶ μεταβάλλεται· πᾶσα γὰρ ἡ 20
Ἑλλὰς ἐσιδηροφόρει· ἀντὶ γὰρ τῶν Ἑλλήνων Ἑλλὰς εἴρηται· καὶ πάλιν, εἰ γὰρ τὸ φιλότιμον ἀγήρω μόνον, ἀντὶ τοῦ ὁ φιλότιμος· καὶ ὡς ὁ Δημοσθένης, 472
ἔπειτα δ' ἡ Πελοπόννησος ἅπασα διεστήκει ἀντὶ τοῦ οἱ Πελοποννήσιοι. τούτου δ' ἔχεται τοῦ τρόπου 25
καὶ τὸ τριοῦτον, γῆν ἀροῦν. ἐγίνετο δὲ καὶ τοιαύτη μεταβολὴ προσώπων, ὅταν ἀφ' ἑτέρου ἐφ' ἕτερον τὸν λόγον μεταφέρωμεν, ὡς ἔχει τὸ τοιοῦτον, καὶ οὐδεὶς ἡμῶν χολὴν οὐδ' ὀργὴν εὑρεθήσεται ἔχων, ἐφ' οἷς ὁ βδελυρὸς οὗτος καὶ ἀναιδὴς βιάζεται, ὅς, 30
ὦ μιαρώτατε πάντων, ἀποκεκλεισμένης σοι

Digitized by Google

τῆς παρρησίας. πτώσεως δὲ ἀλλαγὴ καὶ μεταβολὴ οὕτω σχηματίζεται παρὰ τοῖς παλαιοῖς, τοὺς μὲν οὖν ἄλλους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους· ἀπὸ γὰρ τῆς αἰτιατικῆς ἐπὶ τὴν εὐθεῖαν ἐτράπη· καὶ τὰ Ὁμηρικά, μῆνιν ἄειδε θεὰ οὐλομένην ἣ μυρία, καὶ πάλιν, ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλά. ἀριθμοὺς δὲ οὕτως ἀλλάσσουσιν, ὡς Θουκυδίδης, ῥᾷον γὰρ ἑτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀντίστροφον τὴν μεταβολὴν ὁρῶντες· καὶ Φίλιππος καὶ τὸ πλῆθος τῶν ἔλαττον ἰδόντες τὴν τροπὴν τῶν Λιβύων ἐφείποντο. χρόνων δὲ ἀλλαγὴ τοῦτον γίνεται τὸν τρόπον, καὶ ὅτι ἀληθῆ ταῦτα λέγομεν τοὺς ὁρῶντας ὑμῖν παρέξομαι μάρτυρας ἀντὶ τοῦ τοὺς ἑωρακότας. καὶ ἐνέργειαι δὲ καὶ τὰ πάθη [καὶ
473 τὰ ῥήματα] ἀλλάσσεται, καὶ τοῦτο πολύ ἐστι παρὰ Θουκυδίδῃ, οἷον οὐδ' ἐπιμιγνύντες ἀλλήλοις ἀντὶ τοῦ ἐπιμιγνύμενοι, καὶ πάλιν τοὺς τὴν μεσόγειαν μᾶλλον κατῳκημένους ἀντὶ τοῦ κατῳκηκότας.

ιέ. ΠΕΡΙ ΠΟΛΥΠΤΩΤΟΥ.

Πολύπτωτόν ἐστιν, ὅταν ἢ τὰς ἀντωνυμίας ἢ τὰ ὀνόματα ταῖς πλείοσι πτώσεσι καὶ πάσας μεταλαμβάνοντες πλέκωμεν τὸν λόγον, ὡς ἔχει τὸ Ξενοφῶντος, τίνι μὲν γὰρ φίλοι πλείους ἢ τῷ Περσῶν βασιλεῖ; τίς δὲ κοσμῶν φαίνεται ἀεὶ τοὺς περὶ αὐτὸν μᾶλλον ἢ ὁ βασιλεύς; τίνος δὲ δῶρα γινώσκεται μᾶλλον ἢ τὰ βασιλέως; καὶ τὸ Δημοσθενικόν, οὗτοι γὰρ κατέχουσι, τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρου-

www.libtool.com.cn
Digitized by Google

σθῆτε. καίτοι τίς ἦν ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων, ἃ φρονεῖ; τῷ δὲ ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ.

ις'. ΠΕΡΙ ΜΕΤΑΒΟΛΗΣ. 474

www.ibtoof.com.cn

Ἐπὶ τούτου τοῦ σχήματος μετάθεσις μορίων ὅλων γίνεται καὶ καθ' ἕκαστον κῶλον ἢ κόμμα, ὡς ἔχει τὸ Δημοσθενικόν, τίς γὰρ συμμαχία σου πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια ἐκ τῆς σῆς εὐνοίας καὶ δόξης; τίς δὲ πρεσβεία; τίς δὲ διακονία, δι' ἣν ἡ πόλις ἐνδοξοτέρα; τί τῶν Ἑλληνικῶν ἢ τί τῶν οἰκείων ἁπλῶς ἐπηνώρθωται διὰ σέ; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ἢ ποῖον ἱππικόν; ἢ τῶν ἁπάντων τί χρήσιμον, ἢ τοῖς ἀπόροις πολιτικὴ βοήθεια, ἢ χρημάτων εὐπορία;

ιζ'. ΠΕΡΙ ΖΕΥΓΜΑΤΟΣ.

Ἐπὶ τούτου τοῦ σχήματος ποτὲ μὲν καθ' ἕκαστον κῶλον ἐπιλέγομεν τὸ οἰκεῖον ἑκάστῳ, ὡς ἔχει τὸ Ἰσοκρατικόν, πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων, ποτὲ δὲ θέντες τὰ κῶλα ** καὶ πάλιν, ὡς ἔχει τὸ τοιοῦτον, Ἀλέξανδρος ἐνίκησε μαχομένους ἐπὶ μὲν Γρανικῷ τοὺς ἑπτὰ σατράπας, ἐν Ἰσσῷ δὲ Δαρεῖον, ἐν Ἀρβήλοις δὲ συναχθέντας ὁμοῦ πάντας. δύνανται δὲ καὶ τὰ συνάγοντα κῶλα καὶ μέσον αὐτῶν τεθῆναί ποτε· πόθεν δ' ἂν ἡ τοιαύτη γένοιτο σύνταξις, δῆλον [ὅτι] ἐκ τῶν προειρημένων.

ιη'. ΠΕΡΙ ΟΜΟΙΟΤΕΛΕΥΤΟΥ.

Ὁμοιοτέλευτον δέ ἐστιν, ὅταν εἰς τὸ αὐτὸ μόριον

Digitized by Google

πλεονάκις καταλήγωμεν, ὡς ἔχει τὸ Ἰσοκρατικόν, τοῦ
476 μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον
ἐποίησε, τῆς δὲ περιμάχητον τὴν φύσιν κατέ-
στησε, καὶ τὸ Αἰσχίνου, καὶ οὐ τὸ δυστύχημα
ὀνειδίζω, τὸν δὲ τρόπον ἐξετάζω.

www.libtool.com.cn

ιθ'. ΠΕΡΙ ΟΜΟΙΟΠΤΩΤΟΥ.

Ὁμοιόπτωτον δέ ἐστιν, ὅταν ἡ αὐτὴ πτῶσις ἐφ' ἓν
ὄνομα πολλάκις ἀναφέρηται, ὡς ἔχει τὸ κατὰ Δημοσθέ-
νους Αἰσχίνου, ὦ πρὸς μὲν τὰ μεγάλα τῶν ἔργων
ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ
477 τὴν ἐν λόγοις τόλμαν θαυμασιώτατε· κλητικὴ
γὰρ πτῶσις ἐπ' ἀμφοτέρων τῶν κώλων τέτακται.

κ'. ΠΕΡΙ ΠΑΡΟΝΟΜΑΣΙΑΣ.

Παρονομασία δὲ γίνεται, ὅταν τι τῶν ληφθέντων
εἰς τὴν διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιή-
σαντες ἑτέραν κινήσωμεν ἔννοιαν, ὡς ἔχει τὸ ῥηθὲν
ὑπό τινος πρὸς τὸν ἀμπελουργὸν τὸν δικαζόμενον συνε-
χῶς, αἱ ἄμπελοί σου οὐ κλήματα φέρουσιν,
ἀλλ' ἐγκλήματα, καὶ ὡς τὸ Δημοσθενικόν, ἔτι γὰρ
τῶν πραγμάτων ὄντων μετεώρων καὶ τοῦ μέλ-
λοντος ἀδήλου, σύλλογοι παντοδαποὶ καὶ λό-
γοι κατὰ τὴν ἀγορὰν ἐγίνοντο, καὶ ὡς τὸ Θουκυ-
δίδου, ἰέναι τοῖς ἐχθροῖς ὁμόσε μὴ φρονήματι,
ἀλλὰ καταφρονήματι. καὶ ὅπως τὰ τοιαῦτα ἔχει
διεκπλέκοντες καὶ περιπλέκοντες.

κα'. ΠΕΡΙ ΑΝΤΙΘΕΣΕΩΣ.

Ἀντίθεσις δὲ γίνεται κατὰ τρόπους πλείονας, καθ'
478 ἕνα μέν, ὅταν τὰ ἀντικείμενα ὀνόματα ἀναλαμβάνω-
μεν, ὡς ἔχει τὸ τοιοῦτον, μᾶλλον γὰρ τιμῶσιν αἱ
πόλεις τῶν ἀδίκως πλουτούντων τοὺς δι-
καίως πενομένους, καὶ ἐπιλούουσιν ἐν θερ-

Digitized by Google

μοῖς ὕδασι ψυχροὺς ἄνδρας. καθ' ἕτερον δέ, ὅταν αὐτὰ στρέφηται τὰ ὀνόματα, σὺ μὲν γὰρ ἔλαβες, ὦ Δημάδη, δῶρα παρὰ Φιλίππου, ἐγὼ δὲ οὐκ ἔλαβον, καὶ προέπιες αὐτῷ κατὰ τῆς πό- 479
λεως εὐωχούμενος, ἐγὼ δ' οὐ συνέπινον. καθ' 5
ἄλλον δὲ τρόπον ἡ ἀντίθεσις γίνεται, ὅταν μὴ πάντως τοῖς ἀντικειμένοις ὀνόμασιν φράζωμεν, ἀντικείμενα μέντοι ἢ διαφέροντα πράγματα λαμβάνωμεν, ὡς παρὰ Δημοσθένει, ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων· ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην· ἐτρι- 10
ταγωνίστεις, ἐγὼ δὲ ἐθεώρουν· ἐγραμμάτευες, ἐγὼ δ' ἐκκλησίαζον· ἐξέπιπτες, ἐγὼ δὲ ἐσύριττον.

κβ'. ΠΕΡΙ ΑΝΤΙΜΕΤΑΘΕΣΕΩΣ Η ΣΤΓΚΡΙΣΕΩΣ Η ΠΛΟΚΗΣ. 15

Ἐπὶ τούτου τοῦ σχήματος ταῖς αὐταῖς λέξεσι χρώ- 480
μενοι πλεονάκις ἕτερα σημαίνομεν, ὡς ἔχει τὰ τοιαῦτα,

χάριέν ἐστ' ἄνθρωπος, ὅς τ' ἄνθρωπος ἦ·

καί,

καλὸν δὲ τὸ ζῆν, ἄν τις ὡς δεῖ ζῆν μάθῃ· 20

καὶ ὡς ἔχει τὸ Αἰσχίνου, δεῖ γὰρ τὰς Θήβας εἶναι Βοιωτίας, οὐ τὴν Βοιωτίαν Θηβῶν. παράκειται δὲ τούτῳ τῷ σχήματι ἡ ἀντιμεταβολὴ καλουμένη· γίνεται δέ, ὅταν ἐν τῷ πρώτῳ καὶ δευτέρῳ κώλῳ τῆς περιόδου τοῖς αὐτοῖς ὀνόμασι χρησώμεθα, τὰ ἐν ἀρχῇ ἐν τέλει 25
τεθέντα ἐπὶ ταύτης ἀπολίπωμεν, ὡς Ἰσοκράτης παρακαλούμενος ἐπάρξασθαί τι παρὰ πότον εἶπεν, οἷς μὲν γὰρ ἐγὼ δεινός, οὐχ ὁ παρὼν καιρός, οἷς δ' ὁ νῦν καιρός, οὐκ ἐγὼ δεινός.

κγ'. ΠΕΡΙ ΑΝΤΕΝΑΝΤΙΩΣΕΩΣ. 481

Ἀντεναντίωσις δέ ἐστιν, ὅταν τὸ ἐναντίον ὄνομά 31

τινος τιθέντες αὐτὸ ἐκεῖνο σημαίνωμεν, εἰ οὕτως ἢ τῷ κειμένῳ ἐναντίον, οἷον ἐχθροὺς ἔσχεν οὐ τοὺς ἀδυνατωτάτους λέγειν καὶ πράττειν, καὶ πάλιν, οὔτε ἐλαχίστων κατὰ τὴν πόλιν ἀντὶ τοῦ τοὺς δυνατωτάτους καὶ τὰ μέγιστα, καὶ ὡς τὸ Ὁμηρικόν,

ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν,
ἀντὶ τοῦ ὁ γενναιότατος.

www.ibtool.com.cn

κδ'. ΠΕΡΙ ΤΠΕΡΒΑΤΟΥ.

Τοῦ δ' ὑπερβατοῦ καὶ αὐτοῦ πλείους εἰσὶ διαφοραί· 482
καὶ γὰρ κατ' ἀναστροφὴν συλλαβῶν καὶ μορίων γίνε- 11
ται, ὡς ἔχει λέων κατὰ ταῦρον ἐδηδώς, καὶ Δημοσθένης κατὰ τοῦ Αἰσχίνου, οὗτος μὲν τὸν Ἀξιόχου οὐδ' ἕνα δ' ἄλλον, καὶ τὸ Θουκυδίδου ἐν οὗ τῷ ἱερῷ. καὶ πάλιν λέξεως συνθέτου διασπειρομένων ἀπ' 15
ἀλλήλων τῶν μορίων, οἷον ἄπο μ' ὀλεῖς ἀντὶ τοῦ ἀπολεῖς με. καὶ πάλιν λέξεων μὴ κατὰ τὸ ἑξῆς μηδὲ κατὰ φύσιν τιθεμένων, οἷον τὸ Θουκυδίδου, πυθόμενοι δὲ οἱ Κερκυραῖοι τὴν παρασκευὴν αὐτῶν ἐφοβοῦντο, καὶ (ἦσαν γὰρ οὐδενὸς Ἑλλήνων ἔν- 20
σπονδοι, οὐδὲ ἐπέγραψαν ἑαυτοὺς οὔτε ἐς τὰς Ἀθηναίων, οὔτε ἐς τὰς Λακεδαιμονίων σπονδάς,) ἔδοξεν αὐτοῖς ἐλθοῦσι πρὸς τοὺς Ἀθηναίους συμμάχους γενέσθαι· ὃ γὰρ ἐνταῦθα 483
ἀποδοθῆναι ὤφειλεν, ἤδη προείληπται· τὸ γὰρ ἑξῆς 25
ἐστι, τὴν παρασκευὴν αὐτῶν ἐφοβοῦντο, καὶ ἔδοξεν αὐτοῖς ἐλθοῦσι πρὸς τοὺς Ἀθηναίους συμμάχους γενέσθαι· ἦσαν γὰρ οὐδενὸς Ἑλλήνων ἔνσπονδοι. γίνεται δὲ ὑπερβατὸν καὶ πολλῶν τιθεμένων μεταξὺ λέξεων τῶν ὀνομάτων, ὡς ἔχει τὸ Δημοσθενικόν, ἐγὼ δ' ὅτι μὲν 30
πάντα ἀπόλλυται χρήματα, ἐὰν τὰ τοῦ σοφίσματος παραδέξησθε, καὶ ὅτι, εἴ ἄρα δεῖ τινας

Digitized by Google

ἀφιέναι τῶν ὀφειλόντων, τοὺς ἐπιεικεστέρους καὶ βελτίους, καὶ ἐπὶ τοῖς ἥκιστα δεινοῖς ὠφληκότας ἀφιέναι δίκαιον ἂν εἴη, οὐχὶ τὸν πονηρότατον καὶ πλεῖστα ἡμαρτηκότα καὶ δικαίως ὠφληκότα καὶ ἐπὶ δεινοτάτοις (τί γὰρ ἂν γένοιτο συκοφαντίας καὶ παρανομίας δεινότερον, ἐφ' οἷς ἀμφοτέροις οὗτος ὤφληκε;) καὶ ὅτι οὐδ' εἰ πᾶσι τοῖς ἄλλοις ἀφιέναι δίκαιον, οὐχὶ τῷ βιαζομένῳ ὑβρίσαι τὸ αὐτὸ γέγονε· τὰ τοιαῦτα ἐάσω· τὸ γὰρ ἐάσω διὰ μακροῦ πάνυ ἐπενηνεγμένον.

www.libtool.com.cn

κε'. ΠΕΡΙ ΠΑΡΕΜΒΟΛΗΣ.

Τοῦτο τὸ σχῆμα παρακεῖσθαι μὲν δοκεῖ τῷ ὑπερβατῷ, ἐπειδὴ μεταξὺ τῆς κατὰ φύσιν συντάξεως τοῦ λόγου τίθεταί τις λόγος, διαφέρει δὲ ἐκείνου· τὸ μὲν γὰρ ὑπερβατὸν ἐν τῇ ἀλλαγῇ τῶν μορίων καὶ τῇ προσαποδόσει τοῦ ἀκολουθοῦντος σχήματος· ἡ δὲ παρεμβολὴ ἰδίαν ἔχει διάνοιαν· καὶ τῆς μὲν ὑπερβάσεως, ὅταν τι μέρος τῶν ὑπαρχόντων ἄρῃς, βλάψεις τὸν νοῦν καὶ τὸ σχῆμα ἀναιρήσεις· ἡ παρεμβολὴ δὲ καὶ ὅλη ἀρθεῖσα οὐ βλάπτει τὴν διάνοιαν. παράδειγμα δὲ τῆς παρεμβολῆς καὶ τὸ παρ' Ἡροδότῳ κείμενον, Κροῖσος ἦν Λυδὸς μὲν τὸ γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Σύρων καὶ Καππαδοκῶν καὶ πρὸς Βορέην ἄνεμον εἰς τὸν Εὔξεινον ἐξίησι πόντον· οὗτος οὖν Κροῖσος· ἐνταῦθα τὰ περὶ τοῦ ποταμοῦ παρεμβεβλημένα οὐδὲν κοινὸν ἔχει τοῖς περὶ τὸν Κροῖσον· ἐδύνατο γὰρ καὶ οὕτως ἔχειν ὁ λόγος· τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, οὗτος ὢν ὁ Κροῖσος.

Digitized by Google

κς'. ΠΕΡΙ ΠΑΡΙΣΟΥ.

Πάρισόν ἐστιν, ὅταν δύο ἢ πλείονα κῶλα συνενω-
485 *θέντα μάλιστα μὲν καὶ τὰς συλλαβὰς ἴσας ἔχῃ, ἀλλά γε*
καὶ τὸν ἀριθμὸν τὸν ἴσον ἐν πᾶσι λαμβάνῃ, ὡς ἔχει τὸ
5 *προειρημένον Ἰσοκρατικόν, τοῦ μὲν ἐπίπονον καὶ*
φιλοκίνδυνον βίον κατέστησε, τῆς δὲ περι-
βλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν.
εἰ δὲ τὸ παράδειγμα τοῦτο καὶ ὁμοιοτέλευτόν ἐστιν, οὐ-
δὲν διαφέρει· πολλοὶ γὰρ λόγοι καὶ ἐκ δύο καὶ ἐκ πλειό-
10 *νων σχημάτων σύγκεινται.*

κζ'. ΠΕΡΙ ΠΡΟΣΤΝΑΠΑΝΤΗΣΕΩΣ.

Προσυναπάντησίς ἐστιν, ὅταν δύο ἐξενεγκὼν ὀνό-
ματα πρὸς τὸ τελευταῖον πρότερον τὴν ὑπάντησιν ποι-
ήσηται, ὡς καὶ τὸ Ὁμηρικόν,

15 *ἔνθ' ἅμα οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν*
ὀλλύντων τε καὶ ὀλλυμένων.

τὸ γὰρ ὀλλύντων τὸ εὐχόμενον προσαποδέδοται, καὶ ἐλ-
θόντων Ἀθηναίων καὶ Λακεδαιμονίων, Λα-
κεδαιμονίων μὲν Εὐρυβιάδεω ἡγουμένου,
20 *Ἀθηναίων δὲ Θεμιστοκλέους.*

486 *κη'. ΠΕΡΙ ΕΠΙΤΙΜΗΣΕΩΣ, ΤΟ Δ ΑΤΤΟ ΚΑΙ ΤΠΑΛ-*
ΛΑΓΗΝ ΤΙΝΕΣ ΚΑΛΟΥΣΙΝ.

Τοῦτο τὸ σχῆμα γίνεται καὶ αὐτὸ κατά τινας τρό-
πους· ἢ γὰρ ἐπιτιμήσαντες τῇ πρώτῃ λέξει ἑτέραν ἐλά-
25 *βομεν, ὡς Δημοσθένης, ὀψὲ γάρ ποτε, ὀψὲ λέγω·*
χθὲς μὲν οὖν καὶ πρώην· ἢ διαφοράν τινα ἐμφαί-
νομεν τῶν ὀνομάτων, ὥσπερ ἐπὶ τοῦ περισσῶς φιλοῦν-
τος, οὐκ ἔστι τοῦτο φιλία, ἀλλ' ἔρως· ἢ διαστήσαν-
τες ἐξελεξάμεθα τὸ βέλτιστον, ὠργίζετο, οὐ μὲν οὖν,
30 *ἀλλ' ἐμαίνετο· καὶ πάλιν, οὐ πατὴρ ἦν, μὰ Δία, ἀλλὰ*
τύραννος.

Digitized by Google

www.libtool.com.cn

XX.

ΦΟΙΒΑΜΜΩΝΟΣ

ΣΧΟΛΙΑ ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΡΗΤΟΡΙΚΩΝ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΦΟΙΒΑΜΜΩΝΟΣ ΣΟΦΙΣΤΟΥ ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΡΗΤΟΡΙΚΩΝ.

I.

Τέσσαρα ζητητέον περὶ αὐτῶν, πρῶτον μὲν εἰς τί χρήσιμά εἰσιν, δεύτερον δὲ πόθεν εἴρηνται, τρίτον εἰ φύσει εἰσὶν ἢ τέχνῃ καὶ θέσει, τέταρτον εἰ ἁπλοῦν εἰσιν πρᾶγμα καὶ περὶ ἓν ἢ διάφορον, καὶ περὶ διαφοράς. χρήσιμά ἐστι πρὸς τὸ μὴ διαφθεῖραι τὰ τῶν ἀρχαίων, καὶ ἵνα μὴ ἁμαρτάνωμεν μονόσχημον καὶ προσκορῆ τὸν λόγον προφέροντες, τὸ γὰρ ἀεὶ ὁμοίως ἔχον ἐμποιεῖ κόρον, ἐπειδὴ καὶ χρῆμα ἡδὺ καθέστηκε τοῖς ἀνθρώποις ἡ μεταβολή, ὁ δὲ κόρος ἀηδίαν ἐργάζεται· τὸ δὲ ἐξαλλάττον καὶ ξενίζον ἡδύτερόν ἐστι τοῦ μονοσχήμου καὶ ὡσαύτως ἔχοντος. καὶ ὅτι πιθανώτεροι διὰ τῶν σχημάτων φαίνονται οἱ λόγοι. εἴρηται δὲ σχῆμα διὰ τὸ μετασχηματίζεσθαι, ὡς ἐπὶ τῶν ὀρχουμένων ἀνθρώπων ἢ ὡς ἐπὶ τοῦ πηλοῦ τοῦ πλαττομένου καὶ μετασχηματιζομένου εἰς εἰκόνα ἀνδρὸς ἢ γυναικὸς ἤ τινος τοιούτου. καὶ ὅτι οὐ φύσει ἐστὶν οὕτως, ἀλλὰ τέχνῃ προσγίνεται. ὁρῶμεν γὰρ ἐν ἄλλοις τῶν σχημάτων τοὺς χαρακτῆρας, τὸν μὲν τραχύτερον, τὸν δὲ γλαφυρώτερον, τὸν δὲ μέσον, πάντα δὲ ταῦτα τῇ ποικιλίᾳ τῶν σχημάτων γίνεται. ἔστι δὲ τὸ σχῆμα οὐ μονοειδές· πῇ μὲν γὰρ γίνεται περὶ τὴν διάνοιαν, πῇ δὲ περὶ τὴν λέξιν. δεῖ οὖν λοιπὸν παραθέσθαι δόξας ἀρχαίων. ἡ γὰρ πορφύρα παρὰ τὴν πορ-

Digitized by Google

φύραν, ὡς ἡ παροιμία λέγει, διακριτέα. ὁρίζεται δὲ Ζωΐλος οὕτως, σχῆμά ἐστιν ἕτερον μὲν προσποιεῖσθαι,
494 ἕτερον δὲ λέγειν. τρία ἁμαρτάνει ὅτι οὐ περιλαμβάνει περὶ πάντων τῶν σχημάτων. τὰ γὰρ πλεῖστα ἐκ τοῦ
5 εὐθέος καὶ ἁπλοῦ σχηματίζεται, ὡς ὅτε ἀποφαινόμεθά τι ἢ διαποροῦμέν τι καθ' ἑαυτοὺς ἢ ἀποστροφῇ χρώμεθα ἄνευ προσποιήσεως. Καικίλιος δὲ ὁ Καλακτίτης ὡρίσατο οὕτω, σχῆμά ἐστι τροπὴ εἰς τὸ μὴ κατὰ φύσιν τὸ τῆς διανοίας καὶ λέξεως. τὸ οὖν μὴ κατὰ φύσιν οὐ
10 καλόν, τὸ δὲ [μη καλὸν] τροπή ἐστιν ἐπὶ τὸ χεῖρον. Ἀθηναῖος δὲ ὁ Ναυκρατίτης καὶ Ἀπολλώνιος ὁ ἐπικληθεὶς Μόλων ὡρίσαντο οὕτω, σχῆμά ἐστι μεταβολὴ εἰς ἡδονὴν ἐξάγουσα τὴν ἀκοήν. οὐ πάντοτε δὲ μεταβάλλεται· καὶ γὰρ καὶ ἠθικεύεται καὶ ἐμφαντικώτερον ποιεῖ
15 τὸν λόγον. ὁ δὲ τέλειος αὐτοῦ ὅρος οὕτω, σχῆμά ἐστιν
495 ἐξάλλαξις κατὰ διάνοιαν ἢ λέξιν ἐπὶ τὸ κρεῖττον ἄνευ τρόπου γινομένη. ἐπὶ τὸ κρεῖττον εἴρηται διὰ τὸν σολοικισμόν· καὶ γὰρ ὁ σολοικισμὸς τροπή ἐστι καὶ ἐξάλλαξις, ἀλλ' ἐπὶ τὸ χεῖρον. ἄνευ δὲ τρόπου εἴρηται,
20 ἐπειδὴ καὶ ὁ τρόπος καὶ ἡ τροπικὴ λέξις ἐξάλλαξίς ἐστιν ἐκ τῆς κυρίως λεγομένης, ἄνευ μέντοι σχήματος, ὡς παρὰ τῷ Δημοσθένει τὸ ὑποσκελίζειν ἀντὶ τοῦ ἀνατρέπειν, καὶ τὸ σπερμολόγος ἀντὶ τοῦ εὐτελής, καὶ εὐπροσώπους λόγους ἀντὶ τοῦ πιθανούς, καὶ παρὰ
25 τῷ Ἰσοκράτει τοῦ βίου τὴν ὁδόν, καὶ ἕτερα τοιαῦτα.

Ὅτι τὸ σύστημα τῶν κατὰ διάνοιαν σχημάτων ἀκίνητόν ἐστιν ὑπὸ φράσεως· ὡς [δ'] ἂν γάρ τις σχηματίσῃ τὴν φράσιν, ἡ αὐτὴ φυλάσσεται διάνοια, οἷον περὶ ἀποδημοῦντος ἐρωτῶ, μὴ ἐλθεῖν αὐτὸν ὑποπτεύων δια-
30 φόρως ἐρωτῶ, ὁ δεῖνα ἄρα ἔρχεται; πεισθήσεται; θαρσήσει ἐλθεῖν; σκυλῆναι ἀνέξεται; διὰ πάντων δὲ τούτων ἡ διάνοια ἤγουν ὁ σκοπὸς τῆς ἐρωτήσεως σώζεται.

www.libtool.com.cn
Digitized by Google

ταῦτα δὲ τὰ περὶ τὴν διάνοιαν σχήματα εἰς δύο διαιρεῖται· τὰ μὲν γὰρ τοῦ προσώπου εἰσί, τὰ δὲ τοῦ λόγου. ὀκτωκαίδεκα δὲ ὄντων τρία εἰσὶν τοῦ προσώπου μόνου, ἀποστροφή, ἐρώτησις, πεῦσις. ἀποστροφὴ μέν ἐστιν, 496
ἡνίκα πρὸς τοὺς κριτὰς ἢ τὸν ἀντιλέγοντα τὸν λόγον 5
τρέψομεν. ἐρώτησις δὲ καὶ πεῦσις ταύτῃ διαφέρουσιν,
τῷ τὴν μὲν ἐρώτησιν δι' ὀλίγων ἐπιδέχεσθαι τὴν ἀπόκρισιν, οἷον

οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν Ὀνήσιμε;

πρὸς ἃ σύντομος ἡ ἀπόκρισις τὸ πάνυ μὲν οὖν· τὴν δὲ 10
πεῦσιν διὰ πλειόνων ἐπιδέχεσθαι τὴν ἀπόκρισιν, οἷον

τίς πόθεν εἶς ἀνδρῶν;

πρὸς ἣν ὁ Γλαῦκος ἄνωθεν ἠναγκάσθη γενεαλογῆσαι.
ἰστέον ὅτι ὀκτωκαίδεκα ὄντων τῶν τῆς διανοίας σχημάτων κϛ΄ ἐστὶ τὰ τῆς λέξεως. δέον εἰδέναι ὅτι πάντα τὰ 15
σχήματα κατὰ δ΄ γίνονται τρόπους ἤτοι αἰτίας, κατὰ 497
ἔνδειαν, κατὰ πλεονασμόν, κατὰ μετάθεσιν, κατὰ ἐναλλαγήν. ἀρχώμεθα τοίνυν τῶν ἀπὸ τῆς λέξεως σχημάτων. τῆς τοίνυν ἐνδείας εἴδη εἰσὶν τρία, ἀσύνδετον, 20
ἀπὸ κοινοῦ, ἔλλειψις· τοῦ δὲ πλεονασμοῦ εἴδη ιά, ταυτολογία, δίπλωσις, ἐπαναφορά, ἐπανάδοσις, ἐπανάληψις, περίφρασις, ἐπίφρασις, παρονομασία, ἐπεξήγησις, ἐπιμονή, ἐπίτασις· τῆς δὲ μεταθέσεως εἴδη εἰσὶ δ΄, ὑπερβατόν, ἀνάστροφή, πρόληψις αἰτίας, προεπίζευξις· τῆς 25
δὲ ἐναλλαγῆς εἴδη εἰσὶν ὀκτώ, ἑτερογενές, ἑτεράριθμον, ἑτερόπτωτον, ἑτεροσχημάτιστον, ἑτερόχρονον, ἑτεροπρόσωπον, ἀποστροφὴ προσώπου, ἀντιστροφή. τί δὲ τούτων ἕκαστον, ἐφεξῆς μετὰ παραδειγμάτων λεκτέον.

ΠΕΡΙ ΕΝΔΕΙΑΣ. 498

Ἀσύνδετόν ἐστι φράσις, ἐν ᾗ παραλείπονται οἱ συν- 2

www.libtool.com.cn
Digitized by Google

δέοντες σύνδεσμοι, ὡς εἴ τις εἴποι περί τινος, εὗρον αὐτόν, ἐλάλησα, ἔπεισα.

Ἀπὸ κοινοῦ δέ ἐστι λέξις ἅπαξ μὲν λεγομένη, πολλάκις δὲ νοουμένη καὶ συντασσομένη, ὡς ἵνα τις εἴπῃ, ἀπελθὼν ἤτησα τοὺς ἄνδρας, μάλιστα δὲ τόνδε καὶ τόνδε. ἀπὸ κοινοῦ γὰρ συντάσσεται ἐνταῦθα τὸ ἤτησα.

Ἔλλειψις δέ ἐστι παράλειψις λέξεως νοουμένης ἐκ τῆς συμφράσεως, ὡς ἵνα εἴπωμεν, αὐτὸς κύριος τοῦ πράγματος, αὐτὸς ὁ πείθων τοὺς ἄλλους, αὐτὸς ὁ κελεύων· παραλέλειπται γὰρ ἐν τούτοις τὸ ἐστί.

ΠΕΡΙ ΤΟΥ ΠΛΕΟΝΑΣΜΟΥ.

Ταυτολογία λέξεων ἐστὶ ταὐτὸ σημαινουσῶν παράλληλος θέσις, ὡς εἰ λέγοιμεν, ὀξεῖς εἰσι καὶ ταχεῖς, ἢ μελληταὶ καὶ βραδεῖς.

Ἀναδίπλωσις δέ ἐστι λέξεως ἢ λέξεων δὶς ἢ πολλάκις περὶ τοῦ αὐτοῦ πράγματος προφορά· γίνεται δὲ καὶ διχῆ ἢ παράλληλος, ὡς ἵνα εἴπωμεν, ὁ δεῖνα ὁ δεῖνα οὐχ ὑπήκουσεν, ὃ ποιεῖ τὴν ἐπίζευξιν ἢ μεθ' ἑτέρων ἢ μεταξὺ τεθέντων τινῶν, ὡς ἵνα εἴπωμεν, ὁ δεῖνα ὁ ἐκεῖ τρέχων, καὶ πάλιν ἐπενέγκωμεν, ὁ δεῖνα.

Ἐπαναφορὰ δέ ἐστιν, ἢ καὶ ἀναφορά, πλειόνων στίχων ἢ κώλων ἀπὸ τῶν αὐτῶν τοῦ λόγου μερῶν ἀρχή, ὡς ἵνα εἴπωμεν, ἐγὼ διῴκησα τὸν οἶκον αὐτοῦ, ἐγὼ ἔστησα τὴν περιουσίαν αὐτοῦ.

Ἐπανάδοσις δέ ἐστι δύο προτεθέντων ἀδιαστόλως ὀνομάτων ἢ καὶ προσώπων διάκρισις εἰς ἄλλο καὶ ἄλλο, ὡς ἵνα τις εἴπῃ, ὁ δεῖνα καὶ ὁ δεῖνα εὑρέθησαν, ὁ δεῖνα μὲν τόδε ποιῶν, ὁ δεῖνα δὲ τόδε.

Ἐπανάληψις δέ ἐστιν ἀνάμνησις προειρημένου τινὸς μεταξυλογίας ἐμβεβλημένης, ὡς ἵνα εἴπω, ὁ δεῖνα

www.libtool.com.cn
Digitized by Google

στρατηγὸς ηὔξησε τὰ πράγματα, εἶτα ἐν τῷ μεταξὺ εἰπών, πῶς ηὔξησεν, ἐπαναμνήσω πάλιν· αὐξήσαντος οὖν τούτου τὰ πράγματα τόδε γέγονε.

Περίφρασίς ἐστιν ἑρμηνεία διὰ πλειόνων τοῦ διὰ μιᾶς λέξεως σημαινομένου, ὡς ἵνα εἴπω ἡ μεγαλοπρέπεια τῶν ὑπάρχων ἀντὶ τοῦ οἱ ὕπαρχοι.

Ἐπίφρασις δέ ἐστι λόγος τινὶ ἢ τισὶν ἐξαιρέτως ἐπιφωνούμενος, ὃ διχῆ γίνεται. προτασσομένου γὰρ τοῦ ὀνόματος κατ' ἐξοχὴν λέγεται, ὡς ἵνα εἴπω, ὁ δεῖνα ὁ σχολαστικὸς ἦλθε καὶ ὅλος ὁ φόρος· ὑποτασσομένου δὲ ἰδίως ἐπίφρασις, οἷον ὅλος ὁ φόρος ἦλθε καὶ ὁ δεῖνα ὁ σχολαστικός.

Παρονομασία δέ ἐστι παραποίησις ὀνόματος πρὸς παραπλήσιον ἐγγὺς κείμενον, ὡς εἰ λέγοιμεν, Στρατήγιος στρατηγὸς ᾑρέθη· ἤγουν θέσις τῆς αὐτῆς λέξεως ἐπ' ἄλλου καὶ ἄλλου σημαινομένου κατ' ἐναλλαγὴν τοῦ νοῦ, ὃ πλοκῆς ἴδιον, ὡς ἵνα εἴπωμεν, ὁ ἄνθρωπος ἄνθρωπός ἐστι, τὸ μὲν τῇ φύσει διδόντες, τὸ δὲ τῷ τρόπῳ.

Ἐπεξήγησις δέ ἐστιν ἀσαφοῦς λέξεως ἢ λόγου σαφηνισμός. λέξεως μὲν ὡς εἰ λέγων τις ἀκινάκης σαφηνίσει λέγων Περσικὸν εἶναι ξίφος τοιόνδε καὶ τοιόνδε· λόγου δὲ ὡς εἰ λέγοιμεν, ὁ οἶκος ὅδε βεβαίως οὐκ οἰκεῖται, καὶ σαφηνίζοντες αὐτὸ εἴποιμεν, οἱ μένοντες ἐκεῖ ταχὺ μετέρχονται.

Ἐπιμονὴ δέ ἐστι προφορὰ πλειόνων λέξεων ἐπίσης τὸ αὐτὸ σημαινουσῶν, ἢ καὶ λόγων. λέξεων μὲν ὡς εἰ λέγοιμεν, ὁ θεὸς ἡμᾶς ἐρύσατο ἀπὸ συμπλοκῆς, ἀπὸ μάχης, ἀπὸ τραυμάτων, ἀπὸ αἱμάτων· λόγου δὲ ὡς ἵνα εἴπω, ὁ τὰ ἐμὰ λαμβάνων, ὁ διαβάλλων με πρὸς τοὺς φίλους, ὁ ἐπιβουλεύων μοι πανταχοῦ τι ποιεῖ, ὡς δῆλον ὅτι μισεῖ με.

Ἐπίτασις δέ ἐστιν ἐπιμονῆς μὲν εἶδος, οὐκ ἐπίσης

δὲ δηλοῦν τὸ πρᾶγμα, ἀλλ' ἐξαλλαγὴν ἔχον ἐπὶ τὸ μεῖζον, ὡς ἵνα εἴπω περὶ εὐσωματοῦντος διαλεγόμενος καὶ μεγάλου, ὅτι κίων ἐστὶ τῷ μεγέθει, ὅτι ὄρος ἐστίν.

www.libtool.com.cn

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΜΕΤΑΘΕΣΕΩΣ.

Ὑπερβατὸν δέ ἐστι λέξις ἢ φράσις ἀνὰ μέσον ἔχουσά τι τῶν ἐξῆς νοουμένων. ἐν τρισὶ δὲ τοῦτο θεωρεῖται, ἢ ἐν λέξει, ὃ διχῶς γίγνεται, ἢ ἐν λόγῳ, ἢ ἐν πράγματι· ἐν λέξει μέν, ἡνίκα διαιρεῖται μία λέξις εἰς τὰ μέρη αὐτῆς, καὶ τὸ μὲν τῶν μερῶν τίθεται πρῶτον, εἶτα ἄλλο τι ἐν τῷ μεταξὺ διαλαμβάνεται, καὶ οὕτω τὸ ἕτερον μέρος τῆς λέξεως, ὡς ἵνα θέλων εἰπεῖν, ὅτι κατέφαγε ταῦρον, εἴπω ὅτι κατὰ ταῦρον ἔφαγεν. ἢ ὁλοκλήρου λέξεως ὑπερβιβαζομένης, ὡς ἐπὶ τούτου τοῦ παραδείγματος, ὡς ἵνα λέγῃ τις, ὁ δεῖνα τὸν δεῖνα ἐτύπτησεν ἑταῖρόν μου. ἐν λόγῳ δέ, ὡς ἵνα εἴπωμεν, ἐξεβόησεν καὶ τὸ θέατρον ἤχησεν ἐπαινοῦντες τὸν ἄρχοντα. ἐν πράγματι δέ, οἷον ἡ θρέψασά με καὶ γεννησαμένη.

Ἀναστροφή δέ ἐστι λέξεως θέσις ἐν δευτέρᾳ τάξει μηδενὸς ἀντιπίπτοντος, δέον αὐτὴν προηγεῖσθαι, οἷον ὁ δεῖνα ἦλθεν ἐμοῦ μέτα.

Πρόληψις δὲ αἰτίας ἐστὶ παρεμβολὴ τῆς προφάσεως ὧν ἐροῦμεν, ἐν μέσῳ τῆς ἀρχῆς τοῦ λόγου, καὶ αὐτῶν, οἷον ἑταῖρε πάντα ἔχεις, σῖτον, οἶνον, ἔλαιον. μὴ κλέψῃς, μὴ καταγνωσθῇς.

Προεπίζευξις δὲ διαστολὴ δύο προσώπων ἐν παραβολῇ μέσου τοῦ περὶ αὐτῶν λόγου δυϊκῶς ἢ πληθυντικῶς ὑπὲρ ἀμφοτέρων εἰρημένου, πρὸ τῆς θέσεως τοῦ ἑνὸς αὐτῶν, ὡς ἵνα λέγωμεν, ὁ δεῖνα τόδε ἐποίησαν καὶ ὁ δεῖνα ἢ ὁ δεῖνα [ἢ ὁ δεῖνα] γενναῖοί εἰσι καὶ ὁ δεῖνα.

Digitized by Google

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΕΝΑΛΛΑΓΗΣ. 503

Ἑτερογενὲς δέ ἐστι μετάβασις εἰς γένος ἀπὸ γένους, ἧς ἡ ἀναφορὰ ἢ ἐπὶ τὸ συνώνυμόν ἐστιν, ἢ ἐπὶ τὸ νοούμενον, ὡς ἵνα εἴπω, τὰ παρὰ θάλασσαν φοβερά ἐστιν ἐρημίαι οὖσαι.

Ἑτεράριθμον δὲ εἰς ἀριθμὸν ἀπὸ ἀριθμοῦ μετάβασις πρὸς ὁμώνυμον, ἢ πρὸς σημαινόμενον ἀναγομένη, ὡς ἵνα εἴπω, τὰ παιδία παίζει καὶ πίπτουσιν.

Ἑτερόπτωτον δέ ἐστιν μετάβασις εἰς πτῶσιν ἀπὸ πτώσεως, ἢ προτιθεμένης μέν, ὀφειλούσης δὲ τῷ λόγῳ συνταχθῆναι, ἢ λέξεως μιᾶς θέσις πρὸς διαφόρους πτώσεις συντασσομένης, οἷον τόνδε τὸν ἐλλόγιμον γινώσκεις, οἷον ἐποίησε τόδε. ἢ θέλων εἰπεῖν ὁ δεῖνα υἱός μού ἐστι, λέγω υἱός μοί ἐστιν, ἢ ὁ δεῖνα ἄρχει τῆς πόλεως, ἄρχει τῇ πόλει.

Ἑτεροσχημάτιστον δέ ἐστιν ἐναλλαγὴ ῥήματος εἰς μετοχήν, ἢ καθ' ἑαυτὸ ἢ μετὰ συνδέσμου, ἢ καὶ ῥήματος ἀπὸ ἐγκλίσεως εἰς ἔγκλισιν, ὡς ἵνα ἀντὶ τοῦ εἰπεῖν, ἐπειδὴ ἔτρεχεν ὅδε, τόδε ἐγένετο, εἴπω, τρέχοντος ὅδε τόδε ἐγένετο. 504

Ἑτερόχρονον δὲ μετάβασις ἀπὸ χρονικοῦ ῥήματος εἰς χρόνον ἄλλον, ὡς ἵνα εἴπω ἀντὶ τοῦ [τῶν] εὑρήσω σκοπὸν [εὑρὼν ἢ] εὗρον.

Ἑτεροπρόσωπον δέ ἐστιν ὑποβολὴ προσώπου τοῦ λέγοντος, ὡς ὅταν ὀκνῶν εἰπεῖν ἀφ' ἑαυτοῦ, ὡς ἀπὸ ἑτέρου προσώπου λέγω, οἱονεὶ εἰ Ἀλεξανδρεῦσιν ἐπιπλήττων ὑπὲρ ἀταξίας εἴπω, Θηβαίους εὑρὼν ἀτακτοῦντας τόδε καὶ τόδε εἶπον.

Ἀποστροφὴ δὲ προσώπου ἐστὶ μετάβασις λόγου πρὸς πρόσωπον, ᾧ πρότερον οὐ διαλεγόμεθα, ὡς ἵνα δικαζόμενος καὶ πρὸς τὸν ἄρχοντα λέγων τὸ πρᾶγμα στρα-

www.libtool.com.cn
Digitized by Google

φῶ πρὸς τὸν ἀντίδικον καὶ ἐρωτήσω, οὐκ ἀληθῆ ταῦτα ἃ λέγω;

505 Ἀντιστροφὴ δέ ἐστι χαρακτήρων ἀντίδοσις τῶν συντεταγμένων ἀλλήλαις ἐν τῷ λόγῳ λέξεων, ὡς ἵνα εἴπω, 5 ἠχῶν ἔπεσα ἀντὶ τοῦ πεσῶν ἠχήσα.

www.libtool.com.cn

II.

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΔΙΑΝΟΙΑΣ ΣΧΗΜΑΤΩΝ.

ΠΕΡΙ ΕΝΔΕΙΑΣ.

1 Ἰστέον οὖν ὅτι τῶν τῆς διανοίας σχημάτων ἀποσιώπησις καὶ ἐπιτροχασμὸς τῆς ἐνδείας εἰσίν, καὶ ἔστιν 10 ἀποσιώπησις ἔκλειψις παντελὴς τοῦ ἐκ τῆς ἀκολουθίας ὀφείλοντος ἐπενεχθῆναι, ὡς ἵνα τις εἰπών, εἰ ἐμπορεύσομαι, δέον εἰπεῖν κινδυνεύσω πλέων θάλασσαν, τοῦτο μὴ εἴπῃ διὰ τὸ βλάσφημον, εἴπῃ δὲ οὕτως, εἰ ἐμπορεύσομαι, σιωπῶ τὸ λοιπόν.

15 Ἐπιτροχασμὸς δὲ ὀνομασία πραγμάτων κατὰ μόνην ἀπαρίθμησιν γινομένη, ἄνευ τῆς περὶ αὐτῶν διηγήσεως, ὡς ἵνα τις αἰτιώμενός τινα ὡς πολλὰ κακὰ πεποιηκότα 506 ἀπαριθμήσηται αὐτὰ λέγων, τόδε καὶ τόδε πέπρακταί σοι μὴ τὸ πῶς δὲ πέπρακται λέγων.

ΠΕΡΙ ΠΛΕΟΝΑΣΜΟΥ.

2 Πλεονασμῶν δὲ ἓξ ἐστι σχήματα, προδιόρθωσις, ἐπιδιόρθωσις, προκατάληψις, παράλειψις ἤτοι ὑποσιώπησις, διατύπωσις, ἐπιμονή. [προθεραπεῖαι δέ εἰσι λόγου τοῖς ἀκούουσι, καὶ ἡ μὲν προδιόρθωσις προτιθεμένη πρὸς τοὺς κριτὰς μόνους ἢ καὶ πρὸς τοὺς ἐναν-

Digitized by Google

τίους, ἐπιφερομένη δὲ ἡ ἐπιδιόρθωσις· πρὸς δὲ τοὺς ἐναντίους προκατάληψις.] προδιόρθωσις δέ ἐστιν, ὡς ἵνα διηγούμενός τινι ξένον πρᾶγμα προθεραπεύσω λέγων, ὅτι θαυμάσεις μὲν ἀκούων καὶ ἴσως ἀπιστήσεις, εἰ γέγονε τὸ πρᾶγμα, ὁ δεῖνα δὲ τόδε ἐποίησεν. ἐπιδιόρθωσις δέ, ὡς ἵνα διαβαλῶν τινα 507
παρά τινι ἴσως μὴ ἡδέως ἀκούοντι μετὰ τὴν διαβολὴν εἴπω, ὡς οὐκ ἂν ἐμνήσθην αὐτοῦ, εἰ μὴ πρῶτον ἐβλαψέ με.

Προκατάληψις δέ, ὥς ἵνα περί τινος ἐγκαλούμενος ἐν δίκῃ εἴπω προκαταλαβὼν πρὸς ἑκάτερον, πρός τε τὸν ἀντίδικον καὶ τὸν κριτήν, ὡς ἀδύνατον ἦν ἢ ἀπρεπὲς ἄλλο πραχθῆναι πλὴν τοῦ πεπραγμένου.

Παράλειψις δὲ ἤτοι ὑποσιώπησίς ἐστι νόημα ἐν προσποιήσει σιωπῆς οὐδὲν ἧττον λεγόμενον, ὡς ἵνα ἐγκαλῶν τινι εἴπω, ὅτι σιγῶ τόδε καταλέγων τὰ ἀδικήματα.

Διατύπωσις δέ ἐστιν ἔκθεσις ἑνὸς πράγματος δια πλειόνων, ὡς ἵνα μαρτυρῶν ἑτέρῳ εἴπω περὶ αὐτοῦ, ὅτι ἐπιεικής, αἰδήμων, τοῖς πρεσβυτέροις πειθόμενος· 20
διὰ γὰρ πασῶν τῶν λέξεων τούτων τὸ ἐπιεικὲς αὐτῷ 508
προσεμαρτύρησα.

Ἐπιμονὴ δέ ἐστι πολλῶν ἐκφορὰ πραγμάτων, εἰς παράστασιν καὶ δήλωσιν ἑνός, ὡς ἵνα θέλων δείξαί τινα σπουδαῖον ἀπὸ διαφόρων πραγμάτων τοῦτο δηλώσω λέγων, ὅτι καὶ νυκτὸς οὔσης μὴ καρτερῶν ἐκτὸς εἶναι τῶν βιβλίων ἐγερθεὶς ἀνεγίνωσκε· σβεσθέντος δὲ τοῦ λύχνου οὐκ ὤκνει καὶ μακρὰν ὁδὸν βαδίζειν, ἵνα τοῦτον ἄψῃ· ἄδειπνος ἐκάθευδεν, ἵνα μὴ πολὺ ὑπνώσῃ· διὰ γὰρ τούτων πάντων οὐκέτι λόγων, ἀλλὰ πραγμάτων μόνον τὴν σπουδὴν αὐτοῦ ἐδήλωσα. δεῖ δὲ σημειώσασθαι ὅτι τούτων τῶν σχημάτων τῆς διανοίας

www.libtool.com.cn
Digitized by Google

τῶν κατὰ πλεονασμὸν οὐδὲ ἓν συνεμπίπτει τοῖς ἀπὸ τῆς λέξεως, πλὴν τοῦ καλουμένου πλεονασμοῦ, ἤτοι ταυτολογίας, ὥσπερ καὶ κατὰ ἔνδειαν ἑνὶ μόνῳ εἴδει αὐτῆς συνέπεσεν, λέγω δὴ τῇ ἐλλείψει.

www.libtool.com.cn

ΠΕΡΙ ΜΕΤΑΘΕΣΕΩΣ.

3 Κατὰ μετάθεσιν πάλιν ἓξ ἐστι τὰ τῆς διανοίας
509 σχήματα, ἐν οἷς μεθίστησιν ἀφ' ἑαυτοῦ ὃ βούλεται ποιεῖν ἐφ' ἕτερον πρόσωπον· καὶ ἔστι ταῦτα προσωποποιΐα, ἠθοποιΐα, μικτόν, ἐρώτησις, πεῦσις, ἀπο-
10 ποίησις· τούτων δὲ ἕκαστον, τυχὸν προσωποποιΐα καὶ ἠθοποιΐα καὶ μικτὸν εἰσὶ λόγων, οὓς θέλοντες εἰπεῖν δι' ἑαυτῶν ὀκνοῦμεν καὶ μετατίθεμεν ἐπ' ἄλλο πρόσωπον ἢ ὑφεστηκὸς ἢ μὴ ὑφεστηκὸς ἢ γεγονὸς μέν, οὐκέτι δὲ ὄν· καὶ εἰ μὲν μὴ ὑφεστηκός, προσωποποιΐα
15 ἐστίν, ὡς ἐπὶ τούτου ἵνα ἐγκαλῶν τινι μοιχείαν τυχὸν εἴπω· αὐτὸς ὁ καιρός, καθ' ὃν εὑρέθης ἐν τῷ τόπῳ, μαρτυρεῖ κατά σου. [προσωποποιήσας γὰρ τὸν καιρὸν τούτῳ τοὺς λόγους περιτίθημι οὓς ἤθελον εἰπεῖν κατ' ἐκείνου.] ἡνίκα δὲ ὑφεστηκὸς ὑποτίθεται πρό-
20 σωπον, ἠθοποιΐα, ὡς ἵνα εἴπω πρὸς αὐτόν, εἰ ἐθάρ-
510 ρεις σεαυτῷ, ὅτι οὐ τοῦτο ἔπραξας, ἐχρῆν σε τόδε καὶ τόδε λέγειν.

Μικτὸν δέ, ὡς ἵνα εἴπω πάλιν πρὸς τὸν αὐτόν, εἰ ἔζη νῦν ὁ πατήρ σου βλέπων σε μοιχὸν κρινόμενον ἄν-
25 θρωπος ἐπιεικής, ἤμελλε τόδε καὶ τόδε θρηνῶν εἰπεῖν.

Ἡ δὲ ἠθοποιΐα διχῇ γίνεται πρὸς παρόντας καὶ
511 ἀπόντας, ὥσπερ εἰ βουλόμενος ἐλέγξαι τινὰς ῥᾳθυμοῦντας, ὡς πρὸς αὐτοὺς μὲν φανερῶς μηδὲν εἴπω, τὰ δὲ πρὸς ἄλλους εἰρημένα, ὡς ἐν διηγήσει εἰς μέσον
30 θήσω, οἷον ὅτι οἱ ἀσεβήσαντες πανωλεθρίαν ὑπέμει-

Digitized by Google

ναν ἅπαντες, [ὡς διηγούμενος αὐτοῖς πρὸς ἄλλους εἰρημένα ποιήσομαι τὸν λόγον, ὡς ὁ θεῖος ἀπόστολός φησι, μηδὲ γογγύζετε, καθώς τινες καὶ ἀπώλοντο.] ἡ ἐρώτησις δὲ καὶ ἡ πεῦσις κατὰ τοῦτο διαφέρουσιν, ὡς ἵνα ἐγκαλούμενος ὅτι κατέλιπον ἐν ἀνάγκῃ φίλον, εἴπω, ὅτι αἱρέσεώς μοι οὔσης, συγκινδυνεῦσαι αὐτῷ, ἢ πεῖσαι αὐτὸν μὴ ποιῆσαι τόδε, ἢ ἀναχωρῆσαι, μὴ πειθομένου αὐτοῦ συμβουλεύοντί μοι τί ἐχρῆν με ποιῆσαι; καὶ ταῦτα γὰρ μεταθέσεις λόγων εἰσίν.

Ἀποποίησις δέ ἐστιν ἄρνησις ὧν ὑπονοούμεθα, μὴ προσδεομένη πίστεως ὡς ἐγνωσμένης τῆς ἀληθείας, ὡς ἵνα λέγω, κρατήσαντος ἔθους τοὺς σχολαστικοὺς ἐξελθεῖν εἰς προάστεια, οὐκ ἀπ' ἐμοῦ τοῦ ἔθους κρατήσαντος ἐρωτηθεὶς οὐ μὴ προσδεηθῶ ἐπαγαγεῖν ἀπόδειξιν, ὡς ἐγνωσμένου τοῖς ἀκούουσιν, ὅτι παρεγενόμην. τούτων δὲ τῶν κατὰ μετάθεσιν ἓξ σχημάτων τὰ μὲν πρῶτα πέντε συνεμπίπτει τῷ ὑπερβατῷ, ἡ δὲ ἀποποίησις τῇ προλήψει τῆς αἰτίας· ὡς προειλημμένης γὰρ καὶ προεγνωσμένης τῆς αἰτίας τοῦ γενομένου, ὅτι οὐ δι' ἐμέ, χρῶμαι τῇ ἀποποιήσει.

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΕΝΑΛΛΑΓΗΣ.

Κατὰ ἐναλλαγὴν τέσσαρά εἰσι σχήματα τῆς διανοίας, εἰρωνεία, διαπόρησις, διασυρμός, ἀποστροφή. τούτων εἰρωνεία μέν ἐστι λόγος ἐναντίος οἷς ἐνθυμούμεθα, κατ' ἔμφασιν αὐτὰ σημαίνων, ὡς ἵνα ἐγκαλῶν τινι πολυπραγμοσύνην καὶ ἐργολάβειαν εἴπω, ὁ δεῖνα ὁ ἀεὶ ἡσυχάσας καὶ μηδέποτε περιεργασάμενος ἀλλότριον πρᾶγμα, τῷ ἤθει δεικνύς, ὅτι τὰ ἐναντία δοξάζω περὶ αὐτοῦ.

www.lidool.com.cn

Digitized by Google

Διαπόρησις δὲ ζητήσεως προσποίησις, ὧν εἰπεῖν ἢ μαθεῖν ὀφείλομεν, εἰπεῖν μὲν ὡς ἵνα περί τινος εἴπω, ὅτι μωρός ἐστι, παραφρονεῖ, μαίνεται, ἢ οὐκ οἶδα, τί εἴπω περὶ αὐτοῦ· μαθεῖν δέ, ὡς ἵνα βλέπων τινὰ φί-
513 λων ἐπειγόμενον πρός με, εἴπω, ὁ δεῖνα ὁ ἀναγκαῖος
6 φίλος ἐπείγεται πρός με, ἆρά τι μέλλων ἀπαγγεῖλαι;

Ἀποστροφὴ δέ ἐστι μετάθεσις λόγου πρὸς ἄλλο πρόσωπον [ἀπὸ τῶν πρῶτον ἀκουόντων ἢ ὀφειλόντων ἀκούειν, ὡς ἐπὶ τούτου τοῦ παραδείγματος, ἵνα δικα-
10 ζόμενός τίς τινι, τῆς ἐν τῷ διαλέγεσθαι πρὸς τοὺς κριτὰς χρείας αὐτῷ γενομένης, τὸν μὲν πρὸς ἐκείνους ἐάσῃ λόγον, ἀποστραφῇ δὲ πρὸς τὸν ἀντίδικον καὶ διαλεχθῇ αὐτῷ· ἀπὸ δὲ τῶν ὀφειλόντων ἀκούειν,] ὡς ἵνα θέλων ἐπιτιμῆσαι μαθηταῖς τισιν ἀκοσμοῦσιν ἐκείνοις
15 μὲν μηδὲν εἴπω, τῷ δὲ διδασκάλῳ διαλεχθῶ, λέγων ἀκουόντων αὐτῶν ὅτι σπουδάζουσιν οἱ σοὶ ἑταῖροι τῇ ἀταξίᾳ ταύτῃ καταλῦσαι τὴν δόξαν σου.

Διασυρμὸς δέ ἐστιν εὐτελισμὸς πραγμάτων ὑπὸ τῶν ἐναντίων εἰς ὄγκον ἐπαρθέντων, ὡς ἵνα τινὸς ἐν
20 κατηγορίᾳ μου εἰπόντος, ὅτι κακὸν τὸ ἀσεβεῖν, διὰ γὰρ τὴν ἀσέβειαν οἱ ἄνθρωποι τὸ καὶ τὸ πάσχουσιν, ἐξ ὧν ἀπόλλυνται αἱ πόλεις, μὴ ἀποδείξαντος δέ, ὅτι ἠσέβησα τὸ εἰρημένον ὑπ' αὐτοῦ ὑψοῦντος, τὸ πρᾶγμα
514 σμικρυνῶ καὶ εὐτελήσω, λέγων μηδὲν εἶναι πρὸς
25 τὸν ἐμὸν ἔλεγχον τὸν τὰς πόλεις ἀπόλλυσθαι δι' ἀσέβειαν. τούτων δὲ τῶν τεσσάρων σχημάτων ἡ μὲν ἀποστροφὴ ἅπαξ ἓν εἶδός ἐστι, τὰ δὲ ἄλλα τρία συνεμπίπτει τῷ ἑτεροσχηματίστῳ. καὶ ταῦτα περὶ τῶν τῆς διανοίας σχημάτων.

30 Τῶν δὲ τῆς λέξεως κατ' σχημάτων τῶν ἡμῖν ἀπηριθμημένων ἡ μετάληψις καὶ ἡ μεταφορὰ μᾶλλον τοῦ τρόπου εἰσὶν ἢ τοῦ σχήματος, τῶν ἄλλων ἰστέον ὅτι τρία

www.libtool.com.cn
Digitized by Google

εἰσὶ κατὰ ἔνδειαν, ἓν μὲν τοῦ ἀσυνδέτου, καὶ δύο τῆς ἐλλείψεως· τοῦ μὲν ἀσυνδέτου ἡ καλουμένη διάλυσις· διαλέλυται γὰρ τὸ ἀσύνδετον, τῆς δ' ἐλλείψεως καταρίθμησις· ἐλλείπει γὰρ ἐν αὐτῇ ἡ διήγησις ἡ περὶ τῶν ἀπαριθμουμένων πραγμάτων, καὶ ὑπερβολή· ὑπερ- 5
βαίνομεν γὰρ ἐν αὐτῇ, ἃ δεῖ λεχθῆναι. κατὰ δὲ πλεονασμὸν συνεμπίπτει τῇ ταυτολογίᾳ τὸ πολύπτωτον καὶ ἡ κλῖμαξ καὶ ἡ ἐπιτίμησις τῇ ἀναδιπλώσει, ὁμώνυμον καὶ ἡ ἀντιστροφὴ καὶ ἡ ἐπίζευξις τῇ παρονομασίᾳ, ὁμώνυμον καὶ ἡ πλοκὴ τῇ ἀναφορᾷ ἢ ἐπαναφορᾷ καὶ ἡ ἐπι- 515
βολή, τῇ ἐπαναδόσει ἢ ἀντιμεταβολῇ καὶ ἡ ἐναντίωσις, 11
τῇ ἐπιμονῇ ἡ προσεπανάδοσις, τῇ ἀντιλήψει ἡ ἔφοδος κατ' ἐναλλαγὴν καὶ ἡ ἐπιτομὴ καὶ ἡ πάροδος καὶ τὰ καλούμενα ἐνηλλαγμένα.

Ἐφεξῆς δὲ ἐξηγησόμεθα πῶς ἕκαστον γίνεται ταὐτό· 15
λέγει γὰρ ἐν μὲν τῷ πολυπτώτῳ κατὰ τὰς προτεταγμένας ἀντωνυμίας, ὡς τὸ οὗτος ἦν φίλος αὐτοῦ, οὗτος προστάτης, οὗτος κηδεμών, ἢ κατὰ διάφορα ὀνόματα σημαίνοντα τὴν αὐτὴν διάνοιαν, ὑπὸ δὲ τὴν αὐτὴν πτῶσιν, ὡς τὸ φίλον εὐεργέτην 20
σωτῆρα ἡγοῦντο. ἐν δὲ τῇ κλίμακι κατὰ τὴν ἐπανάληψιν τὸ τέλος τοῦ πρώτου κώλου εὑρίσκομεν ἐν τῇ ἀρχῇ τοῦ δευτέρου, ὡς τὸ οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· καὶ οὐκ ἔγραψα μέν, οὐκ
ἐπρέσβευσα δέ, οὐδὲ ἐπρέσβευσα μέν, οὐκ 516
ἔπεισα δὲ Θηβαίους. ἀναδιπλοῖ τις καὶ ἐν τῇ 26
ἐπιτιμήσει ἢ ἐπιτιμᾷ ἑαυτῷ, ὡς κακῶς εἰπών, δέον εἰπεῖν ἄλλο τι· ὀψὲ γάρ ποτε ὀψὲ λέγω· χθὲς μὲν οὖν καὶ πρώην. παρονομάζει ἡ μὲν ἀντιστροφὴ τὰ πράγματα ἀντιστρέφουσα εἰς τὸ [αὐτὸ] ῥῆμα, 30
ὡς τὸ ὅρκον αἰτεῖς, νόμον αἰτεῖς, καὶ τὸ ἐπὶ σὲ αὐτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς.

www.libtool.com.cn
Digitized by Google

ἡ δὲ ἐπίζευξις τὸ αὐτὸ παρονομάζει συνημμένως, ὡς τὸ

Ἄρες Ἄρες βροτολοιγὲ μιαιφόνε.

καὶ τὸ βαρὺς βαρὺς σύνοικος. καὶ αὗται δὲ εἴδη ἀναδιπλώσεως· καὶ ἡ πλοκή, περιποιοῦσα μὲν τὴν διάνοιαν, ἀναφέρουσα δὲ εἰς τὸ αὐτὸ ὄνομα, οἷον

ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι,
ἡμεῖς καὶ Θήβης ἕδος εἴλομεν.

517 καὶ τὸ ταῦτα εἶπον ὑπερ ὑμῶν, ταῦτα ἐπρέσβευσα, ταῦτα ἔγραψα. τῆς δὲ πλοκῆς τὸ

χάριέν ἐστιν ἄνθρωπος, ὅταν ἄνθρωπος ᾖ.

τῷ μὲν ὀνόματι τῷ αὐτῷ ἐχρήσατο, ἐνήλλαξε δὲ τὸ σημαινόμενον· τὸ μὲν γὰρ κοινῶς εἴρηται ἐπὶ παντὸς ἀνθρώπου, τὸ δὲ ἰδίως ἐπὶ τοῦ χρηστοῦ ἀνθρώπου. τὸ δὲ ὁμοιοτέλευτον οὐ συνεμπίπτει τούτοις, εἰ μὴ κατὰ μόνην τὴν ὁμοίαν κατάληξιν, [οὗ παράδειγμα] οἷον

Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἑρμῷ δινήεντι.

καὶ τὸ τότε μὲν βαρεῖς, νῦν δ' ἀτυχεῖς Θηβαῖοι. καὶ ἡ ἐπιβολὴ συνεμπίπτει ἀναφορᾷ· καὶ αὕτη 518 γὰρ ἐπὶ τὸ αὐτὸ ἀναφέρει, ὡς τὸ Σοφοκλέους

21 ὁ δ' αὐτὸς ὑμνῶν, [ὁ δ'] αὐτὸς ἐν γάμοις παρών,
αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανών·

ἐναλλάττει δὲ τῷ πλεονάκις εἰρῆσθαι τὴν αὐτὴν ἀντωνυμίαν, καὶ τῇ διαφορᾷ τῶν σημαινομένων· ἡ γὰρ ἀναφορὰ τὴν αὐτὴν ἔννοιαν τηρεῖ [τὸ βελτίους εἶναι τῶν πατέρων]. καὶ ἡ προσαπόδοσις τοιαύτη, ἧς παράδειγμα. 519 τίς ὁ λύσας τὸν χρησμόν; Θεμιστοκλῆς· τίς ὁ βασιλέα καταναυμαχήσας; Θεμιστοκλῆς· ἐναλλάττει δὲ τῷ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν σχήματι.

Τέλος τῶν περὶ σχημάτων σχολίων.

Digitized by Google

www.libtool.com.cn

XXI.

ΤΙΒΕΡΙΟΥ ΡΗΤΟΡΟΣ

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΤΙΒΕΡΙΟΥ ΡΗΤΟΡΟΣ 527

ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΔΗΜΟΣΘΕΝΕΙ ΣΧΗΜΑΤΩΝ.

Μέλλοντι τὴν τῶν σχημάτων θεωρίαν τῶν παρὰ 1
Δημοσθένει κατανοεῖν, ἀνάγκη εἶναί μοι δοκεῖ πρῶτον 5
εἰπεῖν τί τὸ σχῆμά ἐστιν. ἔστι τοίνυν σχῆμα τὸ μὴ κατὰ
φύσιν τὸν νοῦν ἐκφέρειν μηδὲ ἐπ᾽ εὐθείας, ἀλλ᾽ ἐκ-
τρέπειν καὶ ἐξαλλάσσειν τὴν διάνοιαν κόσμου τινὸς τῇ
πλάσει ἢ χρείας ἕνεκα. ὁ γὰρ χαριέστερος πλειόνων 528
ὄντων καὶ ἄλλων οὗτός μοι φαίνεται, ὥσπερ ἀμέλει 10
καὶ λέξεως σχῆμά ἐστιν ἐξαλλαγὴ τοῦ ἐν ἔθει, κατά
τινα πλάσιν κόσμον ἢ χρείαν τινὰ τοῖς λόγοις παρέ-
χουσα. ὁ μὲν οὖν σαφέστερος ὅρος τοῦ τῆς λέξεως
σχήματος οὗτός ἐστι, δοκεῖ δέ πως συνῆφθαι κατὰ τὸ
πρῶτον μόριον τῷ τοῦ σολοικισμοῦ ὅρῳ, εἶτα κατὰ τὸ 15
τελευταῖον μέρος διεστηκέναι. καὶ γὰρ ὁ σολοικισμὸς
ἐξαλλαγὴ τοῦ ἐν ἔθει ἐστίν, ἀλλ᾽ οὔτε χρείας ἕνεκα,
οὔτε κόσμου τινὸς χάριν γίνεται.

Πλείονος δὲ οὔσης θεωρίας τῆς ἐν τοῖς σχήμασι,
ταῦτα προῃρήμεθα νῦν ἐξετάσαι, ὅσα παρὰ Δημοσθένει 529
κατενοήσαμεν. 21

Πρῶτον οὖν τὰ τῆς διανοίας σχήματα δεικτέον, ἐπεὶ 2
δεῖ τὸν νοῦν πάντως τοῦ λόγου προηγεῖσθαι, ἔστι δὲ
ταῦτα, εἰρωνεία, ἐπιτίμησις, παράλειψις, διαπόρη-

Digitized by Google

σις, ἀποστροφή, προδιόρθωσις, ἐπιδιόρθωσις, ἀποσιώπησις, ἠθοποιΐα, προσώπου ὑποβολή, πυσματικόν, ἔμφασις, ἀπὸ τοῦ ἀντικειμένου, παρὰ προσδοκίαν, αὐτοσχέδιον, ἀντίθετον, διαλεκτικόν, τόπου ἐμβολὴ ἐξ ὀνόματος, καθόλου, ὅρκος.

www.libtool.com.cn

531 ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

3 Καὶ εἰρωνεία μέν ἐστι τὸ διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαῖνον, οἷον ἐκεῖνοι τοίνυν οἷς οὐκ ἐχαρίζοντο οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς, οὗτοι νῦν πέντε μὲν καὶ τεσσαράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· καὶ πάλιν, νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει; ἔτι δὲ καινῶς ἐν τῷ κατὰ Μειδίου ἐφ' ἑαυτοῦ εἰρωνείᾳ κέχρηται, ἐγὼ δὲ ὅς (εἴτε τις βούλεται νομίσαι μανίαν· μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμίν τι ποιεῖν· εἴτε φιλοτιμίαν) χορηγὸς ὑπέστην.

532

ΠΕΡΙ ΕΠΙΤΙΜΗΣΕΩΣ.

4 Ἐπιτίμησις δέ ἐστιν ὅταν διὰ τῆς πρὸς τοὺς ἀκούοντας ἐπιπλήξεως τινῶν βούληται συμβουλὴν περαίνειν, ὡς ἐν τῷ περὶ τῆς παραπρεσβείας, ὑμεῖς δ' ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δεινά, πόρρωθεν δ' ὁρῶντες οὐ φυλάττεσθαι, καὶ πάλιν οὕτως, ὡς ἔοικε, πολύ τι σκότος ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

ΠΕΡΙ ΠΑΡΑΛΕΙΨΕΩΣ.

5 Παράλειψις δέ ἐστιν ὅταν τῷ δοκεῖν τινὰ παραλιπεῖν λέγῃ ἃ βούλεται, ὡς ἐν τῷ πρὸς Λεπτίνην, ἐγὼ

Digitized by Google

δέ, ὅτι μὲν τινῶν κατηγοροῦντας πάντων 533
ἀφαιρεῖσθαι τὴν δωρεὰν τῶν ἀδίκων ἐστίν,
ἐάσω· καὶ γὰρ εἴρηται τρόπον τινά, καὶ
ὑφ' ὑμῶν ἴσως γινώσκεται, καὶ πάλιν πρὸς
τὸν Αἰσχίνην, ἤδη γάρ σε ἐρωτῶ, πάντα τὰ 5
ἄλλα ἀφείς, Ἀμφίπολιν, Πύδναν, Ποτί-
δαιαν, Ἀλόνησον· οὐδενὸς γὰρ τούτων μέ-
μνημαι· Σέρριον δὲ καὶ Δορίσκον καὶ τὴν
Πεπαρήθου πόρθησιν, καὶ ὅσα ἄλλα τοι-
αῦτα ἡ πόλις ἠδικεῖτο, οὐδ' εἰ γέγονεν οἶδα. 10
τῷ τε γὰρ οὕτως εἰπεῖν ἃ βούλεται δεδήλωκε καὶ τῇ
παραλείψει τὸ φορτικὸν ἀφῄρηται.

ΠΕΡΙ ΔΙΑΠΟΡΗΣΕΩΣ.

Διαπόρησις δέ ἐστιν ὅταν ὡς διαπορῶν τις ἃ δεῖ 6
εἰπεῖν κἀκεῖνα καὶ ἔτι πλείω λέγῃ, οἷον ἀλλ' εἰς 15
τοσοῦτον ἀφῖκται μωρίας, ἢ παρανοίας,
ἢ — οὐκ ἔχω τί λέγω. καὶ πάλιν, οὐκ ἀπορῶν 534
δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν,
ἀπορῶ ὅτου πρώτου μνησθῶ, πότερ' ὡς ὁ
πατήρ σου, Τρόμης, ἐδούλευε παρ' Ἐλπίᾳ 20
τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα,
χοίνικας παχείας ἔχων καὶ ξύλον· ἢ ὡς ἡ
μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ
κλισίῳ τῷ πρὸς τῷ Καλαμίτῃ χρωμένη τὸν
καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον 25
ἐξέθρεψέ σε. ὡς γὰρ ἀπορῶν τί χρὴ εἰπεῖν πάντα
εἶπεν.

ΠΕΡΙ ΑΠΟΣΤΡΟΦΗΣ.

Ἀποστροφὴ δέ ἐστιν ὅταν ἀπὸ τῶν δικαστῶν πρὸς 7
τὸν ἀντίδικον ἀποστρέφῃ τὸν λόγον, οἷον μηδὲν οὖν 30

www.libtool.com.cn

φιλονείκει, Λεπτίνη, καὶ πάλιν, οὓς ἅπαντας ἡ πόλις ὁμοίως τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη. κινήσας γὰρ τῇ δόξῃ τῶν παραδειγμάτων τοὺς ἀκούοντας, τότε καὶ τὸν ἀντίδικον κέκληκε.

www.libtool.com.cn

535 ΠΕΡΙ ΠΡΟΔΙΟΡΘΩΣΕΩΣ.

8 Προδιόρθωσις δέ ἐστιν ὅταν ὑποπτεύων προσκρούειν τὸ ῥηθησόμενον παραιτῆται τοὺς ἀκούοντας, οἷον ἐπεπείσμην μὲν οὖν ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην. καὶ πάλιν, ἐπεὶ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν, καί μοι, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ. εἰ γὰρ καὶ δυσχερὲς ἦν τὸ λεγόμενον καὶ προσέκρουε, παραιτούμενος ἠκούσθη διὰ τὴν ὑπόσχεσιν.

ΠΕΡΙ ΕΠΙΔΙΟΡΘΩΣΕΩΣ.

9 Ἐπιδιόρθωσις δέ ἐστιν ὅταν τὸ εἰρημένον ὡς ἐνδεέστερον διορθούμενος ἄλλο ἐπενέγκῃ. ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δὲ προδοσίας. 536 καὶ πάλιν πρὸς τὸν Αἰσχίνην, ὀψὲ γάρ ποτε· ὀψὲ λέγω; χθὲς μὲν οὖν καὶ πρώην ἅμα Ἀθηναῖος καὶ ῥήτωρ γέγονε.

ΠΕΡΙ ΑΠΟΣΙΩΠΗΣΕΩΣ.

10 Ἀποσιώπησις δέ ἐστιν ὅταν μέλλων λέγειν πρᾶγμα αὐτὸ μὲν ἀποσιωπήσῃ, τὴν δὲ ὑπόνοιαν αὐτοῦ καταλίπῃ, ἀλλ' ἐγὼ μέν, οὐ βούλομαι δὲ οὐδὲν δυσχερὲς εἰπεῖν ἀρχόμενος τοῦ λόγου· οὗτος δὲ ἐκ περιουσίας μου κατηγορεῖ. καὶ πάλιν

Digitized by Google

πρὸς τὸν Χαρίδημον, ᾧ μήτηρ μὲν οὐκ ἐρῶ τίς ἦ πόθεν· οὐδὲν γὰρ δεῖ πλείω τῶν ἀναγκαίων αὐτὸν ἐξετάζεσθαι· οὐδὲν γὰρ ἂν εἶπε τοιοῦτον οἷον τῇ ὑπονοίᾳ παρέδωκεν.

www.libtool.com.cn

ΠΕΡΙ ΗΘΟΠΟΙΙΑΣ. 537

Ἠθοποιΐα δέ ἐστιν ὅταν φεύγοντες τὸ προσκρουστικὸν τῶν ἐπιτιμήσεων ὡς ὑφ' ἑτέρων προσώπων γινομένας εἰσάγωμεν, ὁποῖόν ἐστι τὸ παρὰ τῷ Δημοσθένει· φέρε γάρ, πρὸς Διός, εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρήκατε καιρῶν διὰ ῥᾳθυμίαν. καὶ πάλιν, εἶτ', ὦ πάντων τῶν ἀνθρώπων φαυλότατοι. πικρῶς γὰρ καθικνεῖται τῶν Ἀθηναίων διὰ τοῦ προσώπου τῶν Ἑλλήνων. κἀκεῖνα δὲ ἠθοποιΐας τὰ ἠθικὰ σχήματα, τόδε ἔδει εἰπεῖν καὶ τόδε ἔδει ποιῆσαι, ὅπερ πεποίηκεν Αἰσχίνης ἐπὶ τῷ Δημοσθένει εἰπών, ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπιλελησμένος, ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίνεται. τοῦτο γὰρ τὸ νόημα ἐνὸν ἀπὸ τοῦ ἰδίου προσώπου εἰπεῖν, περιέθηκε τῷ ἀντιδίκῳ. καὶ Ὀδυσ- 538
σεὺς παρ' Ὁμήρῳ βουλόμενος τοῖς Ἀχαιοῖς εἰπεῖν ὅτι οὐ φυλάττουσι τὰς ὑποσχέσεις ἃς ὑπέσχοντο τῷ Ἀγαμέμνονι, πρὸς αὐτὸν ἀποστρέφει τὸν λόγον,

Ἀτρεΐδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν·
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἣνπερ ὑπέσταν,
Ἰλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.

Digitized by Google

τοῦτο γὰρ ποιήσας προσέκρουσε μὲν οὐδαμῶς τοῖς
539 Ἀχαιοῖς, ἐλεεινὸν δὲ ἀποφαίνει τὸν ὑπ' αὐτῶν ἐγκατα-
λειφθέντα, καὶ διὰ τῶν πρὸς τοῦτον λόγων ἐκείνοις
ἐπέπληξεν.

www.libtool.com.cn

ΠΕΡΙ ΠΡΟΣΩΠΟΥ ΤΡΟΠΟΛΗΣ.

12 Προσώπου δὲ ὑποβολή ἐστιν ὅταν θέλων τι εἰπεῖν
πρὸς τὸ ἀνεκτότερον ἄλλῳ προσώπῳ τὸν λόγον περιθῇ,
οἷον ἐν τοῖς Φιλιππικοῖς, ὡς δ' ἐγώ ποτε τῶν ἐν
αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον,
ἀνδρὸς οὐδαμῶς οἷου τε ψεύδεσθαι, οὐδέ-
νων εἰσὶ βελτίους. πιστοῦται γὰρ ὡς παρ' εἰδότος
540 ἀκούσας τὰ λεγόμενα. μίγνυσι δὲ πολλαχοῦ τήν τε
ἠθοποιΐαν καὶ τὴν τοῦ προσώπου ὑποβολήν, ὅταν
ἑτέρῳ προσώπῳ περιβάλῃ λόγον. βουλόμενος γὰρ
ἐπιτιμῆσαι τοῖς Ἀθηναίοις ὡς εἰς ῥᾳθυμίαν ἐκκλίνα-
σιν, οὐκ ἀφ' ἑαυτοῦ εἶπεν, ἀλλὰ τοῖς Ἕλλησι περι-
έθηκε τὸν λόγον, ἐὰν οὖν οἱ Ἕλληνες πέμπω-
σι πρὸς ὑμᾶς καὶ λέγωσι, πέμπετε, ὦ Ἀθη-
ναῖοι, πρὸς ἡμᾶς ἑκάστοτε πρέσβεις λέ-
γοντας ὡς ἐπιβουλεύει Φίλιππος ἡμῖν καὶ
πᾶσι τοῖς Ἕλλησι, καὶ τὰ ἑξῆς. καὶ πάλιν ἐν τῷ
πρὸς Λεπτίνην, ἂν δὲ δὴ πέμψας ὡς ἡμᾶς Λεύ-
κων ἐρωτᾷ, τί ἔχοντες ἐγκαλέσαι καὶ τί
μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε,
τί, πρὸς θεῶν, ἐροῦμεν ἡμεῖς; ἐν γὰρ τούτῳ
τῷ λόγῳ λίαν ἰσχυρότερον [τὸν τρόπον] ἐκ τοῦ προσώ-
που τῶν λεγόντων πεποίηκεν.

ΠΕΡΙ ΠΤΣΜΑΤΙΚΟΥ.

13 Τὸ πυσματικὸν σχῆμα ἔργα μὲν ἔχει τέσσαρα,
προσοχήν, σαφήνειαν, ἐνάργειαν, ἔλεγχον. προσοχὴ

Digitized by Google

μὲν οὖν ἐστίν, οἷον διὰ τί; καὶ πάλιν, τίνος 541
οὕνεκα ταῦτα λέγω; ἐπιστρέφει γὰρ τοὺς ἀκούοντας ἡ τοιαύτη ἐρώτησις. σαφήνεια δὲ οὕτως, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους, ὁ μὲν τὸν νόμον τιθείς, οὕτως· ὁ δὲ τὸ ψήφισμα γράφων, πῶς; καὶ 5
πάλιν, ποῦ τοῦτο δηλοῖ; ἔν τε τῷ προτέρῳ νόμῳ καὶ ἐν τούτῳ. καὶ πάλιν, ἀλλὰ πῶς; ὡς ἐν τῷ ἄξονι εἴρηται, φησί. ᾔδει γὰρ τὴν τῶν νόμων ἐξέτασιν φύσει δυσπαρακολούθητον οὖσαν, σαφήνειαν δὲ [τὸ] δοῦναι τὸ σχῆμα δυνάμενον. ἐνάργεια 10
δέ ἐστι τὸ τοιοῦτον, πῶς ἂν ὠμότερος συκοφάν- 542
της γένοιτο; καὶ πάλιν, καὶ τίς ἂν γένοιτο ἀναιδείας ὑπερβολή; ἔλεγχος δέ ἐστι τὸ τοιοῦτον, ὅταν λέγῃ τί πράττειν ἔδει καὶ ποιεῖν τὴν πόλιν· καὶ πάλιν, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' 15
ἄν· καὶ τρίτον εἰς τὸ αὐτό, τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν αὐτῷ κατασκευαζόμενον Φίλιππον; καὶ τέταρτον, ἤδη γάρ σε ἐρωτῶ, πάντα τὰ ἄλλα ἀφείς. καὶ πάλιν, πότερον 20
πάντα ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ διέλυε τὴν εἰρήνην, ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή; οὐδὲ γὰρ 543
ἀνενεγκεῖν τῷ ἀντιδίκῳ συνεχώρησεν, ἀλλὰ τῷ συνεχεῖ 25
τῆς ἐρωτήσεως τὸ ἄπορον τῆς ἀποκρίσεως ἐξελέγχει.

ΠΕΡΙ ΕΜΦΑΣΕΩΣ.

Ἔμφασις δέ ἐστιν ὅταν μὴ αὐτό τις λέγῃ τὸ πρᾶγ- 14
μα, ἀλλὰ δι' ἑτέρων ἐμφαίνῃ, οἷον τί τὸ κωλῦον αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται; ἐμφαί- 30
νει γὰρ ὅτι κωλύειν αὐτὸν οὐδενὸς βουλομένου τῆς Ἀτ-

www.libtool.com.cn
Digitized by Google

τικῆς ἐπιβῆναι δυνήσεται. καὶ πάλιν Ἀπολλόδωρος, ἐγὼ γὰρ ὁμομήτριον ἀδελφὸν ἐμαυτοῦ Πασικλέα νομίζω, ὁμοπάτριον δὲ οὐκ οἶδα. οὔτε γὰρ ἀνειμένην βλασφημίαν ἔχει τὸ εἰρημένον, καὶ ἀκριβῶς τῇ ἐμφάσει πρεσβυτέρα μοιχεία δέδεικται.

www.libtool.com.cn

ΠΕΡΙ ΑΝΤΙΚΕΙΜΕΝΟΥ.

Ἀπὸ τοῦ ἀντικειμένου ἐστὶν ὅταν μὴ περὶ τοῦ προ-
544 κειμένου τι εἴπῃ, ἀλλὰ τὸ ἀντικείμενον ἐφ' ἑτέρου προσώπου, δι' ἐκείνου τοῦτο σημαίνων, καὶ παρέοικε τῇ ἐμφάσει τοῦτο. βουλόμενος γὰρ πάλιν εἰπεῖν ἃ ὁ Μειδίας ἔπραττεν ἀπὸ τοῦ ἀντικειμένου αὐτὰ ἐπὶ τὸν Ἰφικράτην εἶπεν, οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατερρήγνυε τὰ παρεσκευασμένα ἱμάτια εἰς τὴν ἑορτήν, οὐδὲ διέφθειρε διδάσκαλον, οὐδὲ χορὸν μανθάνειν ἐκώλυε. ταῦτα γὰρ ἀπὸ τοῦ ἀντικειμένου κατὰ τοῦ Μειδίου λέγει. καὶ πάλιν, οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων ἀγαθοῖς φαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι. τοῦτο γάρ που λέγει ὅτι οὗτοι τοιαῦτα πράττουσι.

ΠΕΡΙ ΤΟΥ ΠΑΡΑ ΠΡΟΣΔΟΚΙΑΝ.

Παρὰ προσδοκίαν δέ ἐστιν, ὅταν, ἄλλο τοῦ ἀκροα-
τοῦ προσδεχομένου, ἄλλα μετά τινος χάριτος ἐπενέγκῃ,
24 οἷον τὰ μέντοι Φιλίππου εὐεργετήματα τοι-
545 αῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν αὐτοῖς ἀποδώσει, οὔτε ἐν τῇ οἰκουμένῃ αἱ τιμαὶ ἔσονται.

ΠΕΡΙ ΑΥΤΟΣΧΕΔΙΟΥ.

Αὐτοσχέδιον δ' ἔστιν ὅταν προσποιῆται ἄρτι νεο-
ηκέναι, οἷον ὃ τοίνυν μεταξὺ λέγων ἐνεθυ-

Digitized by Google

μήθην. καὶ πάλιν, τουτὶ γὰρ αὖ μικροῦ με παρῆλθεν.

ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ.

www.libtool.com.cn

Ἀντίθετον δὲ ἐστι τὸ κατὰ διάνοιαν, οὗ καὶ Αἰσχί- 18
νης μέμνηται τὸ τοῖς ἐπιβεβουλευμένοις ** λέ- 5
γων. βουλόμενος γὰρ ὁ Δημοσθένης τοῦ Αἰσχίνου τὸ 546
περὶ τὴν Ὀλυνθίαν συμπόσιον μᾶλλον διαβάλλειν, ἐξ
ἀντιθέτου εἶπε τὸ τοῦ Σατύρου [ὁ] περὶ τὰς Ὀλυνθίας
αἰχμαλώτους φιλάνθρωπον, διὰ τῆς κατὰ τὸν Σάτυρον
ἐπιεικείας εἰς τὴν τοῦ Αἰσχίνου παροινίαν μᾶλλον παρο- 10
ξύνων τοὺς δικάζοντας.

ΠΕΡΙ ΤΟΥ ΔΙΑΛΕΚΤΙΚΟΥ.

Διαλεκτικὸν δέ ἐστιν, ὃ μάλιστα ποιεῖ Δημοσθέ- 19
νης, ὅταν μὴ ἁπλῶς διεξίῃ τὸν λόγον, ἀλλὰ πρὸς πεῦ-
σιν καὶ ἀπόκρισιν συλλογίζηται ἃ βούλεται, ὡς ἐν τῷ 15
κατὰ Ἀνδροτίωνος. ἠδύνατο μὲν εἰπεῖν, οὗτος ὑπὲρ
ὑμῶν τὰς εἰσπράξεις οὐχ ὑπέστη, ὃς πολλοὺς πολλάκις
μεῖζον τὴν πόλιν ἀδικήσαντας οὐκ ἔκρινεν, ὁ δὲ τῷ
διαλεκτικῷ συνελογίσατο τρόπῳ· πότεροι γάρ
φησιν ** οἱ τὰ τῆς πόλεως κλέπτοντες ἢ 547
οἱ τὰ ἑαυτῶν εἰσενεγκεῖν μὴ δυνάμενοι; 21
φαίης ἂν ἐκείνους. τί ποτ' οὖν ὄντων ἐτῶν
πλειόνων ἢ λ' ἐν οἷς πολλοὶ παρὰ τούτοις
ἐπικέκριναι, οὐδενὸς τῶν πώποτε ἐξητά-
σθης κατήγορος; ὅτι ἐκείνοις μὲν συνηδί- 25
κεις, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφῃροῦ.
καὶ ἐν τῷ πρὸς Λεπτίνην, ὁμωμόκατε γνώμῃ δι-
κάσειν τῇ δικαιοτάτῃ. τὸ τοίνυν τῆς γνώ-
μης εἰς ἅπαντα ἀνενέγκατε τὸν νόμον. ἆρα
ὑμῖν δίκαιον εἶναι δοκεῖ τοὺς εὐεργέτας τι- 30

Digitized by Google

μᾶν τὰ δίκαια; τί δέ; ὁπόσα ἂν λάβῃ τις, δίκαιον ἔχειν; δίκαιον. ταῦτα τοίνυν αὐτοί τε ποιεῖτε, ἵνα εὐορκῆτε. ἃ γὰρ ἐνῆν ἁπλῶς εἰπεῖν, ταῦτα πυνθανόμενόν τινα καὶ ἀποκρινόμενον ποιῶν μᾶλλον συνήγαγεν.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΠΟΥ ΕΜΒΟΛΗΣ ΕΞ ΟΝΟΜΑΤΟΣ.

20 Τόπου δὲ ἐμβολὴ ἐξ ὀνόματός ἐστιν, ὅταν ὄνομα
548 ὑποθεὶς ἐξ αὐτοῦ εἰσάγῃ τὸν τόπον, ὃ πλεῖστον παρ' αὐτῷ καὶ κάλλιστον. προθεὶς γὰρ τοῦτο, οὐδὲ θαυμάζω τοῦτ' ἐγώ, ** εἰ μηδὲν ποιοῦντες ἡμεῖς τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν, ἀπὸ τοῦ ῥήματος τόπον ἐποίησεν, ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις ποτὲ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε. καὶ πάλιν προθείς, τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μοι διέσυρες, καὶ τὴν ταφρείαν ἀξίαν μὲν χάριτος καὶ ἐπαίνων κρίνω· πῶς γὰρ οὔ; εἶτα ἐκ τοῦ κατὰ τὸν τειχισμὸν ὀνόματος ἐπήνεγκεν, οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν θέλῃς σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις.

ΠΕΡΙ ΤΟΥ ΚΑΘΟΛΟΥ.

21 Καθόλου δέ ἐστιν, ὅταν μὴ ἐπὶ τοῦ προκειμένου
549 εἴπῃ τὸ νόημα ὃ βούλεται, ἀλλ' εἰς τὸ καθόλου ἀνενεγκών, οἷον οὐχ αὐτῷ τοὺς δικαστὰς ᾐτήσατο ἐφεῖναι τάξιν ᾗ βούλεται χρήσασθαι, ἀλλὰ τὸ τοῦ ὅρκου φησί, καὶ τοῦτό ἐστι δίκαιον, τὸ τῇ τάξει καὶ ἀπολογίᾳ ὡς βεβούληται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρῆσθαι. οὐ γὰρ ἴδιον πλεο-

Digitized by Google

νέκτημα ἤτησεν, ἀλλ' ἐβεβαίωσε κοινὸν δικαίωμα, καὶ ἔστιν ἐν τῷ σχήματι τούτῳ πολλάκις τὴν χρείαν τοῦ νοήματος τηροῦντα τὸ προσκρυῦον φυλάττεσθαι.

www.libtool.com.cn

ΠΕΡΙ ΟΡΚΟΥ.

Φαίη δ' ἄν τις καὶ τὸ ὅρκου σχῆμα εἶναι παρ' αὐτῷ. τὸ γὰρ οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ... ὅρκος ἐστί. τινὲς δέ φασι τοῦτο παράδειγμα εἶναι· οὐ γὰρ ἡμάρτετε φησὶν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, ὥσπερ οὐδὲ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· καὶ γάρ ἐστιν ὅμοιον τῷ ὑπὲρ ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἄρασθαι τὸ ἐν Μαραθῶνι προκινδυνεῦσαι. τὸ μὲν οὖν πρᾶγμα παράδειγμα ἐποίησεν, ἀντὶ δὲ τοῦ εὐθέως εἰπεῖν ἐσχημάτισεν, πρός τε τὸ λαμπρὸν ἅμα καὶ τὸ ἀξιόπιστον εἰς ὅρκου φαντασίαν μεταβάλλων. 22 6 550 10 15

Τοσαῦτα μὲν τὰ τῆς διανοίας σχήματα παρὰ Δημοσθένει κατενοήσαμεν, τὰ δὲ τῆς λέξεως ἐκ παραλλήλου, καὶ ταῦτα καταμάθωμεν προειπόντες ᾗ διαφέρουσιν ἀλλήλων. τούτῳ δὴ μάλιστα φαίη τις ἂν αὐτὰ διενηνοχέναι, τῷ τὰ μὲν τῆς διανοίας σχήματα, κἂν ὑπαλλάξῃ τις αὐτὰ τοῖς ῥήμασιν, ὁμοίως μένειν, τὰ δὲ τῆς λέξεως σχήματα οὐχ οἷόν τε εἶναι φυλάττεσθαι ὑπαλλαττομένης τῆς λέξεως. ἔστι δὲ ταῦτα, ἀλληγορία, [μετάθεσις,] ἀναστροφή, ἄλλη ἀναστροφή, ἐπανάληψις, παρονομασία, κλῖμαξ, ἐπαναφορά, ἀντιστροφή, ὑπερβατόν, παρίσωσις, πλεονασμός, περίφρασις, συζυγία, ἀπὸ κοινοῦ, μεταβολή, ὑποφορά, ἀσύνδετον, ἀντίθετον, 23 20 551 25 30

Digitized by Google

ἔλλειψις, διατύπωσις, διασυρμός, ἐπάνοδος, ἀφαίρεσις, ἀλλοίωσις, καὶ παρεμβολή.

24 Ἀλληγορία μὲν οὖν ἐστὶν ὅταν τῶν κυρίων τι ἑρμηνεύῃ τις ἐν μεταφορᾷς τὸ κύριον σημαίνειν δυνα-
5 μέναις· πλεῖστον δὲ καὶ ἐναργέστατον παρ' αὐτῷ τὸ σχῆμα ἐπὶ τοῦ Μειδίου, τὸ γὰρ ἐπ' ἐξουσίαις καὶ πλούτῳ εἶναι πονηρόν, τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἐξ ἐπιδρομῆς παθεῖν· ἐπεὶ περι-
552 αιρεθείς γε οὗτος τὰ ὄντα οὐδενός ἐστιν
10 ἄξιος, νῦν δ' οἶμαι τοῦτο προβέβληται. πάσας γὰρ ἐνταῦθα αἱρῆσαι τὰς τοῦ τείχους εἰκόνας.

25 Ἀναστροφὴ δέ ἐστι τὸ αὐτὸ καὶ ἐπαναδίπλωσις, ὅταν, ἔνθα πέπαυται τὸ πρῶτον κῶλον, ἐκεῖθεν ἄρχη-
15 ται τὸ δεύτερον, οἷον οὐ γὰρ δὴ Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμέ, ἐμὲ δέ, εἴπερ ἐξελέγχειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. καὶ πάλιν, δῆλον γὰρ ὡς προκεχειρισμέ-
νων καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶν, ἐμέλ-
20 λομεν ὑπ' ἐκείνου, τῆς εἰρήνης γινομένης·
γινομένης δὲ τῆς εἰρήνης..... κάλλος τὸ σχῆμα
553 ἐργάζεται. ἀναστροφὴ δὲ ἄλλη ἐστίν, ὅταν τὰ ὀνόματα μετὰ τῶν ὀνομάτων αὐτὰ ἀναστρέφηται. οὐ γὰρ Αἰσχίνης διὰ τὴν εἰρήνην κρίνεται, οὔ· ἀλλ' ἡ εἰρήνη δι' Αἰσχίνην διαβέβληται. καὶ πά-
25 λιν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι** πάντα γὰρ εἰς ταὐτὰ ἀναστρέφεται.

554
26 Ἐπανάληψις δέ ἐστιν ὅταν τὸ αὐτὸ ὄνομα δὶς ἐν τῷ αὐτῷ κώλῳ ᾖ, ἢ τῇ αὐτῇ περιόδῳ κατὰ τοῦ αὐτοῦ
30 σημείου τεταγμένον, οἷον οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ. καὶ πάλιν, καίτοι φιλίαν καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ νῦν εἰπέ

Digitized by Google

που λέγων, ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. ἐγώ σοι φιλίαν Ἀλεξάνδρου; οὔτε Φιλίππου ξένον, οὔτε Ἀλεξάνδρου φίλον εἶποιμ' ἂν ἐγώ σε. ἐνέργειαν τὸ σχῆμα ἐργάζεται, τὴν μέντοι ἐπανάληψιν παλιλλογίαν Καικίλιος ὀνομάζει, οἷον μιαρόν, μιαρὸν τὸ θηρίον καὶ πονηρόν, πονηρὸν ὁ συκοφάντης, καὶ ὦ τέκνα, τέκνα, καὶ ὦ γάμοι, γάμοι. καὶ ὁ Δημοσθένης, ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον ἀράμενοι. οἱ μὲν οὖν πολιτικοὶ κατ' ἀρχὰς χρῶνται ταῖς ἀναλήψεσι καὶ τῇ παλιλλογίᾳ, Ὅμηρος δὲ καὶ ἐπὶ τέλει ἐχρήσατο εἰπών,

τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

ἐπήνεγκε γὰρ τοῦτο.

www.lptool.com.cn

555

556

Παρονομασία δ' ἔστιν ὅταν, προειρημένου τοῦ κυρίου, παρονομάσῃ τις αὐτοῦ τὴν μεταφοράν, οἷον ἂν δ' ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν, καὶ πάλιν, εἰ μὴ τοὺς τὰ μηχανήματα ἐπιστήσοντας εἰρήνην ἄγειν φήσετε, εἶτα ἐπήγαγεν, εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα. τοῦτο μὲν οὖν τὸ σχῆμα τῆς ὀνομασίας βαρύτερόν τε καὶ λαμπρότερόν ἐστι, τὸ δ' ἄλλο εἶδος χαριέστερον, ὃ παρὰ γράμμα γίνεται, ὡς ἐκεῖνο τὸ ἐπὶ τοῦ Διοπείθους, μέλλει πολιορκεῖν, τοὺς Ἕλληνας ἐκδίδωσι· μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων, Ἑλλήνων λέγω. κἀκεῖνο δὲ παρονομασία τὸ παρὰ τῷ Θυκυδίδῃ, ἀλλ' ἢ τούτους μεταπέμπειν δέον, ἢ ἄλλην μὴ ἐλάττω στρατιὰν ἐπιπέμπειν, καὶ πάλιν, τί ἄλλο ἐβούλευ-

27

557

Digitized by Google

σαν οὗτοι, καὶ οὐκ ἀπέστησαν; καὶ παρὰ Δημοσθένει, σύλλογοι καὶ λόγοι παντοδαποί, καὶ πάλιν, πρῶτον μὲν Ἀμφίπολιν, πόλιν ὑμετέραν. δοκεῖ δὲ τοῦτο τὸ τῆς παρονομασίας κάλ-
5 λος ἐργάζεσθαι.

www.libtool.com.cn

28 Κλῖμαξ δέ ἐστιν ὅταν, εἰς πολλὰ κῶλα ἑνὸς ἐνθυμήματος διαιρουμένου, ἕκαστον κῶλον ἄρχηται ἀπὸ τοῦ ἐν τῷ προηγουμένῳ κώλῳ τελευταίου. μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν ἀναβαινόντων τὰς κλίμακας· ὥσπερ
558 γὰρ ἐκείνοις τὰ τελευταῖα πρῶτα γίνεται κατὰ τὴν τῶν
11 ποδῶν μετάθεσιν, οὕτω καὶ ἐν τῷ σχήματι τούτῳ τὰ τῶν πρώτων κώλων τελευταῖα τῶν ἐπιφερομένων ἀρχὴ γίνεται. σαφέστερον δ' ἔσται τοῖς παραδείγμασιν· οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδὲ ἔγρα-
15 ψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους. καὶ τὸ

Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι,
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργειφόντῃ,
Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ,
20 αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρέϊ ποιμένι λαῶν,
Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ,
αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι.

τινὲς δὲ νομίζουσι τοῦτο τὸ σχῆμα τὸ αὐτὸ εἶναι τῇ ἀναδιπλώσει, ἠγνοήκασι δὲ ὅτι ἡ μὲν ἀναδίπλωσις ἐν
25 δύο κώλοις γίνεται, ἡ δὲ κλῖμαξ ἐν πολλοῖς, καὶ ὅτι πλήθυος ἕμφασιν ἐργάζεται.

29 Ἐπαναφορὰ δέ ἐστιν ὅταν δύο καὶ πλειόνων κώλων κόμματα ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχηται, οἷον ὅταν ἐπὶ κόρρης, ὅταν κονδύλοις, καὶ πάλιν, μέχρι
30 τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔδικος καὶ Σιμὸς οἱ Λαρισσαῖοι.

Digitized by Google

ἐνέργειαν τὸ σχῆμα καὶ λαμπρότητα ἐργάζεται. κἀκεῖνο 559
ἐπαναφορά, τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς;
τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις; καὶ πάλιν, τίς οὖν ὁ ταῦτα
συγκατασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις 5
ταύτας δούς; καὶ ὁ Πλάτων ἐν Νόμοις, ὅταν σοί
τι προσπίπτῃ τῶν τοιούτων πρᾶγμα, ἴθι ἐπὶ
τὰς ἀποδιαπομπήσεις, ἴθι ἐπὶ ἀποτροπαίων
ἱερὰ θεῶν ἱκέτης, ἴθι ἐπὶ τὰς τῶν λεγομένων
ὑμῖν ἀνδρῶν συνουσίας. καὶ παρὰ τῷ ποιητῇ, 10

ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὸν Κήρ.

ἔστι δ' ὅτε διὰ μακροτέρων ἐπαναφέρεται τὸ αὐτὸ μόριον, οἷον ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου
εἰς τὴν Ἀττικὴν συνεμβαλεῖν, ὃ πάντες ᾤοντο, 15
μεθ' ἡμῶν παραταξαμένους κωλύειν ἐκεῖνον
ἐποίησεν· ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ γενέσθαι
τὸν πόλεμον, ἑπτακόσια στάδια ἐπὶ τοῖς τῶν
Βοιωτῶν ὁρίοις γενέσθαι· ἀντὶ δὲ τοῦ τοὺς
λῃστὰς ἄγειν ἡμᾶς ἐπὶ τῆς Εὐβοίας, ἐν εἰρήνῃ 20
τὴν Ἀττικὴν ἐκ τῆς θαλάττης εἶναι πάντα τὸν
πόλεμον· ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον Φίλιππον ἔχειν, λαβόντα τὸ Βυζάντιον, τοὺς
Βυζαντίους πολεμεῖν μεθ' ἡμῶν πρὸς ἐκείνους ἐποίησε. καὶ τοῦτο δὲ εἶδος ἐπαναφορᾶς, καὶ 25
μὴν ὅτι πολλὰ μὲν ἂν ἔδωκε χρήματα Φιλιστείδης, ὥστε ἔχειν Ὠρεόν, πολλὰ Κλείταρχος, ὥστε ἔχειν Ἐρετρίαν, πολλὰ δὲ Φίλιππος, ὥστε εἶναι ἐφ' ὑμᾶς αὐτῷ. καὶ τοῦτο πάλιν 560
ἐπαναφορά, ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοί- 30
των· ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην· ἐγραμμάτευες, ἐγὼ δὲ ἐκκλησίαζον.

www.libtool.com.cn
Digitized by Google

30 Ἀντιστροφὴ δέ ἐστι τὸ ἀντικείμενον τῇ ἀναφορᾷ, ὅταν εἰς τὴν αὐτὴν λέξιν τὰ κῶλα ἀπαντᾷ. πράττεταί τι τῶν [μὲν] ὑμῖν συμφέρειν δοκούντων; ἄφωνος Αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν
5 οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης. ὥσπερ τὰ ῥήγματα καὶ τὰ χάσματα ... ἐνέργειαν ἅμα καὶ * σχῆμα ἐργάζεται.

31 Ἐπιμονὴ δέ ἐστιν ὅταν τις πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ, ὡς ἐν τῷ ὑπὲρ Φορμίωνος πρὸς τὸν
561 Ἀπολλόδωρον, ἄγεις, ἐλαύνεις, διώκεις, συκο-
11 φαντεῖς. δείνωσιν τὸ σχῆμα ἔχει. καὶ τὸ παρ' Αἰσχίνῃ, ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ.

32 Τὸ δ' ὑπερβατὸν διχῶς γίνεται, κατὰ παρένθεσιν
15 ἢ κατὰ ἀναστροφήν. καὶ κατὰ ἀναστροφὴν μέν, οἷον τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος βασιλεὺς Μακεδόνων, δόξαν ἀντὶ τοῦ ζῆν καλῶς ἠρημένος. ἔστι γὰρ τὴν δόξαν τοῦ διαπράξασθαι κατὰ παρένθεσιν δέ, ἀλλ' ἐπὶ
20 τοῦ Δεκελικοῦ πολέμου (ἐν γάρ, ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε, μὴ ὑπομνησθῶ) πολλῶν καὶ δεινῶν συμβάντων. ἰσχὺν δὲ ἔχει καὶ κάλλος ἐργάζεται τὸ σχῆμα.

33 Παρίσωσις δὲ γίνεται μὲν καὶ κατὰ τὴν ἀρχήν, οἷον
25 ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προ-
562 θύμως, καὶ κατὰ τὸ τέλος, ἐθέλειν ἀκούειν. κάλλος δὲ τὸ σχῆμα ἐργάζεται, ἐάν τις αὐτῷ ἀνεπαχθῶς χρῆται. τῶν δὲ παρισώσεων τὸ μέν [τι] ἐστὶν ὁμοιόπτωτον, τὸ δὲ ὁμοιοτέλευτον. καὶ ὁμοιοτέλευτον μέν, οἷον
30 τὸ Ἰσοκράτειον, [οἷον] καὶ τοῦ μὲν ἐπίπονον καὶ ἐπικίνδυνον τὸν βίον ἐποίησε, τῆς δὲ περί-

www.libtool.com.cn
Digitized by Google

βλεπτον καὶ περιμάχητον τὴν φύσιν κατέστησεν. τὸ γὰρ ἐποίησε καὶ κατέστησεν ἰσοσύλλαβόν ἐστι καὶ ὅμοιον τῷ τόνῳ· καὶ τὸ παρ' Αἰσχίνῃ, καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, τὸν δὲ τρόπον ἐξετάζω. ἐν γὰρ τούτοις μόνοις ὁμοία ἡ τελευτὴ γέγονεν. ὅταν δὲ εἰς ὄνομα λήγωσιν αἱ περίοδοι ἢ τὰ κῶλα, τὰ δ' ὀνόματα ἔχῃ τὰς πτώσεις ὁμοίας, τότε ὁμοιόπτωτον λέγεται, οἷον τὸ Ἰσοκράτειον, ἴσως ὑπὸ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀθροιζομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων πονηρίαν πορευομένης.

563

Πλεονασμὸς δέ ἐστι· τί δεῖ πράττειν καὶ ποιεῖν τὴν πόλιν; ἐνέργειαν τὸ σχῆμα ἔχει ἐν τῷ πυσματικῷ τιθεμένην. συνωνυμίαν ὀνομάζει τὸ σχῆμα Καικίλιος ὅταν κατὰ τοῦ αὐτοῦ πράγματος ἢ κατὰ τοῦ προκειμένου δύο λέξεις γενηθῶσι· τοῦτο δὲ πλεονασμὸν ὀνομάζει Ἀψίνης, τότε δὴ καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον· θάτερον γὰρ τούτων εἰπεῖν ἐξήρκει. καὶ ὁ Δημοσθένης, ἐφοβήθης ἂν .... αν οὐδεὶς ἥψατο. καὶ πάλιν ἐν τοῖς Φιλιππικοῖς, καὶ γινώσκεται μὲν ὑπὸ τῶν Κορινθίων καὶ παρ' Ὀλυνθίοις πρότερον, οὐκ ἀγνοεῖται ὑπὸ Θετταλῶν. κατὰ γὰρ τοῦ αὐτοῦ πράγματος τὰ αὐτὰ σημαινόμενα τέθειται.

564

Περίφρασις δ' ἔστιν ὅταν τῆς ἁπλῆς καὶ εὐθείας γινομένης ἑρμηνείας εὐτελοῦς οὔσης, μεταβαλόντες κόσμου ἕνεκα ἢ πάθους ἢ μεγαλοπρεπείας ἄλλοις ὀνόμασι καὶ πλείοσι τῶν κυρίων καὶ ἀναγκαίων τὸ πρᾶγμα ἑρμηνεύσωμεν, οἷόν ἐστι τὸ Δημοσθενικόν, ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς τῇ Μειδίου. τὸ γὰρ ἁπλοῦν ἦν

565 ἠτίμωται ὑπὸ Μειδίου, τὸ δὲ τῇ ῥύμῃ τῆς ὀργῆς καὶ τῆς ὕβρεως παρείληπται πάθους ἕνεκα καὶ ἀξιώματος. ταῖς δὲ περιφράσεσι σπανίως χρῶνται οἱ πολιτικοί, πλεονάζει δὲ ἐν αὐταῖς ὁ Θουκυδίδης καὶ ὁ Πλά-
5 των καὶ οἱ ποιηταί, οἷον παρὰ μὲν Ὁμήρῳ βίη Ἡρακλείη, ἀντὶ τοῦ Ἡρακλέος, καὶ ἱερὴ ἷς Τηλεμάχοιο, ἀντὶ τοῦ Τηλέμαχος· παρὰ δὲ Πλάτωνι, ὦ παῖ Κλεινίου, ἀντὶ τοῦ Ἀλκιβιάδη· παρὰ δὲ Θουκυδίδῃ, καὶ οἱ μὲν ὕπνον ᾑροῦντο, ἀντὶ τοῦ ἐκάθευδον·
10 παρὰ δὲ Ἡροδότῳ, ἐνέσκηψεν ἡ θεὸς θήλειαν νόσον, ἀντὶ τοῦ ἐποίησεν ἀνδρογύνους ἢ κατεαγότας.

36 Συζυγία δ' ἔστιν ὅταν δύο προθέσεις ἀντικείμεναι ἀλλήλαις ἑκατέρα τὸ προσῆκον ἐπενέγκῃ, οἷον ὁ δῆμος ὁ τῶν Ὠρειτῶν ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς
15 δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφασαν. καὶ πάλιν, τὸ τοίνυν ψήφισμα τουτί, τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφά-
566 λειαν διδόν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων
20 στρατηγοῖς φόβον καὶ δέος μή τινα αἰτίαν σχῶσι παριστάν, τοὺς μὲν ἀσθενεῖς, τὸν δὲ ἰσχυρὸν καθίστησιν. οὐ γὰρ ἑκάτερον κατέλυσε καθ' αὑτό, ἀλλὰ δι' ἀμφοτέρων ὁ λόγος κεχώρηκε. κάλλος δὲ τὸ σχῆμα ἐργάζεται.

37 Τὸ δὲ ἀπὸ κοινοῦ οὕτως· καὶ τῷ μὲν Εὐβαίῳ
26 τῷ τὸν Βοιωτὸν ἀποκτείναντι πολλὴν συγγνώμην ἔχω· δοκοῦσι δέ μοι καὶ τῶν δικασάντων τότε πολλοί. ἀπὸ κοινοῦ συγγνώμην ἔχειν. εὐειδὲς τὸ σχῆμα.

38 Μεταβολὴ δ' ἔστιν ὅταν μὴ τὰς πτώσεις μόνον ἀλλὰ
31 καὶ τὰ ῥήματα μεταβάλλῃ, οἷον τίς γὰρ συμμαχία

www.libtool.com.cn
Digitized by Google

σοῦ πράξαντος γέγονε τῇ πόλει; ποῖαι τριήρεις; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; καὶ τοῦτο δὲ ὁμοίως γοργὸν καὶ εὐειδὲς τὸ σχῆμα.

www.libtool.com.cn

567

Ὑποφορὰ δέ ἐστιν ὅταν μὴ ἐξῆς προβαίνῃ ὁ λόγος, 39
ἀλλ' ὑποθείς τι ἢ ὡς παρὰ τοῦ ἀντιδίκου ἢ ὡς ἐκ τοῦ 6
πράγματος ἀποκρίνηται πρὸς αὑτόν, ὥσπερ δύο ἀντιλεγόμενα πρόσωπα μιμούμενος, οἷον ἐγὼ τοίνυν λογίζομαι τίνων ὁ Φίλιππος πρῶτον γέγονε κύριος μετὰ τὴν εἰρήνην; Πυλῶν καὶ τῶν ἐν 10
Φωκεῦσι πραγμάτων. τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἃ Θηβαίοις συμφέρει, καὶ οὐχ ἃ τῇ πόλει, προείλετο πράττειν. τί δήποτ' [ἄν]; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάντα ὑφ' ἑαυτῷ ποιήσασθαι. ..καὶ πάλιν, τί ποιήσομεν, 15
ἐὰν ἐπὶ Χερρόνησον; ἐπικρινοῦμεν Διοπείθην νὴ Δία. καὶ τί τὰ πράγματα ἔσται βελτίω; ἀλλ' ἐνθένδε βοηθήσωμεν αὐτοῖς; ἂν δὲ ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθα; ἀλλὰ μὰ Δία οὐχ ἥξει. καὶ τίς ἐγγυητής ἐστι τούτου; ἔχει 20
δὲ τὸ σχῆμα καὶ κάλλος καὶ ἐνέργειαν. καὶ ὅταν εἴπῃ, ἐπέδωκα; ἐπαινοῦμαι, οὐ, μὰ Δία, οὐκ ὤν, ὧν ἐπέδωκα, ὑπεύθυνος. ἦρχον; καὶ δέδωκά γε εὐθύνας ἐκείνων, οὐχ ὧν ἐπέδωκα. νὴ Δία, ἀλλ' ἀδίκως, φησίν, ἦρξας. εἶτα παρὼν ὅτε 25
με εἰσήγαγον οἱ λογισταί, οὐ κατηγόρεις;

568

Ἀσύνδετον δέ ἐστιν, ᾧ πολλαχοῦ χρῆται ὁ Δημο- 40
σθένης, κατ' ὄνομα καὶ κατὰ κῶλον καὶ ἐν τόπῳ. κατ' ὄνομα μέν, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόνησον· ἐξ ὧν πλήθους ἔμφασις γίνεται. κατὰ 30
κῶλον, ἴσασιν Εὐαίωνα πολλοί, τὸν Λαοδάμαν-

Digitized by Google

τος ἀδελφόν· εὐειδὲς τὸ τοιοῦτο. κατὰ κόμμα δέ, ὅταν ἐπὶ κόρρης, ὅταν κονδύλοις, ταῦτα κινεῖ, ταῦτα ἐξίστησι. ταῦτα δείνωσιν ἔχει καὶ ἐνέργειαν. καὶ τοῦτο ἀσυνδέτως· πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι, ἃ τότε εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πολλὰ ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς. καὶ πάλιν προθεὶς ἀλλὰ τί τοῦτο ὄφελος τῇ πόλει; [πάλιν] ἐπήγαγεν εἰς τὸ ἀσύνδετον, ἕως ἂν σώζηται τὸ σκάφος, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἐφεξῆς προθύμους εἶναι. λαμπρότητα δὲ καὶ φαντασίαν τοῦτο τὸ σχῆμα παρέχεται ἄνευ συνδέσμων ἐλευθέρᾳ φωνῇ τοῦ λόγου προϊόντος ταῖς τῶν τόπων ἐμβολαῖς. τῷ σχήματι κέχρηται ἢ κατ' ὄνομα εἰς πλῆθος, ἢ κατὰ κῶλον εἰς κάλλος, ἢ κατὰ κόμμα εἰς ἐνέργειαν, ἢ κατὰ τόπους εἰς λαμπρότητα.

569 κἀκεῖνο ἀσύνδετον, ὁρῶ δὲ αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἡμῖν ὁ ἀγών, τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν δὲ κλεῖν κατεαγότα, τὴν δὲ χεῖρα καὶ τὸ σκέλος πεπηρωμένον.

41 Τὸ δὲ ἀντίθετον ἄνω μὲν εἴρηται τὸ τῆς διανοίας,

21 τὸ δὲ τῆς λέξεως διχῶς γίνεται, ἢ κατὰ κῶλον, ἢ κατὰ λέξιν. κατὰ κῶλον μέν, παρὰ τὰς τῶν χορηγῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις ἐστί, παρὰ δὲ τὰς εἰς τὸν πόλεμον παρασκευὰς ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία πάσῃ τῇ πόλει. ἀντίκειται γὰρ τοῖς κώλοις ἡ ἑρμηνεία. τὸ δὲ κατὰ λέξιν, ἐδίδασκες [γὰρ]

570 γράμματα, ἐγὼ δ' ἐφοίτων· ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην· ἐγραμμάτευες, ἐγὼ δ' ἐθεώρουν· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. ἐνέργειαν δὲ καὶ κάλλος ἅμα τὸ σχῆμα ἔχει.

42 Ἔλλειψις δέ ἐστιν ὅταν ὁ λέγων ἐλλείπῃ λέξιν ἣν

www.libtool.com.cn
Digitized by Google

παρ' αὐτοῦ ἔδει προσθεῖναι τῷ νοήματι, οἷον θέαμα δεινὸν καὶ ἐλεεινόν· ἐλλείπει γὰρ τὸ ἐστί. κἀκεῖνο δὲ ἔλλειψις· πρῶτον μέν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις· ἐλλείπει γὰρ ταῖς θεαῖς. καὶ πάλιν, ὥσπερ ἂν τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, ἐπειδὰν δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμενα ἐπ' αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι, εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος, οὐκ ἂν ἀπέθανεν. ἐμβρόντητε, εἶτα νῦν λέγεις; καὶ πάλιν, εἶπον τοίνυν ὡς μὲν ὑπαρχόντων Θηβαίων Φιλίππῳ λίαν θορυβουμένων· ἐλλείπει γὰρ τὸ φίλων καὶ συμμάχων.

www.lintool.com.cn

Τὴν δὲ διατύπωσιν παρῆκεν Ἀψίνης, Καικίλιος δὲ ἔθηκεν ἐν τοῖς τῆς διανοίας σχήμασιν. ἡ δὲ διατύπωσις ὁτὲ μὲν ὑπομιμνήσκει τῶν γεγενημένων ἐνεργειῶν καὶ ἑκάστων ἐξαριθμουμένων τῶν μερῶν· ἀλλὰ μὴν τὸν τῇ πόλει συσταθέντα τότε θόρυβον ἴστε μὲν ἅπαντες, μικρὰ δὲ ἀκούσατέ μου τὰ ἀναγκαιότατα. ἑσπέρα μὲν γὰρ ἦδη, καὶ τὰ ἑξῆς. καὶ πάλιν ἡ διατύπωσις ἐπὶ τὴν θέαν ἄγει τῶν οὐχ ἑωραμένων, ὡς παρ' Αἰσχίνῃ πολλὰ ἂν εὕροι τις. τρίτος ὅρος διατυπώσεως, ὅταν τὰ μὴ γεγονότα διατυπούμενοι εἰσάγωμεν καθ' ὑπόθεσιν, οἷον τί ἂν ἐγένετο, καὶ τί ἂν ἐπράχθη, ὡς δεινὰ καὶ φοβερά.

Τὸ δὲ διασυρμοῦ σχῆμα παρῆκεν Ἀψίνης, Καικίλιος δὲ αὐτὸ ἐνέθηκε. τοῦτο δέ ἐστι τὰ μεγάλα μικρὰ ποιῆσαι καὶ ἐξευτελίσαι, οἷον ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἂν εἰ μὴ τοῦτο ἐγράφη. καί, πάνυ γε· οὐ γὰρ παρὰ τοῦτο εὐχερῆ γέ-

Digitized by Google

γονε τὰ τῶν Ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τοῦτο διελέχθην ἐγώ, ἢ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα.

573
45 Τὸ δὲ σχῆμα τῆς ἐπανόδου ἐστὶ παρὰ τῷ Καικιλίῳ. γίνεται δὲ αὕτη ὅταν ὀνόματα δύο καὶ ῥῆμα προθέντες ἐπανίωμεν ἐπ' αὐτὰ καὶ ἐξηγώμεθα αὐτά, ὡς μήπω νοουμένου τοῦ λεχθέντος, οἷον εἴ τις λέγοι, ὅτι Νικίας καὶ Ἀλκιβιάδης ἐπὶ Σικελίας τὴν στρατείαν διέφθειραν, εἶτα ἐπανιὼν ἐπ' αὐτὰ λέγοι, Ἀλκιβιάδης μὲν εὐτελῆ τὸν πόλεμον καταλιπών, Νικίας δὲ ἀργὸν στρατηγήσας. χρῆται δὲ ἐπανόδῳ καὶ Θουκυδίδης ὁσάκις ἂν εἰς ἀσάφειαν ἐκ τῶν ὑπερβατῶν ἐκπίπτῃ.

46 Καὶ τὸ τῆς ἀφαιρέσεως σχῆμα ὁ Καικίλιος εἰσάγει· λέξεως γὰρ ἀφαίρεσιν τοῦτό φησι καὶ λέγει κεῖσθαι παρὰ τῷ Θουκυδίδῃ· φθείρατε γὰρ ἄνδρες Ἀθηναῖοι ἐφθαρμένοι εἰσὶ ἐτέταχα ᾧ πεποίηνται καὶ εἴρηνται.

47 Καὶ τὸ τῆς ἀλλοιώσεως σχῆμα εἰσάγει ὁ Καικίλιος,
574 καί φησιν αὐτὴν γίνεσθαι κατ' ὄνομα, καὶ πτώσεις, καὶ ἀριθμούς, καὶ πρόσωπα, καὶ χρόνους. καὶ ὀνόματα μὲν ἀλλοιοῦσιν ἀντὶ τοῦ ἄρρενος τὸ θῆλυ ἢ τὸ οὐδέτερον παραλαμβάνοντες, ἢ τῷ ἄρρενι ἀντ' ἀμφοῖν χρώμενοι, κατὰ τὸ πληθυντικόν, οἷον παρὰ μὲν Θουκυδίδῃ, πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, ἀντὶ τῶν Ἑλλήνων, καὶ τὸ φιλότιμον ἀγήρω μόνον, ἀντὶ τοῦ ἡ φιλοτιμία· οὐδέτερον γὰρ μετείληφεν ἀντὶ τοῦ θήλεος. περὶ δὲ τοὺς ἀριθμοὺς ἀλλοίωσις, ὡς παρ' Εὐπόλιδι ἐν Δήμοις,

ἅπασα γὰρ ποθουμένη κλεινὴ πόλις,

καὶ παρὰ Δημοσθένει, ὑμεῖς ᾧ βουλή. κατὰ δὲ τὰ πρόσωπα ἀλλοιώσεις, ὡς παρ' αὐτῷ· τοῖς γὰρ δικα-

www.hbtool.com.cn

Digitized by Google

σταῖς διαλεγόμενος μετατίθησιν ἑαυτὸν ἐπὶ τὸν ἀντίδικον, ὃς ὦ μιαρώτατε πάντων κεκλεισμένης σοι τῆς παρρησίας. καὶ πάλιν ἀπὸ τοῦ ἀντιδίκου μετάγει ἐπὶ τοὺς δικαστὰς λέγων, οἷον τῶν ἀνδρῶν τῶν ἀγαθῶν μέμνησαι, καὶ καλῶς ποιεῖς· οὐ μέντοι δίκαιόν ἐστιν, ὦ Ἀθηναῖοι ... καὶ παρ' Εὐριπίδῃ,

φεύγεις ἀποστραφείς με· τὰ δ' Ἀγαμέμνονος φρονῶδα·

εἶτα μεταστρέφει τὸν λόγον ἐπὶ τὸν ἀποθανόντα,

ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράττων κακῶς.

τοὺς δὲ χρόνους ἀλλοιοῦσιν, ὅταν τοῖς ἐνεστῶσιν ἀντὶ τῶν παρῳχημένων χρῶνται, οἷον παρὰ Δημοσθένει, καὶ ὅτι ταῦτα ἀληθῆ λέγω, τοὺς ὁρῶντας ὑμῖν μάρτυρας παρέξομαι, ἀντὶ τοῦ τοὺς ἑωρακότας. ὁποῖόν ἐστι καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἀνδρομέδᾳ,

ὁρῶ δὲ πρὸς τῆς παρθένου θοινάματα,

ἀντὶ τοῦ εἶδον. καὶ ὁ Θουκυδίδης, οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἐπαινοῦσι τὸν προστιθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ἀντὶ τοῦ ἐπῄνεσαν.

Καὶ τὴν παρεμβολὴν εἰσάγει Καικίλιος σχῆμα λέξεως, κέχρηται δὲ παραδείγματι τῷ παρὰ Θουκυδίδῃ, οἱ δὲ Κορίνθιοι προσκαθεζόμενοι (ἔστι δὲ ἰσθμὸς τὸ χωρίον) ἐπολιόρκουν τὴν πόλιν. καὶ ὁ Ἡρόδοτος, Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω· τύραννος δὲ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον καλεόμενον

πόντον. ἐνταῦθα παρεμβέβληται τὰ τοῦ ποταμοῦ. καὶ Εὐριπίδης,

Δαναός, ὁ πεντήκοντα θυγατέρων πατήρ,
Νείλου λιπὼν κάλλιστον εὐκταίης ὕδωρ,
ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς
Αἰθιόπιδος γῆς, ἡνίκ' ἂν τακῇ χιών,
τεθριππεύοντος ἡλίου κατ' αἰθέρα,
ἐλθὼν κατ' Ἄργος ᾤκισ' Ἰνάχου πόλιν.

οἱ γὰρ τρεῖς περὶ τοῦ ποταμοῦ στίχοι περιττοί.

www.hotbook.com.cn

Digitized by Google

www.libtool.com.cn

XXII.

ΑΙΛΙΟΥ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ

ΣΧΗΜΑΤΩΝ.

Σχῆμά ἐστιν ἐξάλλαξις φράσεως ἀπὸ τοῦ καταλλήλου ἐπὶ τὸ κρεῖττον μετά τινος ἀναλογίας. διαφέρει δὲ τοῦ σολοικισμοῦ, ὅτι τὸ μέν ἐστι κατόρθωμα καὶ τὴν ἐξάλλαξιν εὔλογον ἔχει, ὁ δὲ σολοικισμὸς ἁμάρτημα, μηδεμίαν αἰτίαν τῆς ἀκαταλληλίας ποιούμενος. γίνεται δὲ τὸ σχῆμα κατὰ τοσούτους τρόπους καθ' ὅσους καὶ ὁ σολοικισμός· καὶ γὰρ εἴδη διαλλασσόμενα καὶ γένη καὶ πτώσεις καὶ ἀριθμοὶ καὶ ἐγκλίσεις, ἔτι τε πρόσωπα καὶ χρόνοι καὶ διαθέσεις, καὶ πάντα ἁπλῶς ἃ τὴν τοῦ καταλλήλου συνάφειαν ἀπαιτεῖ, παρατραπέντα ποιεῖ τὸ σχῆμα.

Ἐν μὲν οὖν εἴδεσιν ὀνομάτων ὧδέ πως συνίσταται τὸ σχῆμα·

ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου αἰπὺ πτολίεθρον,

καὶ

μελάντερον ἠΰτε πίσσα.

τὸ μὲν γὰρ πρότερον ὑπερθετικὸν ἀντὶ ἀπολύτου κείμενον κακίαν οὐκ ἐργάζεται, ὅτι γεγένηται ἐν ἀριθμητικῷ ὀνόματι, ἐν ᾧ, τῆς σημασίας μηδεμίαν διαφορὰν λαμβανούσης κατὰ τὴν τῆς φωνῆς ἐνάλλαξιν, ἡ μετάθεσις τῶν εἰδῶν ἀναμάρτητος, ἅμα δὲ σὺν τῷ τὸν ἀριθμὸν ὁρίζειν καὶ τὴν τελευταίαν δεδήλωκεν ἡμέραν.

Digitized by Google

τὸ δὲ δεύτερον συγκριτικὸν ἀντὶ ἀπολύτου κείμενον λελῃθυῖαν ἔχει τὴν σύγκρισιν, τὴν ἀναφορὰν ἤτοι πρὸς ἕτερον νέφος ποιούμενον ἢ πρὸς φυσικὴν τοῦ νέφους μελανότητα.

Ἐν δὲ γένεσι θεῶρεῖται σχῆμα τόνδε τὸν τρόπον,
παρθενικαί τε καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες.

ὁμοίως δὲ ἔχει κἀκεῖνο,

ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ' ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.

581 ἰσχυρότερον γὰρ ὂν τὸ ἀρσενικὸν γένος τοῦ θηλυκοῦ
11 ἐπεκράτησε κατὰ τὴν ἐπιφοράν. ὁμοίως δὲ καὶ τὸ θηλυκὸν γένος ἰσχυρότερον ὂν τοῦ οὐδετέρου ἐπεκράτησε κατὰ τὴν ἐπιφοράν, οἷον

αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
15 εἶατ' ἐνὶ μεγάροις ποτιδέγμεναι υἷας Ἀχαιῶν.

Παρὰ δὲ πτώσεις ἀντιτιθεμένας ἡ τοῦ σχήματος σύστασις ἔχει πρῶτον αἴτημα τὴν τῶν πτώσεων οἰκειότητα τῶν τε πλαγίων πρὸς ἀλλήλας καὶ τῆς ὀρθῆς πρὸς τὴν κλητικήν, εἶτα τὴν τῶν πραγμάτων διάστασιν, ἵνα τὴν
20 προτέραν περιγραφὴν τοῦ λόγου καταλιπὼν ἀπηρτισμένην μετὰ διαστάσεως ἐφ' ἑτέραν ἀρχὴν τραπεὶς τῇ τῶν πτώσεων συμπλοκῇ σχηματίσῃ. τὴν μὲν οὖν τῶν πτώσεων συγγένειαν τὰ σχήματα ποιεῖν συμβέβηκεν οὕτως,

Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσε·

25 εἴρηται γὰρ δοτικὴ ἀντὶ γενικῆς Ἕκτορος, καὶ

νεφεληγερέτα Ζεύς·

κλητικὴ γὰρ ἀντὶ ὀρθῆς κεῖται τῆς νεφεληγερέτης. τὴν δὲ διάστασιν τῆς φράσεως οὕτως,

582 οἱ δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει·

30 ὡς ἀφ' ἑτέρας γὰρ ἀρχῆς ἐπὶ τετελεσμένῳ τῷ προτέρῳ ποιησάμενος τὸν λόγον ἀπὸ ὀρθῆς ἤρξατο. τοιοῦτο δέ τι κἀκεῖνο,

Digitized by Google

ἐλθόντες δὴ βαιὸν ἀπὸ σπείους τε καὶ ὕλης,
πρῶτος ὑπ' ἀρνειοῦ λυόμην.

καὶ τὸ παρ' Ἱπποκράτει, ἡ γυνὴ τοῦ κηπωροῦ πυρετὸς εἶχεν αὐτήν· διεσπαρμένας γὰρ ἐπιδημίας ὑπομνήματος δίκην γράφων, εἰπὼν τὸ ἡ γυνὴ τοῦ κηπωροῦ, ὡς ἀφ' ἑτέρας ἀρχῆς τὸ πυρετὸς εἶχεν αὐτὴν ἐπήνεγκεν. ὅτι γὰρ οὕτως πως ὁ ἰατρὸς εἰς τὸ τοιοῦτον σχῆμα κατῆλθε, δῆλον ἐκ τοῦ μηδέποτε λόγου τελείου ἀπὸ τοῦ δὲ συνδέσμου ἀρχομένου. ἐκεῖνος ἐν τῷ περὶ ἄρθρων ἔφη εἰσβάλλων οὕτως, ὧμον δ' ἕναρθρον, ἕνα τρόπον οἶδα· καὶ γὰρ ἐνταῦθα ὡς ἐν ὑπομνηματισμῷ, πεπονημένων αὐτῷ καὶ ἑτέρων ἔμπροσθεν καὶ εἰς τοῦτο τὸ εἶδος, οὕτως ἤρξατο.

Ἐν δὲ ἀριθμοῖς ἡ τῶν σχημάτων κατόρθωσις, ἤτοι ὁπόταν λέξει τὸν μὲν τύπον ἑνικὸν ἐχούσῃ, τὴν δὲ σημασίαν πληθυντικήν, μὴ πρὸς τὸν χαρακτῆρα, πρὸς δὲ τὴν δύναμιν ἁρμοζόμενός τις πληθυντικὸν ἐπενέγκῃ μέρος λόγου, οἷον

ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.

καὶ παρὰ Δημοσθένει, ὑμεῖς γὰρ ὦ βουλή· τῇ γὰρ ὑμεῖς ἀντωνυμίᾳ πληθυντικῇ ἑνικὸν ὁ ῥήτωρ ἐπήνεγκεν ὄνομα βουλὴ διὰ τὸ πολλῶν ἐξ αὐτοῦ νοεῖσθαι σύστημα, περιληπτικοῦ ὑπάρχοντος. ἢ ὁπόταν ἐπιφέρηται τοῖς οὐδετέροις τῶν γενῶν ἑνικὰ ῥήματα, οἷον γράφει τὰ παιδία, [τὰ δώματα στάξει]. οἷς διαφόρους πληθυντικὰς συντάξεις ἐπάγουσιν οἱ Ἀττικοί, ὡς Εὔπολις

καὶ λέγουσί γε
τὰ μειράκια προϊστάμενα τοῖς ἀνδράσι.

καὶ ἐν τοῖς ὑπερσυντελικοῖς τῶν ῥημάτων χρόνοις ἑνικὰ πολλάκις εἰς πληθυντικῶν παραλαμβάνεται χώραν διὰ τὴν ἐμφέρειαν τῆς φωνῆς, λέγω δὴ τὸ πεποίητο πολλά-

www.libtool.com.cn

Digitized by Google

κις ἀντὶ τοῦ πεποίηντο παραλαμβάνεται· ἔσθ' ὅτε δὲ πληθυντικοῖς ἀριθμοῖς ἑνικὸν ἐπάγουσιν, ὡς παρὰ τῷ ποιητῇ ὁ Μηριόνης πρὸς Ἰδομενέα φησίν,

584 ἔρχομαι εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,

5 οἰσόμενος· τό νυ γὰρ κατέαξαμεν, ὃ πρὶν ἔχεσκον.

καὶ παρ' Εὐριπίδῃ ἐν Ἴωνι,

κωλυόμεθα μαθεῖν ἃ βούλομαι.

Παρὰ δὲ ἐγκλίσεις ἄριστον σχῆμα δείκνυται κατὰ τὴν τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν παράληψιν, οἷον

10 μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλ' ἔμ' ἐᾶσαι.

τὸ γὰρ τῆς προστάξεως σκληρὸν μετριώτερον ἐμφαίνεται διὰ τῶν ἀπαρεμφάτων ἀντὶ τῶν προστακτικῶν παραληφθέντων. τίθεται δὲ καὶ ὁριστικὰ ἀνθ' ὑποτακτικῶν πολλάκις, ὁπόταν τὸ πρᾶγμα περὶ οὗ ὁ λόγος μη-

15 δέπω τετελεσμένον, τελεσθῆναι δὲ αὐτὸ πάντως δέῃ. προηγήσεται δὲ μόρια τὰ καὶ τῶν ὑποτακτικῶν προτιθέμενα, ἵνα ἡ μὲν τοῦ μορίου πρόταξις τὸ μηδέπω

585 τούτων τετελεσμένον διὰ τοῦ δισταγμοῦ σημαίνῃ, ἡ δὲ τοῦ ὁριστικοῦ σύνταξις τὸ πάντως δεῖν γενέσθαι τὸ λε-

20 γόμενον, οἷον

ὅπως ἔσται τάδε ἔργα.

ταῦτα ἀμφότερα σχήματα ἡ ἀστειοτάτη τῶν διαλέκτων Ἀθὶς εἰς αὐτὴν ἀναδίδωσι. τὰ μὲν γὰρ εὐκτικὰ τοῖς ὑποτακτικοῖς διαπλεκόμενα οὐδὲ ξενίζουσαν ποιεῖ τὴν

25 φράσιν, ἐπειδήπερ ἀμφοτέρων ὡς ἐπὶ τὸ πλεῖστον τὰ αὐτὰ προτάσσεται μόρια, ὡς τὸ ἵνα καὶ τὸ ὄφρα καὶ τὸ ὅπως.

Ἡ δὲ τῶν προσώπων μετάβασις ποιεῖ τὴν καλουμένην ἀποστροφήν, οἷον

30 τὸν δ' ἀπαμειβόμενος προσέφης Πατρόκλεις ἱππεῦ·

καί,

ἔνθα κέ τοι Μενέλαε φάνη βιοτοῖο τελευτή.

Digitized by Google

τὸν γὰρ περὶ αὐτοῦ λόγον ἀφεὶς εἰς τὸν πρὸς αὐτὸν ἐτράπη, τουτέστιν ἀπὸ τοῦ τρίτου προσώπου τὴν μετάβασιν ἐπὶ τὸ δεύτερον ἐποιήσατο. τέχνη δὲ αὐτοῦ τὸ μὴ συνεχῶς ὄντος τοῦ περί τινος τὴν ἀναστροφὴν αἰφνιδίαν ποιήσασθαι· διὰ γὰρ τὴν ἀκολουθίαν ἐλέγχε- 586
ται ταχύτερον τὸ λεγόμενον· ἀλλ' ὁπόταν μεσασθῇ, 6
ἤτοι ἡρωϊκῷ λόγῳ ἢ πράγματος ἑτέρου παραθέσει, κἄπειτα διάστασιν λαβούσης τῆς διηγήσεως, λεληθότως μετάβασις γίνεται. ἐσχημάτισε δὲ καὶ Ἡσίοδος ἐν προσώποις κατ' ἐκεῖνο, 10

δεῦτε δή, ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι·

εἴ γε γνήσιον Ἡσιόδου τὸ προοίμιον τίθεμεν. ἀντὶ γὰρ τοῦ ὑμέτερον δευτέρου τρίτον ἐπήνεγκε τὸ σφέτερον, οὐ πρὸς τὴν ἀκολουθίαν τῶν προσώπων ἀπιδών, ἀλλὰ πρὸς τὴν τῆς λέξεως σημασίαν· σημαίνει γὰρ τὸ 15
σφέτερον ἔσθ' ὅτε καὶ τὸ ἴδιον.

Παρὰ δὲ χρόνους σχηματίζουσι πρῶτον μὲν οἱ τοὺς παρεληλυθότας ἀντὶ ἐνεστώτων παραλαμβάνοντες, ἔπειτα οἱ ἐνεστῶσι χρώμενοι ἀντὶ μελλόντων, οἷον

ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον. 20

λέγοι γὰρ ἂν οὕτως τὸ βεβαίως ἐσόμενον παραστῆσαι θέλων, ὡς εἴ τις εἴποι, αὔριον διαλέγομαι, οἷον πάν- 587
τως διαλέξομαι.

Παρὰ δὲ διαθέσεις οἱ τοῖς μέσοις ἀορίστοις καὶ μέλλουσιν ἀντὶ ἐνεργητικῶν τὴν σύνταξιν ἁρμόζοντες, εὖ- 25
πρεπεστέρας τῆς περικοπῆς γινομένης, ἐπεὶ καὶ ἡ τῶν Ἀττικῶν διάλεκτος χαίρει τούτοις. λαμβάνεται δὲ καὶ ὁλόκληρα παθητικὰ ἀντὶ ἐνεργητικῶν πολλάκις, ὅταν μὴ δύσφημος ἢ δυστράπελος ἡ ἐναλλαγὴ μέλλῃ γενήσεσθαι πρὸς τὸ τοῦ λέγοντος πρόσωπον· τὸ γοῦν γρά- 30
φομαι λέγεται πολλάκις ἀντὶ τοῦ γράφω, οἷον γράφομαι τόνδε παραπρεσβείας· ὅλαι δὲ λέξεις ἀντὶ ἄλλων

Digitized by Google

τιθέμεναι τὴν μὲν σύνταξιν οὐ ξενίζουσιν, ἤτοι δὲ λείπειν τὴν φράσιν ποιοῦσιν ὑπονοεῖν λανθάνουσαι ἢ τὸ διανόημα ἐξαλλάσσουσι. τὸ μὲν οὖν πρότερον οὕτως,

μήκων δ' ὡς ἑτέρωσε κάρη βάλεν, ἦτ' ἐνὶ κήπῳ
καρπῷ βριθομένη νοτίῃσί τε εἰαρινῇσι·

τὴν γὰρ βριθομένη μετοχὴν ἐὰν μεταβάλλωμεν εἰς τὸ βρίθεται ῥῆμα, ὁ λόγος ἀπηρτισμένος ἔσται. τὸ δὲ δεύτερον οὕτως,

ἔνθ' οἵγ' εἰσέλασαν, πρὶν εἰδότες·

588 σημαίνει γάρ, ὡς καὶ τὸ πρότερον εἰδότων Φαιάκων τὴν
11 χώραν, ὅπερ οὐκ ἀληθές, ἀλλὰ δεῖ τὸ πρὶν εἰδότες εἰς τὸ εἰδέναι μεταστῆσαι, ἵνα ᾖ πρὸ τοῦ εἰδέναι.

Περὶ μὲν οὖν τῶν ἐν λέξει σχημάτων ἱκανὰ ταῦτα· τὰ γὰρ παρά τι τῶν εἰρημένων ἐκφωνούμενα ποιητῶν ἢ διαλέκτων ἐστὶν ἰδιώματα, ἅπερ ἐμπειρίας σχηματισμοῦ. ῥητέον δὲ ἑξῆς περὶ τῶν ἐν διανοίᾳ τε καὶ λόγῳ σχημάτων.

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΔΙΑΝΟΙΑΣ.

Τὰ περὶ διάνοιαν σχήματα τὰ πρωτοστατοῦντα ἐν ἑαυτοῖς ἔχει τὴν συγγυμνασίαν καὶ τὴν ποιὰν θέσιν αὐτῆς τῆς διανοίας μετὰ τῆς τοῦ λόγου μορφῆς. ἔστι δὲ σχῆμα διανοίας τὸ μὴ κατὰ φύσιν ἐκφέρον τὸν νοῦν μηδὲ ἐπ' εὐθείας, ἀλλ' ἐκτρέπον καὶ ἐξαλλάσσον τὴν τῆς διανοίας φράσιν, ὥσπερ ὅταν ὁ Δημοσθένης λέγῃ, σὺ δὲ ὁ σεμνὸς καὶ τοὺς ἄλλους διαπτύων· μακαρίζειν γὰρ προσποιούμενος ἐκ τῶν ἐναντίων ἄσεμνόν τε καὶ δυστυχέστατον ἐκφαίνειν ἀξιοῖ. καὶ πάλιν ὁπόταν
589 ὁ Αἰσχίνης λέγῃ ἐν τῷ κατὰ Τιμάρχου, οὐδὲν γοῦν θαυμαστόν· ἀναβήσεται γὰρ ἀνὴρ καλός τε

κἀγαθός, καὶ μισοπόνηρος καὶ πιστεύων τῷ ἑαυτοῦ βίῳ, καὶ τὸν Λεωδάμαντα ὅστις ἐστὶν ἀγνοῶν. ταῦτα γὰρ τῇ ἐξαλλαγῇ ἔχει τινὰ δείνωσιν, καὶ ἔστι δυνατώτερος ὁ λόγος τοῦ κατὰ φύσιν· ἀγοραῖος γὰρ ἂν καὶ ἀπρεπὴς ἐγίνετο ἡ λοιδορία, εἰ οὕτως ἔλεγεν· οὐδὲν γοῦν θαυμαστόν· ἀναβήσεται γάρ, ὡς οἶμαι, ἄνθρωπος ἀσελγὴς τὸν βίον καὶ οὕτως ὡς αὐτὸς πόρνος καὶ παρὰ Λεωδάμαντι ἡταιρηκὼς καταφανῶς. τὸ δέ, καλός τε κἀγαθός, καὶ μισοπόνηρος καὶ πιστεύων τῷ ἑαυτοῦ βίῳ, καὶ τὸν Λεωδάμαντα ὅστις ἐστὶν ἀγνοῶν, ἄγει μᾶλλον ἐπὶ τὴν ἔμφασιν τῆς ἀληθείας, ἐκ τῶν ἐναντίων προειδότας παντὸς τοῦ λόγου τὴν ὑπόθεσιν. τούτου γὰρ δεῖ τοῖς εἰρωνευομένοις, ἐπεὶ πρὸς ἀγνοοῦντας κἂν ἀληθὲς ἐγκώμιον δόξειεν ἡ μεταβολή.

Εἰσὶ δὲ τῶν τῆς διανοίας σχημάτων ὡς ἀνωτάτω 590
ὀνομασίαι δύο, ἐπίτασις καὶ ἔκλυσις· τούτων τῇ μὲν ἐπιτάσει ὑποτάσσεται ἡ εἰρωνεία, τῇ δὲ ἐκλύσει ἡ καταβολή.

Ἔστι δὲ εἰρωνεία λόγος διὰ τῶν ἐναντίων κατ' ἐπίτασιν τὸ ὑποκείμενον πρᾶγμα σημαίνων, ὡς παρὰ Εὐριπίδῃ προειποῦσα ἡ Μήδεια ὅσων προϋπῆρξεν εἰς τὸν ἄνδρα εὐεργεσιῶν, ἐπιφέρει παθητικώτατα,

τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε. θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἢ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη
δόμων, ἔρημος σὺν τέκνοις μόνη μόνοις.

Ἔκλυσις δέ ἐστι πραγμάτων μεγάλων δεινότης διὰ σμικροπρεπείας τοῦ λόγου μαραινομένη ἐν ταῖς τῶν ἀκουόντων διανοίαις, ὡς ὁπόταν ὁ Αἰσχίνης λέγῃ, οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥή-

Digitized by Google

ματα; πῶς ποτε ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι, ὁπότε ἔφη παρελθών· ἀμπελουργοῦσί τινες τὴν πόλιν· τὰ κλήματα τοῦ δήμου ὑποβέβληται· φορμορρα-
591 φούμεθα. ταῦτα γὰρ οὐκ ἀναλογεῖ τὰ ῥήματα τῇ
6 τότε ὑποκειμένῃ τῶν πραγμάτων ὑποθέσει.

Τῆς δὲ εἰρωνείας καθέστηκεν εἴδη τὰ λεπτομερέστερα τάδε, σαρκασμός, διασυρμός, ἐπικερτόμησις, κατάγελως, εἰκασμός, χαριεντισμός. σαρκασμὸς μὲν οὖν
10 ἐστι λόγος ἠθικὸς μετὰ σεσηρότος τοῦ προσώπου λεγόμενος, οἷον

ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο·
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν.

15 διασυρμός ἐστι λόγος εἰρωνικὸς ἐπὶ τῷ διασύρειν τοὺς πέλας λεγόμενος, οἷον

ἄλλος δ' αὖτέ τις ἀνέστη μαντεύεσθαι.

ἐπικερτόμησις δέ ἐστι λόγος ἐρεθιστικὸς ἐπὶ τῷ λυπῆσαι τοὺς ἐχθροὺς συντεθειμένος, οἷον

20 ἐνταυθοῖ νῦν ἦσο κύνας τε σύας τ' ἀπερύκων,
μὴ δὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι.

κατάγελως δέ ἐστιν ὅταν ἐπί τινι πράξει τῶν μὴ δεόντως καταθρασυνομένων καταπαιζώμεθα, οἷον

592 Ὀθρυονεῦ πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
25 εἰ ἐτεὸν δὴ ταῦτα τελευτήσεις, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ.

εἰκασμὸς δέ ἐστιν ὅταν μετὰ τοῦ παρατιθέναι τὸ ὅμοιον καθαιρῶμεν τοὺς πέλας, οἷον

ὦ πόποι ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει
30 γρηῒ καμινοῖ ἶσος.

χαριεντισμὸς δέ ἐστι λόγος ἠθικὸς μετὰ χάριτος παριστῶν τὴν τοῦ λέγοντος ἐπί τινι διάχυσιν, οἷον

www.libtool.com.cn
Digitized by Google

ὦ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὃς ῥεῖα κυβιστᾷ. καὶ τὰ μὲν τῆς διανοίας σχήματα τοιαύτην τινὰ τάξιν ἔχοντα παραδεδόσθω, τὰ δὲ τοῦ λόγου ποικίλα ὄντα τοῖς τε ὀνόμασι καὶ τῇ διακοσμήσει, πειρασώμεθα διὰ συντόμων ἀποδεῖξαι.

www.intool.com.cn

Γίνεται δὲ πᾶν σχῆμα λόγου καὶ διανοίας ἐν περιόδῳ, ἥτις ἐστὶ λόγος ἐν εὐπεριγράφῳ συνθέσει κώλων αὐτοτελῆ διάνοιαν ἀποτελῶν, οἷον ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει. περίοδος μὲν οὖν τοῦτο, κῶλα δὲ τῆς περιόδου, πρῶτον μέν, ἀνὴρ γὰρ ἰδιώτης· δεύτερον δέ, ἐν πόλει δημοκρατουμένῃ· τρίτον, νόμῳ καὶ ψήφῳ βασιλεύει. γίνονται δὲ δίκωλοι καὶ τρίκωλοι καὶ τετράκωλοι. δίκωλοι μέν, οἷον Ἀθηναῖοι μὲν κατὰ θάλατταν ἠρίστευον, Λακεδαιμόνιοι δὲ ἐν τοῖς πεζικοῖς κινδύνοις ἐπρώτευον. τρίκωλοι δέ, ὡς ἔθηκέ τις ἐπὶ τῶν Ἀθηνῶν, ἢ πρὸς ἁπάσας ὁρωμένη καὶ κρινομένη τὰς πόλεις πρόσωπον μὲν ἂν φαίνοιτο τῆς Ἑλλάδος διὰ τὸ κάλλος, χεῖρες δὲ διὰ τὴν ἰσχύν, ψυχὴ δὲ διὰ τὴν φρόνησιν. νοείσθω δὲ ἡ τρίκωλος χωρὶς τῆς προεκθέσεως ἀπὸ τοῦ, πρόσωπον μὲν ἂν φαίνοιτο καὶ τὰ ἑξῆς. τετράκωλος δέ, ὡς παρ' Ἰσοκράτει, τίς γὰρ οὐκ ἂν ἡδέως μετάσχοι στρατείας τῆς ὑπὸ Ἀθηναίων μὲν καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἐκπεμπομένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων ἐλευθερίας ἀθροιζομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων τιμωρίαν πορευομένης. νῦν δὲ ὁριστέον τὰ σχήματα. 593

ΠΕΡΙ ΤΩΝ ΕΝ ΛΟΓΩι ΣΧΗΜΑΤΩΝ.

Σχῆμά ἐστι λόγου ἢ λέξεως οἰκονομία μετ' εὐκοσμίας ἐκπεφευγυῖα τὴν ἰδιωτικὴν ἁπλότητα τῆς ἀπαγγελίας. ἔστι δὲ τὰ τῷ λόγῳ παρακολουθοῦντα σχήματα τάδε· ἀπὸ κοινοῦ, μερισμός, ἀπολελυμένον, παρονομασία, ἀποσιώπησις, διὰ μέσου, διόρθωσις, προδιόρθωσις, ἐπιδιόρθωσις, ἀποστροφή, διαβεβαίωσις, ἐρώτησις, ἀντεστραμμένον, ἐπαναφορά, πολύπτωτον, ὁμοιόπτωτον, ὁμοιοκατάληκτον, ὁρισμός, ἀστεϊσμός, ἐπιτροπή, ἀντίθεσις, διάλυσις, ἐπίζευξις, κλῖμαξ, σύλληψις, κατ' ἐξοχήν, Πινδαρικόν, Ἰβύκειον, Ἀλκμανικόν, ἐκ παραλλήλου, καταρίθμησις, ἀσύνδετον, ἐξ ἀντιστρόφου. τὰς γὰρ κατασκευὰς τοῦ λόγου οὐ συναριθμητέον τοῖς σχήμασιν, οἷον τήν τε προοικονομίαν καὶ προαναφώνησιν καὶ παραβολὴν καὶ ὁμοίωσιν καὶ ἀνταπόδοσιν καὶ παράδειγμα καὶ εἰκόνα.

Ἀπὸ κοινοῦ μέν ἐστι λόγων συνέχεια ἐν διανοίᾳ κοινωνοῦσα ὡς ἐπὶ τὸ πλεῖστον ἑνὸς ῥήματος εἰς συντέλειαν, οἷον

καὶ ἐλίσσετο πάντας Ἀχαιούς,
Ἀτρείδα δὲ μάλιστα δύο κοσμήτορε λαῶν.

Μερισμὸς δὲ πράγματος ἑνὸς εἰς πολλὰ διαίρεσις εἰς δήλωσιν τῶν ὑποκειμένων, οἷον

ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τι πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

τούτῳ τῷ σχήματι χρησαμένη ἡ Κλεοπάτρα ὥσπερ ἐδυσώπησε καὶ διήγειρε τὸν Μελέαγρον· ἡ γὰρ καθ' ἕκαστον τῶν ὑποκειμένων διήγησις εἰς ὄψιν ἡμῖν τὸν τῆς πόλεως οἶκτον ἤγαγεν.

Ἀπολελυμένον δέ ἐστι λόγος πολλὰς ἀρχὰς ἔχων ἐκ διαιρέσεως καὶ διαλείμματος ἐκφέρων τὴν τῆς φωνῆς

www.lotpol.com.cn
Digitized by Google

ὁρμήν, καθάπερ ἀνακαιομένου καὶ ἐκλάμποντος τοῦ θυμοῦ τοῦ λέγοντος, οἷον

Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά.

Παρονομασία δέ ἐστιν ὅταν ἔκ τινος τῶν ληφθέντων www.libjool.com.cn
εἰς διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες 5
ἑτέραν κινήσωμεν διάνοιαν, οἷον

τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευε.
συνώνυμον γὰρ ὄνομα λαβὼν ἐτήρησε τὴν ἀρχήν, δυνάμενος εἰπεῖν, Πρόθοος ταχύς.

Ἀποσιώπησις δὲ ὁπόταν ἀτοπωτέρᾳ τις μέλλων ἐπι- 10
φορᾷ χρῆσθαι σιγήσῃ τὸ συμπέρασμα τῆς διανοίας· ἀλλ' ἐμοὶ μὲν — οὐ βούλομαι δὲ δυσχερὲς οὐδὲν εἰπεῖν ἀρχόμενος τοῦ λόγου.

Διὰ μέσου δέ ἐστιν ἕνωσις λόγου τὸ ἀκόλουθον 596
ἀφαιρουμένη ἑτέρου τινὸς παραθέσει λόγου, οἷον 15

σφῶϊ μὲν — οὐ γὰρ ἔοικ' ὀτρυνέμεν — οὔτι κελεύω.

Διόρθωσις δὲ ὅταν τῷ ῥηθέντι δυσαρεστήσαντες ὡς οὐχ ἱκανῶς εἰρημένῳ μεταφράσωμεν, εἶτα ἐπιδιασαφήσωμεν αὐτὸ μᾶλλον, οἷον ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι· τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν 20
πόλιν λέγω.

Προδιόρθωσις δὲ ὅταν μέλλωμεν αἰσχρὰ κατὰ τῶν ἀντιδίκων ἢ μεγάλαυχα περὶ αὐτῶν ἐρεῖν, εἶτα ἐκμαλάσσωμεν τοῖς λόγοις προκαταλαμβάνοντες τοὺς ἀκροατάς, οἷον 25

ἐγγὺς ἀνὴρ — οὐ δηθὰ ματεύσομεν — αἴκ' ἐθέλητε
πείθεσθαι· καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,
οὕνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ' ὑμῖν,
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι.

Ἐπιδιόρθωσις δὲ ὅταν τοῖς δοκοῦσιν ἡμαρτῆσθαι 30
ἐπάγῃ τις ὥσπερ θεράπειαν τὴν μετάνοιαν, οἷον

σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος.

Digitized by Google

ἐπεὶ γὰρ ὡς περὶ ἑτέρων εἶπε τὸ πείθονται, συμπεριέλαβεν ἐν τῷ δευτέρῳ καὶ ἑαυτόν.

597 Ἀποστροφὴ δὲ γίνεται ὅταν δέον εἰπεῖν πρὸς ἁμαρτάνοντας, πρὸς μὲν αὐτοὺς ἐκείνους οὐδὲν εἴπωμεν, πρὸς δὲ τὸν τὴν ὅλην ἀποδεχόμενον βλάβην. Ὀδυσσεὺς οὖν βουλόμενος εἰπεῖν τὴν βλάβην τοῖς Ἕλλησιν, ὅτι ἀδικοῦσι παραβαίνοντες τὰς ὑποσχέσεις ἃς ὑπέσχοντο τῷ βασιλεῖ, πρὶν ἑλεῖν τὴν Ἴλιον ἀνακάμπτειν ζητοῦντες οἴκαδε, ἐπεὶ τοῦτο ἑώρα σκληρότερον πρὸς κεκινημένην τὴν ἐκκλησίαν, οὐδὲν μὲν παροξύνων εἶπεν, ἀλλὰ γὰρ ἀπέστρεψε τὸν λόγον πρὸς τὸν βασιλέα,

Ἀτρείδη, νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν.

ἐπεὶ γὰρ τὸ ἐκείνους ψεύστας τε καὶ ἀδίκους ἀποφαίνειν κίνδυνον ἐδόκει φέρειν, τὴν μὲν δύναμιν ἐφύλαξε τοῦ νοῦ, ἔδοξε δὲ πολλοῖς ἐλεεινὸν λέγειν τὸν ἐγκαταλειπόμενον, καὶ οὐ πονηροὺς τοὺς ἐγκαταλείποντας τὸν βασιλέα.

Διαβεβαίωσις δέ ἐστι λόγου παρρησία μετὰ τοῦ δύνασθαι πράττειν ἀπαρεμποδίστως ταῦτα ἅπερ ἐν τοῖς λόγοις διασημαίνεται, οἷον

ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.

Ἐρώτησις δέ ἐστι λόγος ἐν ὑποκρίσει λεγόμενος ἐπὶ
598 τῷ σαφέστερον γνῶναί τι τῶν ἐπιζητουμένων, ὡς παρὰ
26 Ὑπερίδῃ, δοκεῖς γὰρ αὐτὸν εἰπεῖν;

Ἀντεστραμμένον δέ ἐστι λόγος ἀντικείμενος τῇ κατὰ φράσιν προφορᾷ τῶν σημαινομένων, οἷον

πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.

Ἐπαναφορὰ δέ ἐστι πλάσις ἐκ τοῦ διπλασιάζεσθαι ἐπίτασιν δηλοῦσα, οἷον

www.libtool.com.cn
Digitized by Google

τοῦδ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

καὶ

ἅτε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὀαριζέτον ἀλλήλοιϊν.

καὶ Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται.

Πολύπτωτον δὲ ὅταν ἤτοι τὰς ὀνομασίας ἢ τὰ ὀνόματα εἰς πάσας τὰς πτώσεις μεταβάλλοντες διατιθώμεθα τὸν λόγον, ὡς παρὰ Κλεοχάρει· Δημοσθένης ὑπέστη Φιλίππῳ· Δημοσθένους πένης μὲν ὁ βίος, μεγάλη δ' ἡ παρρησία· Δημοσθένει πολλῶν διδομένων οὐδὲν οὔτε πλῆθος οὔτε κάλλος ἄξιον ἐφάνη προδοσίας· Δημοσθένην Ἀλέξανδρος ἐξήτει· τὸ διὰ τί παρ' αὐτοῖς λογίζεσθε· ἀδίκως τε ἀπέθανες, ὦ Δημόσθενες. ἔστι δὲ τὸ τοιοῦτον σχῆμα καὶ παρά τισι τῶν ποιητῶν, ὡς παρ' Ἀρχιλόχῳ καὶ Ἀνακρέοντι· καὶ παρὰ μὲν οὖν Ἀρχιλόχῳ

νῦν δὲ Λεώφιλος μὲν ἄρχει, Λεώφιλος δ' ἐπικρατεῖ,
Λεωφίλῳ δὲ πάντα κεῖται, Λεώφιλος δ' ἄκουε.

παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν,

Κλευβούλου μὲν ἔγωγ' ἐρῶ,
Κλευβούλῳ δ' ἐπιμαίνομαι,
Κλεύβουλον δ' ἰδέειν ποθέω.

Ὁμοιόπτωτον δέ ἐστι φράσις ἐκ τῶν παραπλησίων καὶ τῶν ὁμοίων κλίσεων εἰς ἓν ἐξενηνεγμένη, οἷον ἐπὶ μὲν εὐθείας,

λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος,

ἐπὶ δὲ αἰτιατικῆς,

Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε,

www.libool.com.cn
Digitized by Google

καὶ ἐπὶ τοῦ αὐτοῦ χρόνου,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.

601 Ὁμοιοκατάληκτον δέ ἐστι φράσις εἰς μίαν καὶ τὴν ὁμοίαν κατακλειομένη κατάληξιν, οἷον

Οὔλυμπον δ', ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι ἐσθλόν.
οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
δεύεται, οὔτε χιὼν ἐπικίδναται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀννέφελος.

Ὁρισμὸς δέ ἐστιν ὅταν προθέντες ὄνομά τι ἢ ῥῆμα, οἷόν ἐστιν, ὁριζώμεθα· παραπέμπει γὰρ ἡμᾶς ἡ ἐλπίς, αὕτη δὲ ἀτυχούντων ἐστὶν ἐφόδιον.

Ἀστεϊσμὸς δέ ἐστι προσποίησις πιθανὴ τοῦ μὴ λέγειν ἢ μνημονεύειν ἡμᾶς ἃ λέγομεν, ὡς παρὰ Σοφοκλεῖ εἰσῆκται λέγων ὁ Ὀδυσσεὺς τῷ Διομήδει,

ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδέν, οὔθ' ὅπως
φυγὰς πατρῴας ἐξελήλασαι χθονός,

602 οὔθ' ὡς ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενὲς
κτείνας ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται,
οὔθ' ὡς πρὸ Θηβῶν ὠμοβρῶτ' ἐδαίσατο
τὸν Ἀστάκειον παῖδα διακαρατομῶν.

Ἐπιτροπὴ δὲ ὅταν τοῖς ἀκούουσιν ἐπιτρέψωμεν τὴν τῶν πραγμάτων ἢ ὀνομάτων ἐξουσίαν, ὡς παρὰ τῷ Εὐριπίδῃ παρεισάγεται ἡ Ἀνδρομέδα λέγουσα τῷ Περσεῖ,

ἄγου δέ μ' ὦ ξέν', εἴτε πρόσπολον θέλεις,
εἴτ' ἄλοχον, εἴτε δμωΐδα.

Ἀντίθεσις δὲ γίνεται κατὰ τρόπους πλείους· εἷς μὲν ὅταν ἀντικείμενα ὀνόματα λαμβάνηται· τιμωρία γὰρ ἐπιτίμιον κακίας, οὐκ ἀρετῆς. καὶ πολέμῳ δὲ ἰσχὺν χορηγεῖ πλοῦτος, οὐ πενία. καὶ κατὰ διέξοδον, προτιμῶσιν αἱ πόλεις τῶν ἀδίκως πλουτούντων τοὺς δικαίως πενομένους, καὶ τῶν παρανόμως νικώντων τοὺς

Digitized by Google

ἐννόμως ἡττωμένους, καὶ τῶν κακῶς ζώντων τοὺς καλῶς ἀποθνήσκοντας. ἑτέρα δὲ ἀντίθεσις ὅταν ἀντιστέλληται κατάφασις ἀποφάσει· σὺ μὲν γὰρ ἔλαβες, Δημάδη, δῶρα παρὰ Φιλίππου, ἐγὼ δὲ οὐκ ἔλαβον· καὶ σὺ μὲν συνέπινες αὐτῷ κατὰ τῆς πόλεως εὐωχουμένῳ, ἐγὼ δὲ οὐ συνέπινον· καὶ σὺ μὲν συννηνέχθης τοῖς ἐκείνου πρέσβεσι συνομνύμενος, ἐγὼ δὲ 603
οὐ συννηνέχθην.

Διάλυσις δὲ ὁπόταν τοὺς συνδέσμους αἴροντες ἑκάστου τῶν κώλων ἰδίαν ἀρχὴν ποιώμεθα, οἷον νομίσατε ὁρᾶν ἁλισκομένην πόλιν, τειχῶν καταskαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας, παῖδας ἐπὶ δουλείαν, πρεσβύτας ἄνδρας, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ἡμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις. νῦν γὰρ οὐκ εἶπεν ἁλισκομένην πόλιν καὶ ἐμπιπραμένας οἰκίας καὶ κατασκαπτόμενα τείχη, ἀλλὰ χωρὶς τῶν συνδέσμων ἐξέφρασε τὸν λόγον.

Ἐπίζευξις δὲ ὅταν τὰ προκείμενα ὀνόματα διαλαμβάνοντες τὴν ἐπιφορὰν ἐκφαντικωτέραν ποιησώμεθα, οἷον Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν ἐκ μέσης τῆς Ἑλλάδος ἀνηρπάσθη.

Κλῖμαξ δὲ ὅταν ἕκαστον τῶν ἐν τοῖς κώλοις ὀνομάτων ἀναλαμβάνοντες διατιθώμεθα τὸν λόγον, ὡς οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ, οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ, οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους. καὶ τὸ παρ' Ὁμήρῳ δέ τινες τούτῳ τῷ σχήματι συναριθμοῦσιν,

Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι· 604

www.libtool.com.cn
Digitized by Google

αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ ἀργειφόντῃ·
Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ·
αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρέϊ, ποιμένι λαῶν·
Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ·
αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι.

www.libool.com.cn

Σύλληψις δὲ ὅταν τὸ τῷ ἑτέρῳ συμβεβηκὸς κἀπὶ θατέρου λαμβάνηται, οἷον

τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς.

πιθανὸν γὰρ ἦν αὐτῶν τὸν ἕτερον σκάζειν, τὸν κατὰ τοῦ ταρσοῦ τετρωμένον. καὶ

Βορέης καὶ Ζέφυρος, τώτε Θρῄκηθεν ἄητον.

μόνος γὰρ ὁ Βορέας ἀπὸ τῆς Θρᾴκης ἐκπνεῖ. καὶ τὸ παρὰ Πινδάρῳ ἐπί τε τοῦ Πειρίθου καὶ τοῦ Θησέως λεγόμενον, φὰν δ' ἔμμεναι Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.

Κατ' ἐξοχὴν δὲ γίνεται ὅταν τῶν ἐν τῷ κοινῷ ῥηθέντων ἰδίᾳ καθ' ὑπεροχὴν μνησθῶμεν τινῶν·

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν.

εἷς γὰρ ἦν τῶν Τρώων καὶ ὁ Ἕκτωρ, ἰδίᾳ δὲ εἴρηται, ὅτι ἄριστος· καὶ

605 οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἷέες ἦσαν,
οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος.

ὅπερ οὐ νοήσαντες οἱ νεώτεροι τὸν Μελέαγρον, Ἄρεως ὄντα, κεχωρίσθαι τῶν Οἰνειδῶν ἔδοξαν.

Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφοράν, οἷον ἄνδρες ἐπὶ πόλεως. καὶ ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων. καὶ παρ' Ἡσιόδῳ,

τῆς δ' ἦν τρεῖς κεφαλαί.

ἀπὸ δὲ τούτου τοῦ ἔθους καὶ τοῖς οὐδετέροις πληθυντικοῖς ἑνικὰ ῥήματα ἐπιφέρειν ἀεὶ παρεδεξάμεθα, ὅπερ οὐ

Digitized by Google

τηροῦσι παντάπασιν οἱ λυρικοί, ἀλλ' οὐδὲ ὁ ποιητής· λέγει γοῦν

γυῖα λέλυνται·

καὶ ἐκ παραλλήλου,

καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

Τὸ δὲ Ἰβύκειον καὶ λέξεως καὶ συντάξεώς ἐστι, γίνεται δὲ ἐν τοῖς ὑποτακτικοῖς τρίτοις προσώποις τῶν ῥημάτων κατὰ πρόσθεσιν τῆς σι συλλαβῆς,

λαμπρὸν παμφαίνησι λελουμένος ὠκεανοῖο.

καὶ

εἴπερ τις ἐπιχθονίων ἀνθρώπων

φησὶν ἐλεύσεσθαι.

καλεῖται δὲ Ἰβύκειον, οὐχ ὅτι πρῶτος Ἴβυκὸς αὐτῷ ἐχρήσατο, (δέδεικται γὰρ καὶ παρ' Ὁμήρῳ πρότερον) ἀλλ' ἐπεὶ πολὺ καὶ κατακορὲς παρ' αὐτῷ. καὶ γὰρ γλαυκώπιδα Κασάνδραν, ἐρασιπλόκαμον κόραν Πριάμοιο, φᾶμις ἔχησι βροτῶν. καὶ δι' ἑτέρων, τᾶμος ἄϋπνος κλυτὸς ὄρθρος ἐγείρησιν ἀηδόνας, ἀντὶ τοῦ ἐγείρῃ.

Ἀλκμανικὸν δὲ τὸ μεσάζον τὴν ἐπαλλήλων ὀνομάτων ἢ ῥημάτων θέσιν πληθυντικοῖς ἢ δυϊκοῖς ὀνόμασιν ἢ ῥήμασι. τέσσαρα δὲ παρὰ τῷ ποιητῇ τοιαῦτα,

ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.

καὶ

ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι

Κωκυτός τε.

καὶ

εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης καὶ Φοῖβος Ἀπόλλων.

καὶ

εἰ μὲν δὴ θάρσος μοι Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη.

πλεονάζει δὲ τοῦτο τὸ σχῆμα παρ' Ἀλκμᾶνι τῷ λυρικῷ, ὅθεν καὶ Ἀλκμανικὸν ὠνόμασται. εὐθὺς γοῦν ἐν τῇ δευτέρᾳ ᾠδῇ παρείληπται,

www.libtool.com.cn

Digitized by Google

Κάστωρ τε πώλων ὠκέων δαμάντορες ἱππότα σοφὼ καὶ Πολυδεύκης κυδρός.

607 Ἐκ παραλλήλου δὲ ὅταν δύο λέξεις ἐπάλληλοι τεθῶσι τὸ αὐτὸ σημαίνουσαι, ὡς

www.ibtool.com.cn

5 δηθά τε καὶ δολιχόν,

ταὐτὸ σημαίνουσι. γίνεται δὲ ἤτοι ἐκ δύο λέξεων, ὡς ἔχει τὸ προειρημένον, ἐκ κοινοῦ καὶ ξένου,

πυκνοὶ καὶ θαμέες·

ἢ ἐκ δύο κοινῶν,

10 δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ. καὶ ὡς παρὰ τῷ Ἡσιόδῳ,

νόσφιν ἄτερ πόνου καὶ ὀϊζύος.

Καταρίθμησις δὲ ὅταν ἐπαλλήλων ὀνομάτων σύνθεσις γίνηται,

15 Καρδαμύλην Ἐνόπην τε καὶ Ἰρὴν ποιήεσσαν. καὶ παρὰ Δημοσθένει, πρῶτον Ἐρέτριαν εἷλεν, εἶτα Πύδναν πόλιν, Ποτίδαιαν, Μεθώνην αὖθις.

Ἀσύνδετον δὲ τὸ τὸν μὲν λόγον ἠρτημένον ἔχον τοῦ 20 προτέρου διανοήματος, τὴν δὲ φράσιν κεχωρισμένην,

ἴομεν ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' Ὀδυσσεῦ·

εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά.

καὶ

ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος,

25 χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρῃον.

Ἐξ ἀντιστρόφου δέ ἐστι φράσις ἡ τὰ συνέχοντα τὴν ἑρμηνείαν ἐνηλλαγμένα ἔχουσα,

608 ταὶ δὲ μεγάλα κτυπέουσαι

πίπτον,

30 ἀντὶ τοῦ πίπτουσαι ἐκτύπουν. καὶ κάμε τεύχων· καμὼν γὰρ ἔτευξεν. τοιοῦτο λέγουσιν εἶναι καὶ τὸ

Digitized by Google

παρῴχηκε δὲ πλέον νὺξ
τῶν δύο μοιράων.
νοείσθω δὲ τὸ πλέον τῆς νυκτός, ὅ εἰσι δύο μοῖραι.

Ῥητέον δ' ἐξῆς καὶ περὶ τῶν τοῦ λόγου κατασκευῶν.

www.libtool.com.cn

Προοικονομία τοίνυν ἐστὶν ἡ τὰ μέλλοντα διατίθεσθαι προπαρασκευάζουσα λέξις. ἐπειδὴ τῷ Σκαμάνδρῳ διωνυμίαν ἤμελλε περιάπτειν ὁ ποιητής, ἄλλας προϋπεστήσατο διωνυμίας,

τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης.

καὶ

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν·
ἵνα τῷ μέτρῳ τὸ ξάνθου ὄνομα παραλειφθὲν ἁρμόσῃ.

Προαναφώνησις δὲ ἡ τὰ μέλλοντα αὖθις διὰ πλειόνων ῥηθήσεσθαι προσυνιστῶσα φράσις, οἷον

ἦ γὰρ ἔμελλε
οἵ τ' αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.

καὶ

ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι' Ἀχιλλεύς, 609
καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλεν,
τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν·
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι,
πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν, οἱ δὲ λίποντο,
πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ.

ἡ δὲ προαναφώνησις ἐξ ἡρωϊκοῦ προσώπου γίνεται ὡς πρός τινα μὴ παρόντα,

ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενές, ὀλβιόδαιμον·
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.

καὶ

ἆ δειλώ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι,
θνητῷ, ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε.

Digitized by Google

Παραβολὴ δὲ πράγματος ὁμοίου παράθεσις ἢ γινομένου ἢ οἷου τε ὄντος γενέσθαι,

ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών.

Ὁμοίωσις δὲ πράγματος ὁμοίου παράθεσις, οἷον

www.libtool.com.cn

ὄρνιθες ὡς.

διαφέρει δὲ τῆς παραβολῆς, ὅτι διὰ συντόμων ὡς ἐπιτοπλεῖστον λέγεται καὶ χωρὶς ἀνταποδόσεως φράζεται.

Ἀνταπόδοσις δὲ φράσις ἀνταποδιδομένη τῇ παραβολῇ καὶ συναπλοῦσα τοῖς πραττομένοις αὐτήν,

ὣς μὲν Θρῄκας ἄνδρας ἐπῴχετο Τυδέος υἱός.

Παράδειγμα δὲ πράξεων ἔκθεσις πρὸς ὁμοιότητα τῶν ἐνεστηκυιῶν προτροπῆς χάριν ἢ ἀποτροπῆς ἢ δηλώσεως ἁπλῆς,

μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε·

ὡς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι·

Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι.

ἀποτροπῆς γὰρ ἕνεκα παρείληπται. προτροπῆς δὲ χάριν, οἷον

ἦ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης

πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα, Αἴγισθον δολόμητιν.

δηλώσεως δὲ ἁπλῆς,

τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.

Εἰκὼν δέ ἐστι διαγραφὴ σωμάτων κατὰ μέρος ἤτοι μετὰ παραθέσεως ἢ διὰ ψιλῆς ἀποτυπώσεως· μετὰ μὲν παραθέσεως, οἷον

ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ, Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

διὰ ψιλῆς ἀποτυπώσεως δέ,

γυρὸς ἐν ὤμοισιν, μελανόχροος οὐλοκάρηνος.

Digitized by Google

www.libtool.com.cn

XXIII.

ΠΟΛΥΒΙΟΥ ΣΑΡΔΙΑΝΟΥ

611

ΠΕΡΙ ΣΧΗΜΑΤΙΣΜΟΥ.

Μετασχηματισμός ἐστι λέξεως συνήθους κίνησις μέτρου χάριν ἢ κατασκευῆς, ὡς ἐν τῷ κραδίη· ἐμφαίνει γὰρ τὴν τοῦ σπλάγχνου ἰδιότητα, ὅτι κραδαίνεται διηνεκῶς. συστολή ἐστιν ἔνδεια χρόνου, γίνεται δὲ ἤτοι διὰ χρόνου παρὰ φύσιν συστελλομένου,

οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτραν.

μετασχηματίζουσι δὲ ἤτοι γένος, οἷον

μηνιθμὸν μὲν ἀπορρῖψαι,

ἀντὶ τοῦ μῆνιν, καὶ

612

μήτοι τι θεῶν μήνιμα γένωμαι·

δείελος ὀψὲ δύων·

καὶ

μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν,

ἀντὶ ἑσπέραν· ἢ ἀριθμόν,

μειδιόων βλοσυροῖσι προσώπασιν·

ἢ πτῶσιν,

Πατροκλῆος δειλοῖο

καὶ

Σαρπήδοντος ἑταῖρον,

Digitized by Google

ἀντὶ τοῦ Σαρπηδόνος· ἢ διαλύουσι μίαν λέξιν εἰς δύο, πόλιν ἄκρην ἀντὶ τοῦ ἀκρόπολιν, καὶ

Σάμου ὑληέσσης

Θρηϊκίης,

www.histpol.com.cn

ἀντὶ Σαμοθρᾴκης· ἢ δύο εἰς μίαν λέξιν σχηματίζουσι· τὸν γοῦν καθ' ἕνα ἄνδρα ἀνδρακὰς ἔφη ὁ ποιητής, καὶ τὸ κατὰ μόνον μουνὰξ ὀρχήσασθαι· ἢ τὴν σύνθεσιν τῆς λέξεως ἐναλλάττουσιν ὡς παρὰ Σοφοκλεῖ,

οἱ γὰρ γύναυδροι καὶ λέγειν ἠσκηκότες,

ἀντὶ τοῦ ἀνδρόγυνοι. γίνεται δὲ μετασχηματισμὸς καὶ ὅταν τις τὸ κύριον κατὰ μείωσίν τινα προενέγκηται. Ὅμηρος

ἵππους δ' Αὐτομέδων ἠδ' Ἄλκιμος,

ἀντὶ τοῦ Ἀλκιμέδων.

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΚΑΤΑΣΚΕΥΗΣ ΕΙΔΩΝ.

Ὁμοίωσίς ἐστι λόγος, καθ' ὃν ὁμοιοῦμεν ἕτερον ἑτέρῳ. εἴδη δὲ αὐτῆς τρία, παραβολή, παράδειγμα, εἰκών. παραβολή ἐστι πρᾶγμα πράγματι παραβαλλόμενον κατά τι οἰκεῖον αὐξήσεως ἢ ἐμφάσεως ἢ σαφηνείας ἕνεκα, αὐξήσεως μέν

ὡς δ' ὅτ' ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο,
ὡς πυκίν' ἐν στήθεσσιν ἀνεστενάχιζ' Ἀγαμέμνων·

ἐμφάσεως δέ,

ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐνὶ νηῒ πέσῃσι
λάβρον.

613 σαφηνείας δ' ἕνεκα,

ἐπὶ δ' ὄρνυτο δῖος Ὀδυσσεὺς
ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο
στήθεός ἐστι κανών, ὅντ' εὖ μάλα χειρὶ τανύσσῃ
πήνιον ἐξέλκουσα παρὲκ μίτον.

Digitized by Google

Εἰσὶ δὲ τῶν παραβολῶν αἱ μὲν ἀνταποδοτικαί, αἱ δὲ ἀπόλυτοι, ἀνταποδοτικαὶ μὲν αἱ τοιαῦται,

ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξει
πόρτιος ἠὲ βοός, καὶ ἑξῆς·
ὡς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
βῆσε κακῶς ἀέκοντας.

καὶ ἔστιν ἀνταποδιδόμενος τῇ παραβολῇ. ἀπόλυτοι δέ εἰσιν αἱ δίχα ἀνταποδόσεως λεγόμεναι, οἷον

ὥστε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἰκόνδε νέεσθαι.

Παράδειγμα δέ ἐστι λόγος διὰ τῆς ὁμοίων παραθέσεως προτροπὴν ἢ ἀποτροπὴν ἢ ἀπόδειξίν τινων ἔχων· προτροπὴν μὲν

ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης,

καὶ τὰ ἑξῆς, ἀποτροπὴν δὲ

οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόεργος·

ἀπόδειξιν δὲ τὸ παράδειγμα οὕτως ἔχει,

σχέτλιοι ἐστὲ θεοὶ ζηλήμονες ἔξοχον ἄλλων
οἵ τε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι.

εἶτα,

ὡς μὲν ὅτ' Ὠρίων' ἔλετο ῥοδοδάκτυλος Ἠώς·
ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ, 614
ὡς αὖ νῦν μοι ἀγᾶσθε θεοὶ βροτὸν ἄνδρα παρεῖναι.

παράκειται τῷ παραδείγματι καὶ ἡ καλουμένη ἐπαγωγή. ἐπαγωγὴ δέ ἐστιν, ὅταν τι τῶν ὁμοίων προθέντες ἐπάγωμεν, εἰς ὃ συμπείθομεν, οἷον

μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίηφι,
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ,
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·

εἶτ' ἐπάγει,

μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο.

www.libtool.com.cn
Digitized by Google

Εἰκών ἐστι λόγος εἴδους εἶδει παρατεθεὶς ὁλοσχερῶς ἢ ἀπὸ μέρους· ὁλοσχερῶς μὲν

Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ·

ἀπὸ μέρους δέ,

ὄμματα καὶ κεφαλὴν ἰκέλος Διὶ τερπικεραύνῳ.

Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

www.libtool.com.cn

Παράκειται δὲ τῇ εἰκόνι ἐννέα, εἰκονισμός, εἰκονογραφία, ὑποτύπωσις, εἰδωλοποιΐα, εἰκασία, εἰδικὴ ὁμοίωσις, χαρακτηρισμός, τοποθεσία καὶ τοπογραφία. εἰκονισμός ἐστι σώματος ἰδίως ἀπόδοσις ἐξ ἱστορίας λαμβανόμενος, οἷον

γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος.

καὶ τὸ ἐπὶ Θερσίτου

φολκὸς ἦην, χωλὸς δ' ἕτερον πόδα.

τὸ δ' αὐτὸ καὶ εἰκονογραφία ἂν εἴη, ὅταν κατὰ τὴν ἀπόδοσιν τῆς μορφῆς ὁμοιώσεως ἐφάπτηται.

Ὑποτύπωσίς ἐστι σώματος ἰδίως ἀπόδοσις πεπλασμένου,

καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,

χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ.

Παράκειται δ' αὐτῇ εἰδωλοποιΐα, ὅταν δαίμονάς τινας ἀπὸ πραγμάτων ἀναπλάττωμεν, ὡς τὰς λιτὰς Ὅμηρος.

Εἰκασία ἐστὶ φράσεως ὑπόληψις ἰδιώσεως μορφὴν ἐμφαίνουσα,

εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,

Ἀρτέμιδί σε ἔγωγε Διὸς κούρῃ μεγάλοιο

εἶδός τε μέγεθός τε φυὴν τ' ἄγχιστα ἐΐσκω.

Ἡ δὲ εἰδικὴ ὁμοίωσίς ἐστι παράθεσις ὁμοίων χαρακτήρων, οἷον

κείνου γὰρ τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,

ὀφθαλμῶν τε βολαί, κεφαλή τ' ἐφύπερθέ τε καῖται.

Χαρακτηρισμός ἐστιν ὑποτύπωσις ἰδιώματος ψυχῆς,

Digitized by Google

οἷον

εὖ δὲ σὺ οἶσθα, γεραιὲ διοτρεφές, οἷον ἐκεῖνος
δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.

Τοποθεσία ἐστὶ τόπων ἰδίων ἀπόδοσις ὑφεστώτων,
οἷά ἐστι τὰ ἐπὶ τῆς Ἰθάκης,

Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος
ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῇ,
καὶ ἑξῆς.

Τοπογραφία ἐστὶ τόπου ἰδίως ἀπόδοσις πεπλασμέ- 616
νου, ὡς ἔχει ἥ τε Καλυψοῦς νῆσος,
ὕλη δὲ σπέος ἀμφὶ πεφύκει τηλεθόωσα·
καὶ τὰ ἐπὶ τῆς Λεχείας,
νῆσος ἔπειτα Λέχεια παρακεκλιμένη τετάνυσται.

Εἶδος δ' ἂν εἴη τῆς ὁμοιώσεως καὶ ἡ καλουμένη
διαφορά, ἥτις πᾶσι τοῖς ἄλλοις τῆς ὁμοιώσεως εἴδεσιν
ἀντέστραπται, οἷον

οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
καὶ τὰ ἑξῆς.

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

XXIV.

617

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΛΟΓΟΥ ΣΧΗΜΑΤΩΝ.

Πολλοὶ περὶ σχημάτων ποιησάμενοι τῶν ἀρχαίων τῶν τε λόγου καὶ τῆς διανοίας, φιλοπονώτατον τέκνον καὶ εὐλαβέστατε Ἰγνάτιε, ἄλλος ἄλλῃ μεθόδῳ ἐχρήσατο, ὡς ἑκάστῳ ἔδοξεν ἁρμόδιόν τε καὶ ὠφέλιμον· οὐδὲ γὰρ πάντες τὴν αὐτὴν ὁδὸν μετελθεῖν ἠβουλήθησαν, ἀλλ' ὁ μὲν κατέλιπέ τινα τῶν σχημάτων, ὁ δὲ ἐβιάσατο καὶ μὴ ὄντα ἐπεξεργάσασθαι. ἡμεῖς δὲ σὺν θεῷ φάναι μήτε περιττόν τι μήτε ἐλλεῖπον γεγραφέναι βουλόμενοι τρίτην μέθοδον ἐπενοήσαμεν, καὶ ἴσως τοῖς ἀφθόνως κρίνειν προαιρουμένοις [καὶ] λίαν ἀκίνδυνον· οὐδὲ γὰρ πολυσχιδῆ καὶ ποικίλην καὶ τῆς εὐλόγου τέχνης ἀμοιροῦσαν ἐπιζητοῦμεν, ἀλλ' ἣν Ἑρμογένης ἔγραψε καὶ σοφοὶ ἠρέσθησαν, καὶ σώφρονες κατὰ τὴν γνῶσιν ἐπέκριναν· εἰ δὲ μετὰ τὴν συμπλήρωσιν τῶν παρ' Ἑρμο-
618 γένει καὶ ἕτερά τινα βουληθῶμεν προσθεῖναι, ἰδίως ταῦτα συνθέντες συγχύσεως ἀμέτοχον τὴν καθ' ἡμᾶς πραγματείαν τηρήσομεν· ὁ γὰρ Ἑρμογένης τέσσαρσι τόμοις στοιχειώσας τὸ περὶ εὑρέσεως τῷ μὲν πρώτῳ τόμῳ διεξῆλθε περὶ τῶν προοιμίων, ἐν δὲ τῷ δευτέρῳ περὶ προκαταστάσεως, εἶτα πλάτους διηγήσεως καὶ μήκους, καθὼς ἐν ἑτέροις ὑπομνηματίζοντες τὴν πραγματείαν

Digitized by Google

διεξοδικῶς ἀπεφήναμεν· ἐν δὲ τῷ τρίτῳ τόμῳ περὶ κατασκευῆς καὶ λύσεων, εἶτα περὶ κεφαλαίων, ἐπιχειρημάτων τε καὶ εἰδῶν τῶν τῆς μεταλήψεως, ἐργασίας τε ἐπιχειρημάτων καὶ ἐνθυμημάτων, ἀλλὰ μὴν καὶ περὶ τοῦ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους καὶ τάξεως [καὶ] ἐπιχειρημάτων, ὅρου τε καὶ διασκευῆς· ταῦτα τοίνυν ὁ τεχνικὸς ἐν τοῖς τρισὶ τόμοις διελθὼν ἄριστά τε καὶ σοφώτατα, καὶ ὡς οὐκ ἐνεδέχετο ἄλλως πως γενέσθαι τούτων κρείσσω καὶ βελτίονα, ἥκει ἐπὶ τῶν τοῦ λόγου σχημάτων ἕκαστον τῶν προεκτεθέντων ποίῳ σχήματι ἐκφέρεσθαι διδάσκων. ἡμεῖς τοίνυν οὐ σκοπὸν ἐθέμεθα εἰπεῖν, ποίῳ μὲν σχήματι δεῖ ἐκφέρειν τὰ προοίμια, ποίῳ δὲ τὰ διηγήματα, καὶ ἕκαστον τῶν ῥηθέντων ἐν τοῖς τρισὶ τόμοις, ἀλλὰ πόσων σχημάτων τοῦ λόγου μέμνηται, καὶ τῶν τῆς διανοίας πόσων· καὶ τοῖς φιλοπονοῦσιν οὐ χαλεπὸν ἐφαρμόσαι ἕκαστον αὐτῶν τῷ προεκτιθεμένῳ ἐν τοῖς τρισὶ τόμοις.

www.libtool.com.cn

ΠΕΡΙ ΣΤΡΟΓΓΥΛΟΥ.

Ἄρξομαι δὲ ἀπὸ στρογγύλου σχήματος, ὅπερ καὶ ὁ τεχνικὸς πρῶτον ἔθηκεν ὡς ἐπιτήδειον τοῖς ἐνθυμήμασιν· πλείονα γὰρ δόξαν θριμύτητος ἀποφέρεται τὸ ἐνθύμημα στρογγύλως ἐκφερόμενον, ἢ εἴ τις αὐτὸ ἐξαπλῶσαι θελήσει, οἷον ὥσπερ γὰρ εἴ τις ἐκείνων ἑάλω, σὺ τάδε οὐκ ἂν ἔγραψας· οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει· διάνοια γάρ ἐστι τὸ ἐνθύμημα ἐκ μάχης λεγομένη ἐν ἀκολουθίας σχήματι, διὰ τοῦτο δεῖ στρογγύλως ἐκφέρεσθαι, ὡς συλλογισμὸς ῥητορικὸς ὑπάρχων. διαλύσομεν δὲ τὸ στρογγύλον εἰς σαφήνειαν τοῦ στρογγυλίσματος· μὴ ἐπιτρέπετε τοῖς τὰ παράνομα γράφουσιν· εἴπερ γὰρ ἐκωλύοντο, οὐκ ἂν ὁ νῦν παρανομήσας τοιαῦτα γράφειν ἐτόλμησεν, ἀλλ᾽ οὐδὲ

ἐν ὑστέροις ἄλλος γράψει τούτου δικαίως ἐν τῷ παραυτίκα ἀλόντος.

ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ ΣΧΗΜΑΤΟΣ.

www.libtool.com.cn

2 Ἀντίθετόν σχῆμά ἐστι τὸ διπλασιάζον πάντα τὸν ὑποκείμενον ὅρον τοῦτον τὸν τρόπον, εἴ τις τοῦ κατὰ φύσιν τὸ ἐναντίον λαμβάνων καταβαίνοι εἰς τὸ ὑποκείμενον, οἷον ἡμέρας οὔσης λέγομεν οὕτως· ἐπειδὴ ἡμέρα ἐστί, δεῖ ποιῆσαι τόδε. τοῦτο τὸ ζητούμενον, τὸ δὲ ἀντίθετον αὐτοῦ, εἰ μὴ ἦν ἡμέρα, ἀλλὰ νύξ, ἴσως ἐχρῆν μὴ ποιεῖν· ἐπεὶ δέ ἐστιν ἡμέρα, (καταβαίνει γὰρ εἰς τὸ ἴδιον) ποιῆσαι προσῆκε. παράδειγμα μετ' εὐφραδείας πολέμου ὄντος· εἰ μὲν ἦν ἐν ἡσυχίᾳ τὰ καθεστηκότα, καὶ ἀπραγμοσύνη κατεῖχεν ἡμᾶς, καὶ μήτε ἄτοπον μήτε φοβερὸν ἐφειστήκει παρὰ τῶν πολεμίων μηδέν, ἀδείας δὲ ἦμεν ἐπειλημμένοι καὶ ἐξουσίας τοῦ πράττειν, ὅσα βουλομένοις ἡμῖν ἐτύγχανεν, ἔδει φυλάττειν τὰ καθεστηκότα καὶ παρακινεῖν μηδὲ ἕν, μηδὲ καινοτομεῖν, ἀλλὰ τοῖς ἀρχαίοις ἐμμένειν ἔθεσί τε καὶ ψηφίσμασι καὶ νόμοις· ἐπειδὴ δὲ πόλεμος κεκίνηται καὶ πλησίον οἱ πολέμιοι, καὶ ἐφέστηκε μὲν τὰ δεινὰ καὶ ταραχὴ τοσαύτη τῶν πραγμάτων, τίνος ἕνεκεν οὐ καινοτομήσομεν, αὐτοῦ τοῦ πολέμου ταύτην τὴν φύσιν ἔχοντος ἀφ' ἑαυτοῦ τεχνᾶσθαι τὰ πολλά, καὶ τὸν τῶν ἀνθρώπων μεταποιεῖν ἐπὶ καινότερον βίον; ἄλλο παράδειγμα Σωπάτρου· εἰ μὲν οὖν ὄνησις ἀγωνιζομένοις ἀκολουθεῖ, καλὸν ἀπολαύειν τῆς τύχης, εἰ δὲ Τρωσίν ἐστι τὸ νικᾶν ἐκ Διός, ἡμῖν δὲ πληροῦν ἀκοντίων τὴν γῆν μόνον, ἀναχωρῆσαι συμφέρον, νεκρὸν λαβοῦσι τὸν Πάτροκλον.

3 Σχῆμα περιοδικόν, ὃ συνίσταται ἐκ προτάσεως καὶ ἀποδόσεως, οἷον ὃ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ

Digitized by Google

πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. καὶ πάλιν, ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλέον ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν ἑαυτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσιν νομίζεται· ὑμεῖς δέ, ὦ Ἀθηναῖοι, ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. αὕτη δὲ μακρὰ καὶ τετράκωλός ἐστιν ἐκ δύο προτάσεων καὶ δύο ἀποδόσεων.

www.libool.com.cn

ΠΕΡΙ ΚΩΛΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Κῶλόν ἐστιν σχῆμα λόγου τὸ ὑπὲρ τὰς ἑπτὰ καὶ ὀκτὼ καὶ δέκα συλλαβὰς μέχρι τοῦ ἡρωϊκοῦ προχωροῦν, ἀπαρτίζον διάνοιαν, οἷον ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστείδην τύραννον.

ΠΕΡΙ ΚΟΜΜΑΤΙΚΟΥ.

Κόμμα δέ ἐστιν τὸ ἀπὸ τεττάρων καὶ πέντε συλλαβῶν καὶ μέχρι ἓξ ἀπαρτίζον διάνοιαν, οἷον καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, καὶ παρὰ τῷ θεολόγῳ, πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται, πάλιν Αἴγυπτος σκότῳ κολάζεται. γίνεται δὲ τὸ κόμμα καὶ μέχρι δύο συλλαβῶν, ἡνίκα ἡ διάνοια ἀπαρτίζεται, οἷον δεῖ δὲ εἰδέναι ὡς τὸ μέτρον τῶν συλλαβῶν περινενοημένον ὀφείλει εἶναι, ἐπεὶ οὔτε ὁ ὅρος σώζεται τοῦ κώλου οὔτε τοῦ κόμματος.

ΠΕΡΙ ΣΧΟΙΝΟΤΕΝΟΥΣ.

Σχοινοτενὲς σχῆμά ἐστιν τὸ ὑπὲρ τὸ ἡρωϊκὸν μέτρον, ὅπερ χρήσιμον ἐν προοιμίοις καὶ ταῖς τῶν προοιμίων περιβολαῖς, οὗ παράδειγμα ὁ Ἑρμογένης οὐ τέθεικεν,

Digitized by Google

ἡμεῖς δὲ εἰλήφαμεν ἐκ τοῦ Θουκυδίδου, ὅπερ ἐστὶν καὶ μεγαλοπρεπές, ὡς ἐκ περιαγωγῆς συντεθειμένον, οἷον ὁ γὰρ Ἀχελῷος ποταμός, ῥέων ἐκ τοῦ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγριάνων καὶ Ἀμφιλόχων ἄνωθεν παρὰ Στράτον πόλιν εἰς θάλασσαν ἔξεισιν παρ' Οἰνιάδας.

www.libtool.com.cn

ΠΕΡΙ ΠΝΕΥΜΑΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

7 Πνευματικὰ σχήματά δύο εἰσίν, ἢ γὰρ ἓν νόημα λαβόντες καὶ τοῦτο ἐργαζόμενοι τῇ ἑρμηνείᾳ πλείοσι κώλοις, ὡς ἔφην, διαρκοῦμεν τὸ ἓν ἐπεκτείνοντες, ὡς τὸ ὅτε γὰρ περιῆν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτόν, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε δὴ τότε πάντες, ἐφ' οὓς ταῦτα παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος οὗτος λόγος οὐ πρὸς ἐμέ. ἢ ὅταν πολλὰ πράγματα ἀθρόως ἔχοντες εἰπεῖν καθ' ἕκαστον κῶλον πρᾶγμα ἀπαρτίζωμεν, οἷον ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ καταλαμ-
622 βάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, δι' ὅλου τοῦτο τὸ πνεῦμα συναπαρτίζει τῷ πνεύματι καὶ κῶλον.

ΠΕΡΙ ΑΚΜΑΙΟΥ ΣΧΗΜΑΤΟΣ.

8 Ἀκμαῖος λόγος ἐστὶν σχῆμα λόγου καὶ διανοίας, καὶ σχῆμα μὲν λόγου μεταβολὴ τῶν κατὰ πνεῦμα σχημάτων, οἷον ὅτε γὰρ περιῆν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλούς, τινὰς δὲ καὶ τῶν ἄλλων κατε-

Digitized by Google

στρέφετο, καὶ τὰ λοιπά. ἄλλο παράδειγμα Σωπάτρου ἐν ταῖς μεταποιήσεσιν· ἐκτετραγῴδηται τῶν Ἑλλήνων διὰ τὴν τοῦ Διὸς ἐπικουρίαν ἡ τύχη, καὶ τὰ δρώμενα τῆς ῥοπῆς παρέχει τὴν αἴσθησιν· νεκρὸς κείμενος Πάτροκλος, πολέμιοι τὴν δεξιὰν πρακτικώτεροι, πᾶσα πάντων Ἑλλήνων ἀσθενεστέρα βολή· μαθέτω τοίνυν Ἀχιλλεὺς πρῶτον κείμενον Πάτροκλον, ἀσπασώμεθα μετὰ τὴν μάχην τοὺς Ἕλληνας, ἂν πολεμίας χειρὸς τὸν νεκρὸν ἀναστήσωμεν, καὶ δυνηθῶμεν ὑπὸ τῆς ἀχλύος ἰδεῖν τὸν Ἀχιλλεῖ συντεῦξόμενον. τοῦτο δὲ τὸ παράδειγμα πλέον μετέχει τῆς ἐν νοήμασι σεμνότητος ἢ τῆς ἐν λόγοις.

www.libtool.com.cn

ΠΕΡΙ ΚΑΤΑΦΟΡΑΣ.

Καταφορὰ δέ ἐστιν ἡ ἐν κατηγορίᾳ τάσις, 9
τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας 16
Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων;

ΠΕΡΙ ΔΙΛΗΜΜΑΤΩΝ.

Διλήμματόν ἐστιν σχῆμα λόγου δριμύτητος δόξαν 10
ἔχον καὶ ἀλήθειαν, οἷον παρῆς τούτοις λεγομένοις καὶ συνευφραίνου, ἢ οὐ παρῆς· εἰ μὲν παρῆς, πῶς κατηγορεῖς τούτων, οἷς συνευφραίνου, εἰ δὲ οὐ παρῆς, δίκης ἄξιος εἶ τοῖς ἀγαθοῖς τῆς πόλεως μὴ συμπαρών. 25

ΠΕΡΙ ΠΑΡΗΧΗΣΕΩΣ.

Παρήχησίς ἐστιν κάλλος ὁμοίων ὀνομάτων ἐν διαφόρῳ γνώσει ταὐτὸν ἠχούντων, ὡς τὸ
ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἷος ἀλᾶτο
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων. 30

Digitized by Google

καὶ παρὰ Θουκυδίδῃ, καὶ μὴν τότε Αἴγυπτος ὑπὸ βασιλεῖ ἐγένετο, πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ καὶ διὰ μέγεθος τοῦ ἕλους οὐκ ἠδύνατο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ Ἕλειοι.

www.libtool.com.cn

ΠΕΡΙ ΚΥΚΛΟΥ.

12 Κύκλος γίνεται ὅταν ἀφ' οὗ ἄρξηταί τις ὀνόματος ἢ ῥήματος, εἰς τὸ αὐτὸ καταλήξῃ πάλιν μήτε πτῶσιν ἀλλάξας μήτε σχῆμα μήτε χρόνον μήτε ἀριθμὸν μήτε ἄλλο τι, οἷον σοὶ γὰρ ἦν κλέπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι. λέγεται δὲ καὶ περιοδικῶς καὶ διηγηματικῶς, ἐκ τοῦ τῆς παραπρεσβείας ἦν ἡμῖν πόλεμος πρὸς Φίλιππον, ἦν. καὶ πάλιν, δέδοικα μέν, ὦ Ἀθηναῖοι, δέδοικα, καὶ πάλιν, οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ. καὶ πάλιν, οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, οὔ.

ΠΕΡΙ ΕΠΙΦΩΝΗΜΑΤΟΣ.

13 Ἐπιφώνημά ἐστι σχῆμα λόγου ἐπὶ τῷ πράγματι λεγόμενον ἐν τέλει τοῦ λόγου, παράδοξόν τι ἐμφαῖνον, ἀλλὰ μὴ πάντη ξένον τῶν προειρημένων, καὶ τὸ μὲν
624 παρ' Ἑρμογένει Ὁμηρικὸν πλάσμα ἐστίν· οὐ γὰρ οὕτως παρ' Ὁμήρῳ πέπλεκται, ὡς πλαστικώτερον ἐν τῷ ὑπομνήματι τῷ περὶ εὑρέσεως δεδηλώκαμεν· ὅμως οὖν κείσθω παρ' ἡμῶν διὰ τὸ μὴ ὅμοιον αὐτῷ κατὰ πάντα ῥᾳδίως εὑρίσκεσθαι, οἷον

σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς
καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων·

καὶ

σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον.

μέχρι τούτου ἡ διατύπωσις. εἶτα τὸ ἐπιφώνημα,

Digitized by Google

ὀρώρει δ' οὐρανόθεν νύξ.

ἔστιν καὶ ἄλλο δεύτερον εἶδος ἐπιφωνήματος, ὅταν τις διὰ πολλῶν κώλων πληρώσας τὴν διατύπωσιν ἐν τῷ τέλει θῇ κῶλον ἓν τὴν δύναμιν ἐμφαῖνον· τῆς ὅλης διατυπώσεως, ὡς ἐν ἀρχῇ τοῦ π Ἰλιάδος Ὁμήρου ἐνέφηνεν ἐπὶ τοῦ Αἴαντος ὁ ποιητής· διασκευάσας γὰρ τὰ τῆς τοῦ Αἴαντος βίας ὑπὸ τῶν Τρώων αὐτῷ γεγενημένα λίαν ἐμφανῶς, ὡς θαυμάζεσθαι τὸ χωρίον πλεῖον ζωγραφίας, καὶ δείξας τὰ πεπραγμένα ἐπὶ τέλει τέθεικε τὸ ἐπιφώνημα, ἐν ἑνὶ κώλῳ πάντα παλιλλογήσας, οἷον

Αἴας δ' οὐκ ἔτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι
δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοὶ
βάλλοντες,

ἕως τὸ οὐδέπη ἀμπνεῦσαι εἶχεν· εἶτα τὸ ἐπιφώνημα,

πάντη δὲ κακὸν κακῷ ἐστήρικτο·

κόσμος γάρ ἐστιν τοῦ λόγου τὸ ἐπιφώνημα ἐοικός, ὥς τις τῶν σοφῶν ἔφη, τοῖς τῶν πλουσίων γείσοις καὶ πορφύραις πλατείαις.

ΠΕΡΙ ΤΡΙΤΟΥ ΕΙΔΟΥΣ ΤΩΝ ΕΠΙΦΩΝΗΜΑΤΩΝ.

Τρίτον εἶδος ἐπιφωνήματος, τὰ ἀπὸ τῶν τρόπων ἑλκόμενα λοιπὸν εἰς τὸ πρᾶγμα, τολμηρῶς ἡμῶν βιαζομένων τὰ ἐκ τοῦ ἀλλοτρίου πράγματος εἰς τὸ ἡμέτερον μεταφέρειν, τὸ δὲ ἀσφαλὲς ἐχόντων διὰ τὸ καὶ εἰς τὴν παραβολὴν αὐτὰ προειρηκέναι, οἷον ἐν χειμῶνι καὶ νῦν ἐστι τὰ τῆς πόλεως πράγματα καὶ κλύδωνι, καὶ σαλεύεται τὰ καθεστηκότα καὶ δεῖται τοῦ κυβερνήσοντος αὐτά.

ΠΕΡΙ ΣΕΜΝΟΥ ΛΟΓΟΥ.

Σεμνὸς λόγος ἐστίν, ὅταν αἰσχρὸς ὢν ὁ λόγος ὑπὸ τοῦ ῥήτορος σεμνῶς ἐξαγγέλληται, ὄνομα ἀντ' ὀνόματος ἀμείβοντος, ὡς Μένανδρος πυθόμενον κόρης τινὸς διεφθαρμένης σεμνῶς ἐξηγήσατο· φησὶ γάρ· Διονυσίων

ἦν πομπή, ὁ δέ με ἠκολούθησε μέχρι τοῦ πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω με. ἢ οὐδ' ὅλως μέμνηται τοῦ πράγματος, ἀλλὰ τῶν πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτό, ὡς ἐν τῇ λ' τῆς Ὀδυσσείας,

λῦσε δὲ παρθενίην ζωννην, ἐν δ' ὕπνον ἔχευεν,
ἣ δ' ὑποκυσσαμένη Πελίην τέκε καὶ Νηλῆα.

www.libtool.com.cn

ΠΕΡΙ ΚΑΚΟΖΗΛΟΥ.

Κακόζηλον σχῆμά ἐστιν ἐξαγγελλόμενον ἢ κατὰ τὸ ἀδύνατον ἢ ἀνακόλουθον, ἢ κατὰ τὸ αἰσχρόν, ἢ κατὰ τὸ ἀσεβές, ἢ κατὰ τὸ ἄδικον, ἢ κατὰ τὸ φύσει πολέμιον, καθ' οὓς τρόπους ἀνασκευάζονται τὰ διηγήματα, ὡς ἄπιστα, ὡς παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος,

ἦκε δ' ἀπορρήξας κεφαλὴν ὄρεος μεγάλοιο.

626 ὅπερ προεθεράπευσεν, ἵνα μὴ γυμνὸν ὂν ἐλεγχθῇ κακόζηλον.

ΠΕΡΙ ΣΧΗΜΑΤΙΣΜΟΥ.

Ἐσχηματισμένος λόγος, ὅταν τὸ ἐναντίον οὗ λέγομεν κατασκευάζωμεν, ἢ ὅταν μετὰ τοῦ ἐναντίου καὶ ἄλλο τι περάνῃ ὁ λόγος, ἢ ὅταν τι λέγειν μὴ δυνάμενοι διὰ τὸ κεκωλύσθαι καὶ παρρησίαν μὴ ἔχειν ἐπὶ σχήματι ἄλλης ἀξιώσεως ἐμφαίνωμεν κατὰ τὴν σύνθεσιν τοῦ λόγου, καὶ τὸ οὐκ ἐξὸν εἰρῆσθαι, ὡς εἶναί τε νοῆσαι τοῖς ἀκούουσι καὶ μὴ ἐπιλήψιμον εἶναι τῷ λέγοντι. τοῦ μὲν πρώτου καὶ δευτέρου παράδειγμα· ἐκδιδόμενος ὁ Περικλῆς τοῖς Λακεδαιμονίοις παρὰ Ἀθηναίων φησὶ σχηματιζόμενος· οὐ δεῖ ἐχθροῖς ἐπιτάττουσι πείθεσθαι· δεινὸν γὰρ εἶναι τὸ πρᾶγμα καὶ ἠλίθιον, εἴ τις χαριεῖται κελεύουσιν ἐχθροῖς· φίλοις γὰρ ἐπιτάττουσι δεῖ πείθεσθαι καὶ οὐχὶ πολεμίοις, καὶ ὅτι οὐδὲ οἱ πατέρες ἡμῶν ὑπήκουσαν μηδενί, μήτε Ξέρξῃ, μήτε Μαρδονίῳ, μήτε ἄλλῳ τινί, καὶ ὅτι μηδὲ ἡμεῖς μήτε Λακεδαιμονίοις πολλὰ ἐπι-

Digitized by Google

τάττουσι περὶ Ποτιδαιατῶν καὶ περὶ Αἰγινητῶν καὶ Μεγαρέων.

Ἄλλως. Ἄλλος μὲν οὖν ἂν εἰπέ τις μὴ πέμπεσθαι κελεύων αὐτὸν Λακεδαιμονίοις, ὡς οὐ χρὴ πολεμίοις ἐπιτάττουσι πείθεσθαι· δεινὸν γὰρ εἶναι τὸ πρᾶγμα καὶ ἠλίθιον, καὶ μήτε τοὺς πατέρας μήτε ἡμᾶς ποτε τοιοῦτον πεπραχέναι.

Ἄλλως. Ἐγὼ μέν, εἰ μὲν ἄκοντά μέ τις ἠξίου βιαζόμενος ἀπελθεῖν πρὸς Λακεδαιμονίους, εἶπον ἄν, ὡς οὐ δεῖ λόγοις ἐχθρῶν πείθεσθαι· τὸ γὰρ ἐκείνοις λυσιτελὲς ἡμῖν οὐ καθέστηκε σύμφορον, ἐπεὶ δὲ ἐγὼ τὸ δοκοῦν ὑμῖν προθύμως ὑφίσταμαι, ὑμῖν καταλείπω μὴ 627 κατολιγωρῆσαι τοῦ συμφέροντος.

ΠΑΡΑΔΕΙΓΜΑ ΤΟΥ ΤΡΙΤΟΥ, ΗΤΟΙ ΤΟΥ ΚΑΤ' ΕΜΦΑΣΙΝ.

Φήμη ἦν ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί· ἔγκυος ἐγένετο ἡ γυνή, ἔχρησεν ὁ θεὸς τὸ γεννηθησόμενον φονέα ἔσεσθαι τοῦ πατρός. οὐ βούλεται ἐκτιθέναι τὸ γεννηθὲν ὁ παῖς, καὶ ὑπὸ τοῦ πατρὸς ἀποκηρύττεται. λέγει τοίνυν ὁ υἱὸς πρὸς τὸν πατέρα· σὸν εἶναι λόγισαι, πάτερ, τὸ παιδίον, οὐκ ἐμόν, ἐκτίθης ὃ ἐγέννησας· ῥίπτεις παιδίον, οὗ γέγονας πατήρ. τῆς μὲν οὖν ἀποκηρύξεως ταύτης ἔλαττον ἐμοὶ μέλει, λυποῦμαι δὲ ὑπὸ τοῦ πατρός, εἰ μετὰ τοσαύτην εὐθηνίαν γένους μόνῃ συνέσται τῇ θυγατρὶ καὶ συζήσεται. εὐπρεπῆ δὲ τὸν λόγον ἐποίησε τὸ συνέσται διὰ τὸ διττὸν εἶναι τὴν σημασίαν ἐπί τε τῆς συνουσίας καὶ τοῦ ἁπλῶς συνοικεῖν.

ΠΕΡΙ ΣΥΓΚΡΙΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Ὅτι ὁ Ἑρμογένης οὐ δέδωκε μελέτην παραδειγματικήν, διὸ ἡμεῖς ἐκ τοῦ Σωπάτρου παρειλήφαμεν. τοῦ Διὸς βοηθοῦντος τοῖς Τρωσὶ καὶ ἧττον μνηστευομένου

τοῖς Ἕλλησιν, οὐκ οἶδα τῶν ὑπαρχόντων κακῶν τυγχάνειν τι χαλεπώτερον· δεινὸν ἀποτυγχάνειν βάλλοντας Ἕλληνας, ἀλλὰ τὸ τραυματίας γενέσθαι χαλεπώτερον· λυπηρὸν ὑπ' ἀριστέως τιτρώσκεσθαι, ἀλλ' ἔτι δεινότερον τὸ καὶ τοὺς ἀσθενεῖς καθ' ἡμῶν ἐντρυφᾶν· ἀνιαρὸν ἐπαίρεσθαι τῇ νίκῃ τοῦ βαρβάρου, καὶ τί δ' ἂν ἡμῖν γένοιτο δυσχερέστερον τοῦ κρηπῖδα τοῖς ἐχθροῖς εἶναι τῶν τροπαίων τὸν κρείττονα. ἀναλαμβάνειν τὸν Πάτροκλον τῶν συμβάντων ἡμῖν αἱρετώτερον, προτιμότερον τοῦ μάτην πονεῖν τὸ ἐν καιρῷ σῶσαι τὸ στράτευμα.

18 Ἰστέον ὡς μέλλοντες περὶ Ἑρμογένους ἰδεῶν τὰ σχήματα τοῦ λόγου διεξιέναι κατὰ τάξιν αὐτὰ ἐκθησόμεθα, ὡς ἂν καὶ τὰ σχήματα δοίημεν καὶ τὰς ιζ' ἰδέας καὶ διὰ ποίων σχημάτων ἐξάγονται.

ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΟΡΘΟΤΗΤΑ ΣΧΗΜΑΤΟΣ.

Σχῆμά ἐστι τὸ κατ' ὀρθότητα τὸ δι' εὐθείας προαγόμενον, οἷον Θουκυδίδης Ἀθηναῖος συνέγραψε τὸν πόλεμον τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων ὡς ἐπολέμησαν ἑκάτεροι, καὶ Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττου, καὶ ἑξῆς. καθαρὸν δὲ τῇ ἐπιμονῇ τοῦτο,

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι, Διὰ δ' οὐκ ἔχε νήδυμος ὕπνος.

ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΑΘΡΟΙΣΜΑ ΣΧΗΜΑΤΟΣ ΟΠΕΡ ΜΕΡΙΖΕΤΑΙ ΕΙΣ ΜΕΡΙΣΜΟΝ ΚΑΙ ΑΠΑΡΙΘΜΗΣΙΝ.

19 Μερισμὸς τοίνυν ἐστὶν ὅταν προταγέντος τοῦ μὲν ἐπάγηται ὁ δέ, οἷον τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεούς, τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ. καὶ πάλιν, ὑμᾶς μὲν εἰσπράττων τοὺς τριηράρχους, ἐκείνοις δὲ εἶναι περὶ αὐτῶν εἰς τοὺς ἔχοντας ἀναφοράν· ὡς καὶ Ὅμηρος,

Digitized by Google

καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων,
πᾶν δ' εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην.
καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος ποτὶ γαίῃ
ἀγκλίνας· πρόσθεν δὲ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι. 628

www.libtool.com.cn

ΠΕΡΙ ΑΠΑΡΙΘΜΗΣΕΩΣ. 5

Ἀπαρίθμησίς ἐστιν, ὅταν εἰπὼν τὴν ποσότητα ἐπάγῃ τὰ κατὰ μέρος, οἷον

δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων·
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηΐς Ἀθήνη·

καὶ πάλιν, 10

ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες·
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΟΤΑΝ ΤΙΣ ΕΑΥΤΟΝ ΕΡΩΤΑι.

Ἐρωτᾷ τις ἑαυτόν, ἵνα τὸν λόγον εὐκρινῇ ποιήσῃ· 20
τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἑνὸς μέν, ὦ Ἀθη- 15
ναῖοι, μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ἡμῶν,
ἐπειδάν τι λέγοντος ἀκούῃ μου, θαυμάζῃ· καὶ
πάλιν, ἦν τότε, ἦν, ὦ Ἀθηναῖοι, ἐν ταῖς τῶν
πολλῶν διανοίαις ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ
Περσῶν ἐκράτησε πλούτου καὶ ἐλευθέραν 20
ἤγαγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε
πεζῆς ἡττᾶτο· νῦν δ' ἀπόλωλε πάντα καὶ λε-
λύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν
Ἑλλήνων πράγματα· τί οὖν ἦν τοῦτο; τῶν
παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων ἢ καὶ δια- 25
φθείρειν τὴν Ἑλλάδα.

ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ ΤΗΣ ΕΠΟΜΕΝΗΣ ΤΗι ΕΡΩΤΗΣΕΙ.

Πρῶτον μὲν οὖν καὶ μάλιστα, οὗπερ ἕνεκα 21
ταῦτα διεξῆλθον, δευτέρου δὲ τίνος; καὶ οὐ- 30
δὲν ἐλάττονος, ἢ τούτου.

Digitized by Google

630 ΠΕΡΙ ΕΠΙΚΡΙΣΕΩΣ.

22 Ἐπίκρισίς ἐστιν τοῦ λέγοντος περὶ τῶν προρρηθέντων· οὗτοι πάντες οἱ νόμοι κεῖνται πολὺν ἤδη χρόνον, ὦ ἄνδρες, καὶ πεῖραν αὐτῶν πολλάκις δεδώκασιν, ὅτι συμφέροντες ἡμῖν εἰσι καὶ οὐδεὶς πώποτε ἀντεῖπε, μὴ οὐ καλῶς ἔχειν αὐτούς· εἰκότως. τὸ εἰκότως ἐστὶν ἡ ἐπίκρισις. καὶ ἐκ τοῦ κατὰ Μειδίου, ἐπειδὰν χρηματίσωσιν οἱ πρόεδροι περὶ ὧν διώκηκεν ὁ ἄρχων, χρηματίζειν κελεύει καὶ περὶ ὧν ἄν τις ἠδικηκὼς ᾖ τι ἐπὶ τὴν ἑορτήν, ἢ παρανενομηκώς· εἶτα ἡ ἐπίκρισις, καλῶς, ὦ θεοί, καὶ συμφερόντως ἔχων ὁ νόμος, ὡς τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ.

ΠΕΡΙ ΤΟΥ ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΓΝΩΜΗΝ ΑΝΑΦΕΡΕΙΝ ΤΙ ΤΩΝ ΡΗΘΗΣΟΜΕΝΩΝ.

23 Ἐκ τῆς ἐπιστολῆς Φιλίππου, καὶ λογίζεσθε, ὡς ἄλογόν ἐστιν Ἀθηναίους Θασίους μὲν καὶ Μαρωνείτας ἀναγκάσαι περὶ Στρύμης διακριθῆναι λόγοις, αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ ὧν ἀμφισβητοῦσι τὸν τρόπον τοῦτον, ἄλλως τε καὶ γινώσκοντας, ὅτι νικηθέντες μὲν οὐδὲν ἀποβαλεῖτε, κρατήσαντες δὲ λήψεσθε τὰ νῦν ὑφ' ἡμῶν ὄντα. πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι. καὶ παρὰ Θουκυδίδῃ, Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων. καὶ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, ἄξιον ἀποδέχεσθαι, ὦ Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπει-
631 σμένοι ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὕτως τοῖς
31 δημοκρατουμένοις πρέπειν, ὡς περὶ τὸ δίκαιον σπουδάζειν.

www.libtool.com.cn

Digitized by Google

ΠΕΡΙ ΠΡΟΣΤΑΚΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Τῆς Ἀριστογείτονος κρίσεως ἀναμνησθέν- 24
τες ἐγκαλύψασθε. καὶ ὁ Νέστωρ,

κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον.

καὶ ἡ Ἀθήνη, 5

ἀλλ' ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει·

καὶ ἄλλο,

δαιμόνι' ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΡΩΤΗΣΙΝ ΕΛΕΓΚΤΙΚΟΥ.

Εἶτα Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προ- 25
ορᾶν, ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτο 11
οὐχὶ φυλάξεσθε. ἄλλως, οὐχ ὁρᾶτε ὡς ἐναργὲς
καὶ σαφὲς τούτων παράδειγμα οἱ ταλαίπωροι
γεγόνασιν Ὀλύνθιοι. καὶ ὁ ποιητής,

οὕτω δὴ οἱκόνδε φίλην εἰς πατρίδα γαῖαν 15

φεύξεσθ' ἐν νήεσσιν ἕως τῆς πατρίδος αἴης.

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΑΠΟΣΤΡΟΦΗΝ ΣΧΗΜΑΤΟΣ.

Ἀλλὰ τί ἐχρῆν, Αἰσχίνη, ποιεῖν τὴν πόλιν, 26
ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν
ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; πότερον 20
ἐχρῆν, Αἰσχίνη, αὐτὴν τὸ φρόνημα ἀφεῖσαν
καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς ἐν τῇ Θετταλῶν καὶ
Δολόπων τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν 632
Ἑλλήνων ἀρχὴν καὶ τὰ τῶν προγόνων καλὰ
καὶ δίκαια ἀναιρεῖν. καὶ τὸ 25

Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων,

πῶς γάρ τοι δώσουσι γέρας;

καὶ πάλιν,

ὦ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον.

πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν; 30

Digitized by Google

ἀλλά σοι, ὦ μέγ ἀναιδές, ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς·

καὶ πλήρης αὐτοῦ ἡ ῥαψῳδία τοῦ τοιούτου σχήματος.

ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΡΩΤΗΣΙΝ ΣΧΗΜΑΤΟΣ.

πῶς τίς τοι πρόφρων ἔπεσι πείθηται Ἀχαιῶν;

καὶ πάλιν,

τίς δὲ σύ ἐσσι φέριστε καταθνητῶν ἀνθρώπων;

καὶ χωρὶς κλητικῆς,

τί δὲ λαὸν ἤγαγεν ἐνθάδ' ἀγείρας,

ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;

καὶ ὁ ῥήτωρ ἐκ τῆς ἐπιστολῆς Φιλίππου, τί δ' ἂν εἴποις περὶ Δημοσθένους, ὅς τῶν συμπρέσβεων κατηγορεῖ; καὶ κατὰ κόμμα, ποῦ ἅλες; ποῦ τράπεξαι; ποῦ σπονδαί; πότεροι οὖν τοὺς ἅλας παρέβαινον καὶ τὰς σπονδάς, Αἰσχίνης; οἱ προδιδόντες καὶ οἱ παραπρεσβεύοντες καὶ οἱ δωροδοκοῦντες ἢ οἱ κατηγοροῦντες; τοῦτο μετὰ ἀποστροφῆς ἔχει τὴν ἐρώτησιν.

ΠΕΡΙ ΤΟΥ ΔΕΙΚΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

27 Οὐ μὴν ἀλλ' ἔγωγε οἶμαί μοι προσήκειν ἀμφότερ' ὑμῖν ἀποδεῖξαι καὶ ὅτι ψεύσεται
633 ταῦτα ἐὰν λέγῃ, καὶ τὴν δικαίαν, ἥτις ἐστίν, ἀπολογίαν φεύξεται· ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, καὶ ὡς πέπρακται τὰ κατηγορημένα δεῖξαι ἢ ὡς πεπραγμένα τῇ πόλει συμφέρει, τούτων δὲ οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι. καὶ πάλιν, χρήματα οὗτοι μὲν ἔχουσιν ὑφ' ὑμῶν, ἐγὼ δὲ οὐκ ἠθέλησα λαβεῖν. ἄλλο περὶ Αἰσχίνου. οὑτοσὶ κατηγορεῖ

Digitized by Google

ταῦτ' ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέγονε, καὶ χρήματα εἰληφέναι φησὶν ἐμὲ αὐτὸς εἰληφώς. ἄλλως. βουλομένου μου τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δίς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δίς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς ἔχων μάρτυρας πολλοὺς ἀπαγορεύει, μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα εὐθύνας καὶ οὐκ ὄντα ὑπεύθυνον, καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον. καὶ ὁ ποιητής,

www.libtool.com.cn

οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν.
ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΑΝΑΙΡΕΣΕΩΣ.

Οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ, ἀλλὰ τὸν ἐμὸν τειχισμόν, ἐὰν βούλῃ σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ συμμάχους. οὐ γὰρ ῥητόρων οὐδὲ λόγων κρίσιν ὑμᾶς τήμερον, εἴπερ φρονεῖτε, προσήκειν ποιεῖν. καὶ ὁ ποιητής,

οὔ τι μοι αἴτιός ἐσσι, θεοί νύ μοι αἴτιοί εἰσι·

καὶ πάλιν,

οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

ΠΕΡΙ ΤΗΣ ΑΠΟΣΤΑΣΕΩΣ ΣΧΗΜΑΤΟΣ.

Αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τοῦτο τὸν πρότερον ἐπιστάντα πόλεμον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος. καὶ ἁπλῶς τὰ ἀσυνδέτως εἰσαγόμενα, Ὅμηρος·

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,
ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν.

ἄλλως,

Digitized by Google

ᾠχόμεθ' εἰς Θήβην ἱερὴν πόλιν Ἠετίωνος·
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε.

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΠΡΟΤΙΜΗΣΙΝ ΣΧΗΜΑΤΟΣ.

www.libtool.com.cn

Ὅπερ καταχρηστικῶς λέγεται κατὰ ἀπαρίθμησιν, οἷον, ἐγὼ δὲ ὑμῖν, ὦ Ἀθηναῖοι, βούλομαι πρῶτον μέν, περὶ ὧν Φίλιππος ἐπέσταλκε, περὶ τούτων διεξελθεῖν, ὕστερον δὲ περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν. καὶ πάλιν, κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πόλεις ποιούμενοι πᾶσιν, ὅσοις πράγματα πράττεται πρώτῳ μὲν πάντων καὶ πλείστῳ τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν, δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάττονι τούτου τῷ δύναμιν τὴν καταστρεψαμένην τοὺς ἐναντιουμένους αὐτοῖς, ἐν οἷς ἂν αἰτήσωσι χρόνοις παρεῖναι. καὶ πάλιν ἐν τῷ προοιμίῳ τῷ περὶ τοῦ στεφάνου, πρῶτον μέν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοιαύτην ὑπάρξαι μοι παρ' ὑμῖν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ' ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας. πάντων τούτων παράδειγμα· σκέψασθε παρ' ὑμῖν, ὦ δικασταί, καὶ λογίσασθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατε αὐτῷ, μετὰ ταῦτα τῶν χρόνων, ἐφ' ἅπασι δὲ τούτοις εἰ ἀδωροδοκήτως ἢ μὴ ταῦτα πάντα πέπρακται.

Digitized by Google

ΠΕΡΙ ΤΟΥ ΚΑΘ' ΥΠΟΘΕΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Ὅταν τὸ μὴ ὂν πλάττηται, οἷον εἰ μὲν γὰρ ἐν- 30
ταῦθα ἦν ἤδη τὰ πράγματα, Αἰσχίνη, ὥστε
μηδ' αἰσθανομένοις τοῖς Θηβαίοις πλέον
εἶναι μηδέν, τί οὐ γέγονε; καὶ πάλιν, εἰ μὲν 5
τοίνυν πᾶσι ψηφιούμεθα ταῦτα, λήσομεν,
ὡς ἔοικε, μισθοφόρων ἔργων ἀνθρώπων
ποιοῦντες τὴν ἑκάστου σωτηρίαν τούτων
δορυφοροῦντες. καὶ παρ' Ὁμήρῳ,

εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπεν· 10
ἄλλως,

εἶπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε.

ΠΕΡΙ ΠΛΑΓΙΑΣΜΟΥ.

Πολλῶν ὄντων καὶ μεγάλων ἃ τὴν ῥη- 31
τορικὴν ποιεῖ, ἀλλὰ τοῦτο ταχὺ περιέκοψε τὸν πλα- 15
γιασμὸν μεταβολὴν παθὸν τῆς γενικῆς πρὸς εὐθεῖαν.
ἄλλο κυριώτερον ἐν τῷ τῆς παραπρεσβείας, οὐκοῦν,
ὦ Ἀθηναῖοι, μενόντων μὲν οἴκοι καὶ οὐκ
ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν Λα- 20
κεδαιμονίων καὶ προησθημένων τὴν ἀπά-
την, οὐδενὸς ἄλλου παρόντος τῶν Ἀμ- 636
φικτυόνων, πλὴν Θετταλῶν καὶ Θηβαίων,
εὐφημοτάτων ἀνθρώπων, τούτοις παρα-
δοῦναι γέγραφε τὸ ἱερόν.

ΠΕΡΙ ΕΠΙΤΡΕΧΟΝΤΟΣ ΣΧΗΜΑΤΟΣ. 25

Ἐπιτρέχον σχῆμά ἐστι τὸ τὰ διεστηκότα συνάγειν 32
καὶ συνάπτειν ἕτερα ἑτέροις προειρημένοις. ἐκ τοῦ πα-
ραπρεσβείας, ἐπειδὴ γὰρ δωροδοκεῖν ἤρξαντό
τινες καὶ δι' ἀβελτερίαν οἱ πολλοί, μᾶλλον

www.libtool.com.cn

Digitized by Google

δὲ διὰ δυστυχίαν τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων.

ἄλλο ὑποκατιών, ἐπειδὴ οὕτως ταῦτα προήγετο καὶ τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δὲ ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις καὶ τριήρεσιν ἡμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι.

www.libtool.com.cn

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΥΠΟΣΤΑΣΕΩΣ.

33 Ὑπόστασίς ἐστι λόγου αὔξησις καὶ ἑρμηνεία κατὰ τὸ δεύτερον κόμμα ἢ κῶλον. ἐξήλεγξα τὸν Φίλιππον φανερῶς οὕτως ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν. καὶ πάλιν, οὕτως δὲ ἀθλίως διέκειτο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προϊόντος ῥῆξαι φωνὴν πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῆσαν οἱ πολέμιοι. ἐκ τῆς Φιλίππου ἐπιστολῆς, τέλος εἰς τοῦτο ἦλθεν παρανομίας, ὥστ' Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβὼν καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθεὶς ἀπε-
637 λύτρωσε ταλάντων ἐννέα. ἄλλο, Μεγαρέων γοῦν Ἀνθεμόκριτον ἀνελόντων εἰς τοῦτο ἐλήλυθεν ὁ δῆμος, ὥστε μυστηρίων μὲν εἴργειν αὐτούς, ὑπομνήματα δὲ τῆς ἀδικίας ἔστησαν ἀνδριάντα πρὸ τῶν πυλῶν.

29 ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΕΠΙΜΕΡΙΣΜΟΥ.

34 Ἐπιμεριζόμενόν ἐστι τὸ διὰ τοῦ μὲν καὶ τοῦ δὲ με-

Digitized by Google

ρίζον τὴν ἔννοιαν, οἷον ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ προλαβὼν κατέσχε Φίλιππος, ἐάσω· ἃ δὲ ἀφ' ἧς ἡμέρας καὶ ἐξῆς. γίνεται δὲ κατὰ συζυγίαν, ὅταν [δὲ] δύο κῶλα προηγούμενα δύο κῶλα ἔχωσιν ἑπόμενα, οἷον παρὰ μὲν γὰρ τὰς τῶν χορηγῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις γίνεται, παρὰ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία τῇ πόλει.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΑΡΣΙΝ ΚΑΙ ΘΕΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Ὅπερ συνίσταται ἐκ τῆς οὐ καὶ τῆς ἐναντίας αὐτῇ, καὶ μάλιστα τοῦ ἀλλὰ συνδέσμου, εἰ καὶ πλεῖστοι ἕτεροι εὑρίσκονται, οἷον οὐχ ὡς ἀποδωσομένου τὰ ὑμέτερα, ἀλλ' ὡς τῶν φυλαξάντων τοὺς ἀλλοτρίους. καὶ πάλιν ἕτερον, ὅπερ καὶ πλείστας ἄρσεις ἔχει, ἡμεῖς οὔτε χρήματα εἰσφέρειν βουλόμεθα, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν, οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις Διοπείθει δίδομεν, οὔτε ὅσα ἂν αὐτὸς αὐτῷ πορίσηται ἐπαινοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν τί μέλλει ποιεῖν· [ἄλλο] οὔτε ἐπειδήπερ οὕτως ἔχομεν, τὰ ἡμέτερα αὐτῶν πράττειν ἔχωμεν, ἀλλ' ἐν μὲν τοῖς λόγοις τοὺς τῆς πόλεως 638
λέγοντας ἄξια ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔρ- 26
γοις τοῖς ἐναντιουμένοις τούτοις συναγωνιζόμεθα. οὐ μόνον δεῖ ταῦτα γινώσκειν, οὔτε τοῖς ἔργοις ἐκείνων ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ καὶ τῇ διανοίᾳ. καὶ παρ' Ὁμήρῳ,

Digitized by Google

οὔτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.
ἄλλως,
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή·
ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται.
ἄλλο,
οὔτε βίας Τρώων ὑποδείδισαν, οὔτε ἰωκάς,
ἀλλ' ἔμενον νεφέλῃσιν.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΥ ΕΞ ΑΝΑΙΡΕΣΕΩΣ.

36 Ἐξ ἀναιρέσεώς ἐστι σχῆμα τὸ περὶ οὔστινας καὶ προφέρον νόημα, οἷον οὐ μόνον τάδε, ἀλλὰ καὶ τάδε· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἦκει τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω. καὶ ἐκ τοῦ περὶ τῆς ἀτελείας, οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον σῖτον ἔχειν πλεῖστον τοῦτο γίνεται, ἀλλὰ καὶ διὰ τὸ κύριον ὄντα τὸν Λεύκωνα τοῖς ἄγουσιν αὐτῷ σῖτον Ἀθήναζε ἀτέλειαν δεδωκέναι· καὶ ὑποκατιών, οὐ τοίνυν, ὦ Ἀθηναῖοι, μὴ Λεύκων ἀδικηθῇ, δεῖ σκοπεῖν μόνον, ᾧ φιλοτιμίας ἕνεκα ἡ περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας, ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ.

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΣΥΣΤΡΟΦΗΝ ΣΧΗΜΑΤΟΣ.

37 Τοῦτο δέ ἐστι τὸ συστρέφειν τὸν λόγον καὶ ἐπεμ-
639 βάλλειν μέσον τι παραλλαγὴν ἔχον προσώπου ἢ πτώσεως, οἷον ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. ἀρ-

Digitized by Google

ξάμενος γὰρ ἀπὸ τοῦ ἄρθρου εὐθείας, καὶ μὴ περαιώσας φθάσας τὸ ὄνομα ἢ τὴν μετοχήν, οὗ τὸ ἄρθρον, παρενεῖρεν ἄλλην πτῶσιν καὶ ἑτερά τινα, τό τε ἂν καὶ τὸ ἐγὼ ληφθείην, εἶθ' ὑπερέγραψεν εἰς τὴν εὐθεῖαν τοσαῦτα πράττων καὶ κατασκευαζόμενος. καὶ πάλιν, τοῦ τ' ἐκεῖνον ὅπερ καὶ ἀληθὲς ὑπάρχει φαῦλον φαίνεσθαι, τοῦτο καὶ ὑπερβατὸν λέγεται καὶ παρένθεσις.

www.libpool.com.cn

ΠΕΡΙ ΠΑΡΙΣΟΤ ΣΧΗΜΑΤΟΣ.

Ἰστέον ὡς τῆς ἐπιτετηδευμένης καὶ φανερᾶς παρισώσεως εἴδη εἰσὶ δ΄. ἢ γὰρ κατὰ τὴν συλλαβήν ἐστι παρίσωσις, πολλάκις δὲ οὐδὲ τελείας, ἢ κατὰ τέλειον μέρος λόγου, καὶ τούτων μέρος ἕκαστον ἢ κατὰ τὴν ἀρχὴν τοῦ λόγου, ἢ κατὰ τὸ τέλος. α΄. καὶ παρίσωσις μὲν γίνεται κατὰ συλλαβήν, ὡς τὸ προσήκει προθύμως. ἡ μὲν γὰρ πρώτη λέξις ἔχει τὴν πρός, ἡ δὲ δευτέρα τὴν πρό, καὶ Παυσανίου δὲ παυσαμένου. κατὰ δὲ τὸ τέλειον μέρος λόγου ἐπαναφορά,

εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω·
εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσιν.

εὖ δέ τις ἅρματος ἀμφὶς ἰδὼν πολέμοιο μεδέσθω,

καὶ μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον, μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας. καὶ προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ.

ἱδρώσει μέν τ' εὖ τελαμὼν ἀμφὶ στήθεσσιν
ἀσπίδος ἀμφιβρότης, περὶ δ' ἔγχει χεῖρα παρεῖται.

τοῦτο δὲ ὀνομάζεται κατὰ κῶλον ἐπαναφορά. κατὰ δὲ τὸ τέλος παρίσωσις ὡσαύτως, κατὰ μὲν συλλαβήν,

Digitized by Google

εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω. ὁμοιοτέλευτον· τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὐτῶν λαβεῖν. κατὰ δὲ τέλειον μέρος λόγου, ὅπερ καὶ ἀντιστροφὴ λέγεται οὕτως· ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δὲ ἀναλώσας λάθῃ, συναναλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. καὶ πάλιν, πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης. καὶ πάλιν, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει, πρὸς δὲ τὰς καταλλαγὰς ἃς ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους ἐναντίως ἔχει. καὶ κατὰ κόμμα, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν.

www.libtool.com.cn

ΠΕΡΙ ΠΑΡΙΣΩΣΕΩΣ ΚΑΘ' ΟΛΟΝ ΚΩΛΟΝ.

Τοῦτο δὲ γίνεται, ὅταν ἐξ ἴσων συλλαβῶν κῶλα γίνηται ἐννέα συλλαβῶν· τὸ λαβεῖν οὖν τὰ διδόμενα ἐννέα συλλαβῶν. ὁμολογῶν ἔννομον εἶναι, ἐννέα συλλαβῶν· τὸ χάριν τούτων ἀποδοῦναι, κόμμα, τῶν παρανόμων γράφῃ.

ΠΕΡΙ ΠΑΡΙΣΩΣΕΩΣ ΕΞ ΕΠΕΜΒΟΛΗΣ.

Ὅπερ ἐπιτηδεύεται ὁ Δημοσθένης διὰ τὸ ἀνύποπτον· γίνεται γὰρ ἐπεμβολή, ὅταν ἐπεμβάλλῃ ἐν τῷ μέσῳ τινὰ
641 ἀμβλύνοντα τὴν ἐνάργειαν τῆς παρισώσεως, οἷον τὸ γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι

Digitized by Google

πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι. εἶτα τὸ ἴσον τῷ ἐξ ἀρχῆς κώλῳ ἀπέδωκε τῷ ἐπαγαγεῖν, τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημα ἂν ἔγωγε θείην.

www.hbtool.com.cn

ΠΕΡΙ ΤΗΣ ΚΑΤ' ΕΝΑΛΛΑΓΗΝ ΠΑΡΙΣΩΣΕΩΣ.

Ὅπερ ἐπιτηδεύεται καὶ αὐτὸ Δημοσθένης· τοῦτο δὲ γίνεται, ὅταν ἀλλάττηται ὁ τόπος τῆς λέξεως τῆς ποιούσης τὴν παρίσωσιν, τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδικούντων τοιοῦτον ἐγένετο. τὸ κλέμμα γὰρ καὶ δωροδόκημα ὤφειλεν ἐν τέλει ταγῆναι, εἴγε παρίσωσιν ἐν ἀρχῇ ποιεῖν ἔμελλε λέγων οὕτως, Φιλίππου μὲν τὸ κλέμμα, τῶν ἀδικούντων δὲ δωροδόκημα, ἀλλὰ θέλων διαλαθεῖν ὡς μὴ ἐπιτηδεύων παρίσωσιν καὶ ἐπετήδευσε καὶ ὑπέκρυψεν ὡς ἀλλάξας τὸν τόπον, ὅπως ζητουμένης ἐκεῖσε τῆς λέξεως καὶ μὴ εὑρισκομένης μὴ δοκεῖν εἶναι παρίσωσιν, καὶ τοῦτό ἐστι δεινότητος οὔσης καὶ μὴ φαινομένης.

ΠΕΡΙ ΑΝΑΣΤΡΟΦΗΣ ΤΟΥ ΣΧΗΜΑΤΟΣ.

Ἀναστροφή ἐστιν, ὅταν τὸ τέλος τοῦ κώλου ἀρχὴ 39
τοῦ ἑπομένου κώλου γίνηται, οἷον οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναιτ' ἂν διώκειν δι' ἐμέ, ἐμὲ δὲ εἴπερ ἐνόμιζεν αὐτὸν ἐξελέγχειν, οὐκ ἂν ἐγράψατο, καὶ τὸ Σαμία μία, καὶ αὐτίκα βοὴ ἦν, παρὰ Θουκυδίδῃ.

ΠΕΡΙ ΚΛΙΜΑΚΩΤΟΥ ΣΧΗΜΑΤΟΣ.

642
Κλιμακωτόν ἐστι σχῆμα, ὅταν ἡ ἐπαναστροφὴ πολ- 40
λάκις γένηται τῷ λόγῳ. οὐκ εἶπον μὲν ταῦτα,

Digitized by Google

οὐκ ἔγραψα δέ, οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ. τὸ γὰρ ἔγραψα ἔστι τέλος τοῦ πρώτου κώλου, ἀρχὴ δὲ τοῦ δευτέρου· εἶτα ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δέ. ὡραῖον κλιμακωτὸν παρ' Ὁμήρῳ,

www.libtool.com.cn

τὸ μὲν Ἥφαιστος κάμε τεύχων,
Ἥφαιστος δὲ δῶκε Διῒ Κρονίωνι ἄνακτι·

ἀλλάξας τὴν λέξιν εἶπεν ἑτέραν τὸ αὐτὸ σημαίνουσαν,

αὐτὰρ ἄρα Ζεὺς δῶκε διάκτορι Ἀργειφόντῃ·
ὁ γὰρ Κρονίων Ζεύς ἐστιν·

Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ·
αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρῆι ποιμένι λαῶν·
Ἀτρεὺς δὲ θνήσκων ἔλιπεν πολύαρνι Θυέστῃ·
ὧδε γὰρ τὸ αὖ τέθεικεν ἀντὶ τοῦ·
ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φωρῆναι·

λέγεται δὲ τοῦτο ἀντονομασία. ἀντονομασία δὲ λέγεται ὅταν ἑτέρα λέξις ἀνθ' ἑτέρας τεθείη ἰσοδυναμοῦσα αὐτῇ ὡς τὸ Κρονίων Ζεὺς καὶ Ἀργειφόντης Ἑρμείας καὶ Ἀτρείδης ἀντὶ Ἀγαμέμνονος, καὶ τὸ

ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.

ἀλλ' ἐπειδὴ δύο Ἀτρεῖδαι ἦσαν, Ἀγαμέμνων καὶ Μενέλαος, προσέθηκεν ἄναξ ἀνδρῶν πρὸς ἀντιδιαστολὴν τοῦ Μενελάου. ὅμοιον τούτῳ καὶ ὁ θεολόγος ἐχρήσατο εἰς τὸν ἐπιτάφιον τοῦ ἁγίου Βασιλείου· κατὰ παραλλαγὴν γὰρ λέξεως πεποίηκε τὸ κλιμακωτόν, ὡς ἂν μὴ σαφὴς ἡ πρὸς κάλλος ἐπιβουλὴ γένοιτο, μιμούμενος τὸν Δημοσθένην ἐν ταῖς παρισώσεσιν. ἐκεῖνος μὲν γὰρ τοὺς τόπους ἀλλάσσει, ὁ δὲ θεολόγος τὰς λέξεις ἄλλας ἀντ'
643 ἄλλων τιθεὶς τὰ αὐτὰ σημαινούσας, ὡς ἂν λάθοι καλ-
λωπίζων. ἆρ' οὖν προτεθύμηται μὲν οὕτως, ἠγώνισται δὲ τῆς προθυμίας ἔλαττον, ἢ διαγωνίζεται μὲν ἀνδρικῶς, ἀσυνέτως δέ,

Digitized by Google

ἢ πεπαιδευμένως (ἀντὶ τοῦ συνετῶς, ἀλλ' ἐξέφυγε τὸ φανερὸν τῆς ταυτολεξίας) ἀκινδύνως δέ, ἢ πάντα μὲν ταῦτα τελείως καὶ ὑπὲρ λόγον, ὑπελείπετο δέ τι τῆς μικροψυχίας ἐν ἑαυτῷ λείψανον; κλιμακωτὸν φανερὸν ἐν τῇ πρὸς Κλη- 5
δόνιον, ὃ γὰρ τὴν ἐντολὴν ἐδέξατο, τοῦτο καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὃ δὲ οὐκ ἐφύλαξε, τοῦτο καὶ τὴν παράβασιν ἐτόλμησεν· ὃ δὲ παρέβη, καὶ σωτηρίας ἐδεῖτο μάλιστα· ὃ δὲ σωτηρίας ἐδεῖτο, τοῦτο καὶ 10
προσελήφθη. καὶ ἐν τῷ εἰς τὰ φῶτα λόγῳ, οὗ δὲ φόβος, ἐντολῶν τήρησις, οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, καὶ ἑξῆς. καὶ πάλιν, ὅσον ἂν καθαιρώμεθα, φανταζόμενον, καὶ ὅσον ἂν φανταζώμεθα, ἀγαπώμενον, καὶ 15
ὅσον ἂν ἀγαπήσωμεν, αὖθις νοούμενον. τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὰς πράξεις, μαθόντες γὰρ ἂν αὐτὴν ἀπεστράφησαν, ἀποστραφέντες δὲ οὐκ ἂν ἤκουσαν, μὴ ἀκούσαντες δὲ ἔμειναν ἐπὶ τῆς πλάνης τῆς προτέρας. τοῦ 20
αὐτοῦ, ὁρᾷς πῶς πρόεισι τὸ κακόν, ἡ πικρία τὸν θυμὸν ἔτικτεν, ὁ θυμὸς τὴν ὀργήν, ἡ ὀργὴ τὴν κραυγήν, ἡ κραυγὴ τὴν βλασφημίαν, ἡ βλασφημία τὰς πληγάς, αἱ πληγαὶ τὰ τραύματα, τὰ δὲ τραύματα θάνατον. τοῦ 25
αὐτοῦ, ἵνα αἰδέσιμοι ὄντες μᾶλλον αὐτοῖς ὦσι περισπούδαστοι, περισπούδαστοι δὲ ὄντες αὐτοὺς ἐφέλκωνται, ἐφελκόμενοι δὲ προσηλῶσι τῇ λατρείᾳ, προσηλοῦντες δὲ τῇ λατρείᾳ εἰς μείζονα ἄγωσιν ἀρετήν, δι' ἣν 30
πάντα γίνονται. τοῦ ἁγίου Πέτρου, ἐπιχορηγήσατε ἐπὶ τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν

www.libtool.com.cn
Digitized by Google

δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, καὶ τὰ ἑξῆς.

ΠΕΡΙ ΤΠΕΡΒΑΤΟΥ.

www.libtool.com.cn

644
41 Τούτου δὲ εἶδη δύο· τὸ μὲν γάρ ἐστιν καθ' ὑπέρθεσιν, τὸ δὲ κατὰ παρένθεσιν· καὶ τὸ μὲν καθ' ὑπέρθεσιν [τ'] ἐστίν, ὅταν λέξις τεθῇ ἐν τέλει ὀφείλουσα πρὸ δύο ἢ τριῶν λέξεων τεθῆναι, οἷον ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ καὶ τοῦτο ἐζήλωκε καὶ προῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦθ' ἃ μηδεὶς πώποτε ἄλλος βασιλεὺς Μακεδόνων δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος, ἀντὶ τοῦ δόξαν ᾑρημένος ἀντὶ τοῦ ζῆν ἀσφαλῶς. καὶ Ὅμηρος,

ὁ δ' ἄρ' ἔκθορε φαίδιμος Ἕκτωρ,

ἀντὶ τοῦ ὁ δὲ φαίδιμος Ἕκτωρ ἔκθορε. καὶ ὑποκατιών,

κέκλετο δὲ Τρώεσσιν ἑλιξάμενος καθ' ὅμιλον
τεῖχος ὑπερβαίνειν.

καὶ ἐν ζ' Θουκυδίδου οἱ ἐκ τοῦ πρώτου τείχους ἁλόντος διαφυγόντες.

Τὸ δὲ κατὰ παρένθεσίν ἐστιν, ὅταν ἐν τῷ μέσῳ παρεμβληθῇ κῶλον ἢ κόμμα διακόπτον τὴν ἀρχὴν ἐκ τοῦ τέλους, οἷον τὸ δὲ πάντα ὅσα ποτὲ ἔπραξε διεξιόντα ἐφ' ἅπασι τούτοις ἐλέγχειν καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει. ἐχώρισε τὴν ἀρχὴν τοῦ λόγου ἐκ τοῦ τέλους, καὶ ἐποίησε τὸ σχῆμα ὑπερβατὸν κατὰ παρένθεσιν. καὶ τρίτῳ Ὀλυνθιακῶν, οὐ γάρ ἐστι δίκαιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τῆς τότε ἴσην

Digitized by Google

ὑπάρχειν. παρενεβλήθη γὰρ τὸ ἢ πᾶσαν ἔβλαψε τὴν πόλιν. καὶ πάλιν, τὴν δὲ ἀπέχθειαν, δι' ἧς ἂν ἅπαντες ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. ἐνταῦθα παρενέβαλε τὸ δι' ἧς ἂν ἅπαντα ἄμεινον πράξαιμεν. 645
καὶ πάλιν πρώτῳ κατὰ Φιλίππου, εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μέν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, 10
ἡσυχίαν ἂν ἦγον ἀντὶ τοῦ ἐπισχὼν ἂν ἡσυχίαν ἦγον, ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων· ποικίλον δέ ἐστι τοῦτο τὸ ὑπερβατόν, καὶ τὸ πρὸ τῆς ἐπιφορᾶς τοῦδε πάλιν ἐπενεγκεῖν μὲν καὶ ποιῆσαι διπλοῦν 15
μερισμόν, ἢ μᾶλλον, ὡς ἔνιοί φασι, μερισμόν τε καὶ ὑπομερισμόν, καὶ διὰ τοῦτο προτάξαι τὰς κατασκευὰς καὶ ἐπαγαγεῖν τὰς προτάσεις. πρότασις μὲν γάρ ἐστιν ὅτι καὶ νέον τινὰ ὄντα προφέρει τὴν βουλὴν τοῦ συμφέροντος φροντίζοντα. καὶ ἡ κατασκευὴ ἤτοι ἡ αἰτία, 20
ἐπειδὴ μηδὲν τῶν δεόντων οἱ εἰωθότες λέγειν, ἤτοι οἱ πρεσβύτεροι ἀπεφήναντο. καὶ πάλιν, ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι, τὸ δὲ τῶν χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦσαι, πόσα καὶ πόθεν ἔσται. καὶ 25
ὁ ποιητής,

αὐτὰρ ὁ Πείσανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
υἱέας Ἀντιμάχοιο δαΐφρονος·

εἶθ' οὕτως,

ὅς ῥα μάλιστα 30
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα,
οὐκ εἴασχ' Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ.

www.ibtool.com.cn
Digitized by Google

ΠΕΡΙ ΚΑΙΝΟΠΡΕΠΟΥΣ ΣΧΗΜΑΤΟΣ.

42 Καινοπρεπές ἐστι τὸ μὴ παρὰ πολλοῖς εὑρισκόμενον, ἀλλὰ παρ' ὀλίγοις τοῖς ἐν τῷ λόγῳ τὸ ἀξιόπιστον λίαν κεκτημένοις, οἷον ὡς παρὰ τῷ ῥήτορι, οἷον εἰ καὶ μηδὲν ἄλλο, ἀντὶ τοῦ εἰ καὶ μηδὲν ἄλλο· καὶ πάλιν, 646 Θετταλοὶ δὲ οὐδένα πώποτε ὧν τινα οὗ, καὶ ὁ Θουκυδίδης, ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτοὺς παρὰ γῆν σφῶν κομιζομένους, καὶ ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπ' Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι, καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ὑφορμεῖν. καὶ πάλιν, βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν προσλήψεσθε ναυτικὸν ἔχουσα μέγα. τῇ δὲ ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, ἀντὶ τοῦ οὖσαν, ἠκολούθησε γὰρ τῇ σημασίᾳ. καὶ ὁ Ἀρριανός, καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν ὧν λέγουσιν, ἔστιν οὖν καταληφθέντας ὑπ' Ἀλεξάνδρου. καὶ Ξενοφῶν, ἐπεὶ δὲ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὲ τὸν λόφον οἱ ἱππεῖς, οὐ μὴν ἔτι οἱ ἄλλοι ἄλλοθεν, τότε ὁ λόφος τῶν ἱππέων. καὶ ἐν τῇ ἡ Θουκυδίδου, καὶ ὀλίγον ἐπράσσετο οὐδέν, καὶ ἐν τῇ ζ', οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες. καὶ πάλιν, ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΠΟΛΥΠΤΩΤΟΥ.

43 Πολύπτωτον δὲ τὸ τοῦ αὐτοῦ ὀνόματος ἢ τῆς αὐτῆς

ἀντωνυμίας κατὰ κῶλον ἄλλην πτῶσιν ἢ ἄλλο γένος ἐκφέρεσθαι, οἷον αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. εἶτα τοῦτο τὸ ψήφισμα τὸν τότε ἐπιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησε, ὥσπερ νέφος. καὶ πάλιν, οὗτοι γὰρ ἡγοῦνται. εἶτα δοτική, τούτοις πείθεσθε. εἶτα γενική, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε.

www.libook.com.cn

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΤΟΥ ΚΑΘ' ΥΠΟΣΤΡΟΦΗΝ.

Ὅπερ ἐν τῷ μέσῳ δεχόμενον ἐπεμβολὴν ἔρχεται πάλιν ἐπὶ τὴν ἀφήγησιν, ὅπερ Οὐλπιανὸς ἐπιδρομὴν καλεῖ, οἷον ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησιν. εἰπὼν γάρ, ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ἐπενέβαλε τὸ ὡς τότε δημηγορῶν ἔφη. καὶ πάλιν ἐπὶ τὴν κατάλληλον ἀφήγησιν τοῦ λόγου ὑπέστρεψεν εἰς τὸν ἐπιβουλεύοντα τοῖς Ἕλλησι. τοῦτο δὲ τὸ σχῆμα καὶ κατ' ἐπιπλοκὴν λέγεται. καὶ πάλιν ἐν τῇ ἀρχῇ τοῦ περὶ τοῦ στεφάνου, τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ, οὐ γὰρ ἔγωγε ἐπολιτευόμην πω πότε, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν ἐβούλεσθε, καὶ ἐξῆς.

ΠΕΡΙ ΤΜΗΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Τμητικὸν δέ ἐστι τὸ τέμνον τὸν λόγον καὶ μεταβαῖνον ἀπὸ προσώπου εἰς πρόσωπον, ἢ ἀπὸ πράγματος εἰς πρᾶγμα· δεῖ δὲ εἰδέναι, ὅτι πολλάκις ἐστὶ τμητικός, ποτὲ δὲ καὶ ἔστι καὶ φαίνεται. τοῦ τοίνυν σχήματος τούτου εἴδη εἰσὶ ταῦτα, πρῶτον τὸ ἀσύνδετον κομματικόν, οἷον προσῆλθε τῇ βουλῇ, προβούλευμα ἔγραψε.

Digitized by Google

δεύτερον τὸ κατ' ὄνομα τεμνόμενον, Ἀμφίπολιν, Ποτίδαιαν, Μεθώνην, Παγασάς. τρίτον καὶ αἱ δι' ἐλαχίστου ἐξαλλαγαί, οἷον τὸ Ἀμφίπολιν λαβεῖν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θεσσαλίας ἐπέβη. τέταρτον τέμνουσι καὶ οἱ δι' ἐλαχίστου μερισμοὶ τὴν ἀνταπόδοσιν ἔχοντες, οἷον ἑσπέρα μὲν γὰρ ἦν, ἦκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις ὡς Ἐλάτεια κατείληπται. πέμπτον τὸ κατ' ἐπαναφορὰν κομματικόν, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν. ἕκτον αἱ ταχεῖαι καὶ δι' ἐλαχίστου συμπλοκαί, καὶ σπουδαῖα νομίζω καὶ ἀναγκαῖα τῇ πόλει, ὦ Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, ἐφ' ἃ παρελήλυθα. καὶ ταῦτα μὲν τὰ παραδείγματα τυγχάνουσιν τοῦ φαινομένου τέμνειν καὶ μὴ τέμνοντος, καὶ τοῦ τέμνοντος καὶ φαινομένου· τοῦ δὲ τέμνοντος καὶ μὴ δοκοῦντος τέμνειν τὸ ἐκ πλαγίων σχῆμα τὸ κατὰ συστροφήν, ὡς τὸ πολλῶν, ὦ Ἀθηναῖοι, λόγων γινομένων καθ' ἑκάστην ἐκκλησίαν, τοῦτο ἐκ πλαγιασμοῦ. τὸ δὲ κατὰ συστροφήν, ὁ γὰρ Μεσσήνην ἀφιέναι Λακεδαιμονίους κελεύων πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια νομίζειν ταῦτα εἶναι πεποιηκέναι σκήψαιτο; πολλὰ γὰρ ἐν ἀμφοτέροις δι' ὀλίγων εἴρηται καὶ οὐ φαίνεται τεμνόμενα.

www.libtool.com.cn

ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

46 Εἰρωνεία ἐστὶν ἔμφασις κακίας δι' εὐφήμων ῥημάτων, ὡς ὁ ποιητὴς ἐν τῷ ἐννάτῳ περὶ τοῦ Ἀγαμέμνονος, λέγοντος Ἀχιλλέως πρὸς τὸν Ὀδυσσέα,

ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε καὶ ἤλασε·

Digitized by Google

καὶ δεικνὺς τὸ ἀχρεῖον τοῦ τείχους φησίν, 649
ἀλλ' οὐδ' ὡς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
ἴσχειν,
εἰπὼν μάλα πονήσατο νόσφιν ἐμεῖο, ἐπηύξησε τὰς πρά-
ξεις τοῦ Ἀγαμέμνονος· ἐν γὰρ ταῖς εἰρωνείαις, ὧν κα- 5
ταφρονοῦμεν, ταῦτα αὐξάνομεν. τινὲς καὶ τὸ ἐπαγό-
μενον εἰρωνικόν φασιν, ἑαυτὸν εὐτελίζοντος διὰ τὸ ὑπὸ
Ἀγαμέμνονος ἀτιμασθῆναι, οἷον

νῦν δ' ἐπεὶ οὐκ ἐθέλω,

ἀντὶ τοῦ οὐ δύναμαι, πρὸς τὴν ὑπόληψιν ἣν ἔχει περὶ 10
ἐμοῦ ὁ Ἀγαμέμνων·

φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε,
καὶ ἐξῆς, ὧν μεμνημένος ὁ Ἀχιλλεὺς ἔφη,

ἀλλ' Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι·

καὶ πάλιν, 15

αὖριον ἱρὰ Διῒ ῥέξαι καὶ πᾶσι θεοῖσιν·
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω·
ὄψεαι, αἴκ' ἐθέλησθα·

αἰνιττόμενος μὴ σχολὴν ἄγειν, μένειν αὐτῷ ταῦτα ἐκ
τῆς ἐπιθέσεως τῶν πρώτων. καὶ ὁ ῥήτωρ ἐν τῷ περὶ 20
Ἁλοννήσου, Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν
καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν,
ἵνα δὴ αὐτόνομοι ὦσιν. οἱ γὰρ παρ' αὐτοῦ φρου-
ρὰν δεξάμενοι καὶ τὴν ἐλευθερίαν ἀφῄρηνται. ἄλλο
κατὰ συνέχειαν, ἐπὶ δὲ Ἀμβρακίαν στρατεύεται, 25
τὰς δὲ ἐν Κασσωπίῳ τρεῖς πόλεις, Πανδοσίαν
καὶ Βούχεταν καὶ Ἐλάτειαν, Ἠλείων ἀποι-
κίας, κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πό-
λεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ τῷ
ἑαυτοῦ κηδεστῇ δουλεύειν. εἶτα εἰρωνικῶς, σφό- 30
δρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους
εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα. ἄλ-

www.libtool.com.cn
Digitized by Google

λως, οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται ὥστε φησίν, ἐὰν μὴ θέλωσι δικάσασθαι οἱ Καρδιανοὶ αὐτὸν ἀναγκάσειν, ὡς ὑμῶν γε οὐκ ἂν δυναμένων οὐδὲ ἀναγκάσαι Καρδιανοὺς ὑμῖν ποιῆσαι τὰ δίκαια, ἐπειδὴ δὲ ὑμεῖς οὐ δύνασθε, αὐτός φησιν τοῦτο ἀναγκάσειν αὐτοὺς ποιῆσαι. εἶτα τὸ εἰρωνικόν, ἆρα οὐ μεγάλα ὑμᾶς φαίνεται εὐεργετῶν.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΑΠΟΣΙΩΠΗΣΙΝ.

47 Σχήματα ἐκ τοῦ Ἀριστογείτονος, βουλοίμην δ' ἄνωθεν πρὸ τοῦ περὶ τῶν ἰδίων ἐμὲ τῶν τοιούτων λέγειν σπουδάσαντας ὑμᾶς ἐξετάσαι διὰ βραχέων, εἰς ὅσην αἰσχύνην καὶ ἀδοξίαν προῆχε τὴν πόλιν δημοσίᾳ πάντα τὰ τοιαῦτα θηρία, ὧν μέσος καὶ τελευταῖος καὶ πρῶτός ἐστιν οὗτος· καὶ τὰ μὲν ἄλλα ἐάσω. καὶ πάλιν, ὅσα μὲν οὖν τοὺς χορευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατείας ἠνώχλησεν, ἢ προβαλλόμενος καὶ κελεύων ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητήν, ἢ τἄλλα πάντα, ὅσα τοιαῦτα, ἐάσω.

ΠΕΡΙ ΤΟΥ ΤΗΣ ΕΠΙΔΙΟΡΘΩΣΕΩΣ ΣΧΗΜΑΤΟΣ.

48 Ὅταν μὴ ἀρκούμενός τις εἰς μίαν λέξιν προστιθῇ ἢ τὴν αὐτὴν ἢ ἐκδηλοτέραν, οἷον ὀψὲ γὰρ λέγω, ὀψέ. ἐπιτατικωτέραν δὲ ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων. εἰπὼν γὰρ τῶν αἰσχρῶν ὄνομα πρωτότυπον προσέθηκε παράγωγον ὑπερθετικὸν ὄνομα τὸ αἰσχίστων.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΔΙΑΝΟΙΑΣ ΣΧΗΜΑΤΩΝ ΚΑΘ' ΕΡΜΟΓΕΝΗ.

Τὴν περὶ τῶν τῆς λέξεως σχημάτων περάναντες σὺν θεῷ φάναι πραγματείαν ἐπὶ τὰ τῆς διανοίας μετελθεῖν 651
ᾠήθημεν, ὡς ἂν μὴ ἐλλιπῆ αὐτὴν τοῖς μεθ' ἡμᾶς ἐά- 6
σαντες γραφὴν ὀλιγωρίας ἀποίσομεν· οὐ γὰρ μέμψεως
ἀμοιρήσομέν τινος ἀπαρξάμενοι μὴ ἐπὶ τὸ τέλος καταν-
τῆσαι σὺν προθυμίᾳ· ἵνα μὴ ἀφορμὴν καθ' ἡμῶν δῶ-
μεν τοῖς φιλοσκώμμοσιν ἄλλου ἄλλο τι ἀναπλάττοντος, 10
ἀλλὰ καὶ σὲ τῆς ὠφελείας ὁλοσχερῶς ἀπόνασθαι, καθα-
ρὰν δὲ καὶ σαφῆ τὴν διδασκαλίαν γενέσθαι σπουδάζον-
τες ἐκ καθαρότητος ἀρξόμεθα.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΑΠΟ ΨΙΛΟΥ ΤΟΥ ΠΡΑΓΜΑΤΟΣ ΑΡΧΟΜΕΝΟΥ. 15

Ἀπὸ ψιλοῦ τοῦ πράγματος ἄρχεται, ὅταν μηδὲν 49
ἔξωθεν συνεφέλκηται, οἷον γένος εἴδει προσλαβόν, ἢ
ὅλον μέρει ἢ ἀόριστον ὡρισμένῳ ἢ δικαστῶν κρίσιν ἢ
ποιότητα πράγματος, ἢ πρὸς ἕτερον διαφοράν, οἷον
οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο· 20
καὶ τὸ
ᾠχόμεθ' ἐς Θήβην.

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΦΥΣΙΝ ΤΩΝ ΠΡΑΓΜΑΤΩΝ ΧΡΗΣΘΑΙ ΤΩι ΛΟΓΩι.

Τουτέστι τὰ πρῶτα τιθέναι πρῶτα, τὰ δὲ δεύτερα 50
δεύτερα, καὶ ἑξῆς κατὰ τὰς ἀντιθέσεις πρὸς τὸν λόγον, 26
οἷον τὸν θεὸν φοβοῦ, τοὺς γονεῖς τίμα, καὶ τοὺς φίλους
αἰσχύνου. ἡ δὲ ἀντίθεσις πρὸ τῆς λύσεως· τοῦ γὰρ
Μειδίου λέγοντος, Δημοσθένην ὕβρισα ἐχθρὸν ἐμόν,
ὅπερ οὐκ ἔστι δημόσιον ἔγκλημα, ἐπιλύεται· ἀλλὰ χορη- 30
γὸς ἦν ὁ Δημοσθένης, ὁ δὲ χορηγὸς τῆς πόλεως ἐστιν.

www.libtool.com.cn
Digitized by Google

ἡ ἀντίθεσις, πρόεδροι καὶ θεσμοθέται πληγὰς λαβόντες οὐκ ἐπεξῆλθον δημοσίᾳ. συγγνώμης ἄξιοι ἦσαν οἱ
652 τυπτήσαντες ἐκείνους· ἐκεῖνοι γὰρ ἀπὸ θυμοῦ τι ἔδρασαν, σὺ δὲ ἀπὸ προνοίας προέχων τὴν ἔχθραν ἐν ἑαυτῷ
5 κατὰ Δημοσθένους.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΥ ΕΞ ΑΦΗΓΗΣΕΩΣ ΚΑΤΑ ΑΠΟΦΑΣΙΝ ΣΧΗΜΑΤΟΣ.

51 Κατὰ ἀπόφασιν σχῆμα ἐξ ἀφηγήσεώς ἐστιν, ὅταν τις ἀποφαίνηται μὴ ἔχων ἐνδοιασμὸν τὸ οἶμαι ἢ τὸ
10 εἴτε, ὡς ὁ ῥήτωρ ἐν τῷ παραπρεσβείας, ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν, καὶ ἑξῆς.

ΠΕΡΙ ΑΛΛΗΓΟΡΙΚΟΥ ΚΑΙ ΔΙΟΡΚΟΤΝΤΟΣ.

52 Ὡς παρὰ Πλάτωνι, ὁ μέντοι μέγας ἐν οὐρανῷ
15 Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων φέρεται. καὶ παρὰ τῷ ποιητῇ,

ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' αἰγίδα θυσσανόεσσαν·
ἕως

τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους·
20 καὶ ὑποκατιών,

μητρός τοι μένος ἐστὶν ἀάσχετον οὐκ ἐπιεικτόν.
ἕως

τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων·
καὶ ἑξῆς, καὶ ἐν τῇ ἑνάτῃ,

25 εἰ δ' ἄγε πειρήσεσθε, θεοὶ ἵνα εἴδετε πάντες·
καὶ ἑξῆς.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΤΟΥ ΔΙ' ΕΜΦΑΣΕΩΣ ΜΥΣΤΙΚΩΣ ΛΕΓΟΜΕΝΟΥ.

53 Ὡς παρὰ Πλάτωνι, ὡς ὅταν λέγῃ, τὸ ὄντως ὄν,
30 καὶ ἀγαθὸς ἦν, καὶ ἀναπτύξας ἔφη, τόδε τι εὑρεῖν

Digitized by Google

τε καὶ εὐρόντα εἰς πάντας λέγειν ἀδύνατον, 653
καὶ οἷον τὸ Πυθαγορικόν, εἰς ἱερὸν ἀπιὼν προσκυνῆσαι
μηδὲν ἄλλο μεταξὺ βιωτικὸν μήτε λέγε μήτε πρᾶττε.
καὶ πάλιν, ἀνυπόδητος θῦε καὶ προσκύνει κοσμίως καὶ
μετρίως καὶ μὴ ὑπερσχὼν τῆς ἐν τῇ γῇ τάξεως· σχεδὸν 5
ὅμοιον τὸ λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου·
ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστί. καὶ
πάλιν, περὶ θεοῦ μηδὲν θαυμαστὸν ἀπίστει
μηδὲ περὶ θείων δογμάτων.

ΠΕΡΙ ΤΟΥ ΑΠΑΡΑΚΑΛΥΠΤΩΣ ΕΙΣΑΓΕΣΘΑΙ ΤΗΝ ΤΡΑ- 10
ΧΥΤΗΤΑ ΣΧΗΜΑΤΟΣ.

Τοῦτο δὲ γίνεται, ὅταν μὴ συμπλακῇ ἑτέρῳ τινὶ 54
λεαίνοντι, οἷον τὸ τὸν ἐγκέφαλον ἐν τοῖς κροτά-
φοις, ἀλλὰ μὴ ἐν ταῖς πτέρναις καταπεπατη-
μένον φορεῖτε. καὶ τὸ ἀλλὰ μανδραγόραν ἤτοι 15
φάρμακον ἄλλο πεπωκόσιν ἐοίκατε ἀνθρώ-
ποις. τὸ δὲ οὔτε σωφρόνων οὔτε γενναίων ἀν-
δρῶν, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων
τῶν τοῦ πολέμου εὐχερῶς τὰ τοιαῦτα ὀνείδη
φέρειν, λειότερον γέγονε τῷ σχήματι· ἐν γὰρ τῷ κα- 20
θαρῷ εἴρηται καὶ οὐχ ἁπλῶς ἐπετίμησεν.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΗΓΟΥΜΕΝΩΣ ΕΙΣΑΓΟΝΤΟΣ ΤΑΣ ΕΝ-
ΝΟΙΑΣ ΣΧΗΜΑΤΟΣ ΚΑΙ ΑΔΙΑΚΟΠΤΩΣ.

Τοῦτο δὲ γίνεται, ὅταν ὡς θαρρῶν προηγουμένως 55
ἀφηγῇ, ἀλλὰ μὴ ἐπεισάγῃς ἕτερόν τι διακόπτον τὴν ἀφή- 25
γησιν, οἷον αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγ-
μάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τοῦτο δὲ
τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίν-
δυνον, καὶ ἑξῆς· διακόπτεται δὲ οὕτως, αὕτη τῶν περὶ
Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, 30
τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν 654

www.libtool.com.cn
Digitized by Google

πόλεων ὑπηγμένων· ὑπὸ τούτων τοῦτο τὸ ψήφισμα τοῦ τότε τῇ πόλει.

ΠΕΡΙ ΤΟΥ ΤΑ ΕΝΔΟΞΑ ΕΝΔΟΞΟΤΕΡΩΣ ΛΕΓΕΙΝ.

56 Ἔνδοξοι γεγόνασιν οἱ Μαραθῶνι προκινδυνεύσαντες ὑπὲρ τῆς πατρίδος, ὁ δὲ Δημοσθένης διὰ τοῦ σχήματος πλέον αὐτοὺς ἐδόξασεν ὅρκον αὐτοὺς ποιησάμενος· τὰ γὰρ σεπτὰ ὄμνυνται καὶ τοῖς σεπτοῖς ὁρκίζονται, ὅθεν ἔφη, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας καὶ τοὺς ἐν Σαλαμῖνι παραταξαμένους.

ΠΕΡΙ ΤΟΥ ΑΝΤΙΣΤΡΕΦΕΙΝ ΤΑ ΠΡΑΓΜΑΤΑ ΚΑΙ ΤΑ ΔΕΥΤΕΡΑ ΠΡΩΤΑ ΛΕΓΕΙΝ, ΕΙΤΑ ΕΠΕΜΒΑΛΛΕΙΝ ΤΑ ΠΡΩΤΑ.

57 Οἷον ἀλλ' ἐπειδὴ πάλιν ἤκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς ὅρκους, ἥσπερ εἰσὶν αἱ νῦν εὐθῦναι, οὔτε μικρὸν οὔτε μέγα οὐδ' ὁτιοῦν εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων καὶ προσδοκηθέντων, ἀλλὰ πάντα ἐξηπατημένοι, καὶ τούτων ἕτερα αὖθις πεπραχότων καὶ παρ' αὐτὸ τὸ ψήφισμα, προσῆμεν τῇ βουλῇ. καὶ ταυτὶ πολλοὶ συνίσασιν, ἃ μέλλω λέγειν· τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν. εἰπὼν τὰ δεύτερα πρῶτα ἐπενέβαλε τὰ πρῶτα εἰπών, οὔτε μικρὸν οὔτε μέγα, οὐδ' ὁτιοῦν εὑρημένοι, ἕως τοῦ προσῆμιν τῇ βουλῇ. καὶ πάλιν κατὰ ἐπισυναφήν, ἀλλ' ἐπὶ τῷ πανδοκείῳ τῷ πρὸ τοῦ Διοσκορείου (εἴτις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω) ἐνταῦθα ἐγένοντο οἱ ὅρκοι.

Digitized by Google

ΠΕΡΙ ΤΟΥ ΤΑΣ ΚΑΤΑΣΚΕΤΑΣ ΤΩΝ ΠΡΟΤΑΣΕΩΝ ΚΑΙ ΤΑΣ ΠΙΣΤΕΙΣ ΠΡΩΤΑΣ ΠΡΟΤΙΘΕΝΑΙ ΤΩΝ ΠΡΟΤΑΣΕΩΝ. 655

Οἷον ὁρῶν τὸ ναυτικὸν ὑμῶν καταλυόμενον καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γινομένους, τοὺς δὲ μέτρια καὶ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντα ἀπολλύντας, ἔτι δὲ ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν ἔθηκα νόμους. καὶ πάλιν, εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο λέγειν, ὦ Ἀθηναῖοι, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μέν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἦγον· εἰ δὲ μή, τότε ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν. ἡ μὲν γὰρ πρότασίς ἐστιν, ὅτι δεῖ καὶ νεωτέρου ὄντος πρώτου λέγοντος ἀνέχεσθαι, ἡ δὲ κατασκευή, ὅτι μηδὲν οἱ πρεσβύτεροι τῶν δεόντων εἰρήκασιν. 58

ΠΕΡΙ ΕΠΙΜΟΝΗΣ.

Σχῆμά ἐστιν ἐπιμονῆς, ὅταν ἐφ' ὧν ἰσχύωμεν πραγμάτων χρώμεθα αὐτῇ, οἷον οὔτε καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλπὶς οὔτε φόβος οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν, οὐδὲ προηγάγετο ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι. καὶ πρὸ τούτου, πότερον ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν αὐτῆς, καὶ ἐξῆς. 59

ΠΕΡΙ ΓΟΡΓΟΤ ΣΧΗΜΑΤΟΣ.

Γοργὸν σχῆμα λέγεται, ὅταν ταῖς ἀπαντήσεσι ταχείαις καὶ βραχείαις χρώμεθα καὶ ταῖς ἀντιθέσεσιν, οἷον τί βουλευόμενοι μετεπέμπεσθε αὐτοὺς ἐν 656 60

Digitized by Google

τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. καὶ πάλιν, κακοδαιμονοῦσι Βυζάντιοι. σφόδρα γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει.

www.libtool.com.cn

ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΥΤΕΛΕΙΑΝ ΣΧΗΜΑΤΟΣ.

61 Κατ' εὐτέλειάν ἐστι σχῆμα τὸ πλεονάζον τοῖς κατὰ μέρος, οἷον εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς σκαπανέας καὶ τοὺς ἀμαλλοδέτας καὶ τοὺς νομέας καὶ τοὺς ποιμένας. ἔστι καὶ ἄλλο εἶδος τὸ δι' ὅρκων πιστοῦσθαι, ἀλλὰ μὴ διὰ πραγμάτων, ὡς ὁ ῥήτωρ, καλῶ δὲ τοὺς θεοὺς πάντας καὶ πάσας καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον. καὶ Ὅμηρος,

ναὶ μὰ τόδε σκῆπτρον τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους
ἀλλὰ καὶ ὁρκίζειν κριτὰς ἢ διάδικον.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΕΠΙΕΙΚΟΥΣ.

62 Ἐπιεικὲς σχῆμά ἐστιν, ὅταν τὰ ἑαυτοῦ καλὰ ἐλαττοῖ, τὰ δὲ τοῦ ἐναντίου ἢ τὰ καλὰ ἐπαίρῃ ἢ τὰ κακὰ μειοῖ. καὶ τοῦ μὲν πρώτου, τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκάστῳ τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖναί φημι. ἐκεῖνος μὲν γὰρ καὶ ἐβούλευσεν, ἀλλὰ ταπεινώσας αὐτοῦ τὸ κατόρθωμα μετεῖναί φησι. τοῦ δὲ μειοῦντος τὰ τοῦ ἀντιδίκου κακὰ ἢ ἐνδεικνυμένου τοῦ λέγοντος, ὡς τὸ μηδὲν ὀργισθῆς, οὐδὲν γὰρ ἐρῶ φλαῦρον. καὶ πάλιν, τοῦ θέντος τὸν νόμον τὰ
657 μὲν ἄλλα ἔγωγε οὐκ οἶδα, ἐκ δὲ τοῦ νόμου σκοπῶν εὑρίσκω πολὺ τούτου κεχωρισμένον. τοῦ δὲ μὴ ἐνδεικνυμένου, τίνος οὖν ἕνεκεν, εἰ τὰ μάλιστα μὴ τινὲς ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τὴν αὐτὴν ἀτιμίαν ὑμῶν τε κατέγνω κἀκείνων; ἐκείνους μὲν γὰρ ἠτίμασε ἀφελὼν αὐ-

Digitized by Google

τοὺς τὴν ἀτέλειαν, ὑμᾶς δὲ κατηυτέλησε τῷ στερῆσαι ὑμᾶς τῆς ἐξουσίας τοῦ διδόναι ἀτέλειαν, ᾧ τινι βούλεσθε.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΠΑΡΑΛΕΙΠΤΙΚΟΥ.

www.libtool.com.cn

Κατὰ δεινότητα δὲ ἐμφαίνοντες τὰ δοκοῦντα παρα- 63
λείπεσθαι, οἷον καὶ οὐδὲν ἂν εἴποιμι τούτων, 6
οὔτε εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτε εἴ τισι πενομένοις θυγατέρας συνεκδέδωκα. καὶ πάλιν, Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις 10
ἐπὶ Θράκης ἑῶ.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΠΟΙΗΤΙΚΟΥ ΑΡΧΙΚΟΥ.

Ἀρχικὸν μὲν σχῆμα ποιήσεως τὸ μὴ παρ' ἑαυτῶν λέγειν, ἀλλ' αἰτεῖσθαι τὰς κατ' αὐτοὺς Μούσας ἀπάρχεσθαι τοῦ λόγου, οἷον μῆνιν ἄειδε, καὶ Μοῦσαι 15
Πιερίηθεν, καὶ

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ'.

εἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων.

καὶ ἐκ Διὸς ἀρχώμεσθα. καὶ ταῦτα μὲν τῶν παρ' Ἑρμογένει σχημάτων, εἰσὶ δέ τινα ἕτερα σχήματα παρ' 20
Ὁμήρῳ, ἅπερ ἰδίως ποιησόμεθα.

ΠΕΡΙ ΚΑΙΝΟΠΡΕΠΩΝ ΣΧΗΜΑΤΩΝ ΤΗΣ Λ.

καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι οὔτε μεταλλῶ.

πῶς τὸ πάρος ἐπίρρημα σημαῖνον καιρὸν παρῳχηκότα, ῥήματι συνετάγη χρόνῳ ἐνεστῶτι; οὐδεὶς γὰρ σωφρο- 658
νῶν φησι, πέρυσιν οὐκ ἐρωτῶ, οὐδὲ πρότερον ἐπιζητῶ, 26
μήτι γε ὁ σοφώτατος Ὅμηρος. καί φαμεν, ὡς οὐ κατ' εὐθὺ δεῖ συντάσσειν τὸ κῶλον, ἀλλὰ κατὰ ὑστερολογίαν ἐκδέχεσθαι τὸ πρότερον, οἷον οὐδὲ πάνυ ἐρωτῶ σε, οὐδὲ ἐπιζητῶ, οὐδὲ τὸ πρότερον. ἄλλως. εἰπόντος τοῦ 30

Digitized by Google

Διὸς πρὸς τὴν Ἥραν, ἀλλ' ὃν μὲν ἐπιεικὲς ἀκουέμεν ἕως

μήτι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα,

ἐπεὶ περὶ καθολικῶν βουλευμάτων αὐτῇ προσεῖπε, τῶν μὲν ποιεῖσθαι ζήτησιν, ὅσα αὐτὸς κρύπτειν βούλοιτο, περὶ δὲ τῶν φανερῶν αὐτὴν προτιμητέον ἡγεῖται· ἀπεκρίθη αὐτῷ, ἐμοὶ ἑνός, ὦ ἄνερ, μέλει, περὶ ὧν ἡ Θέτις ἐξήτησε παρά σου τῶν γονάτων ἐπειλημμένη, τὰ δὲ πρότερον γεγονότα καὶ λίαν οὐκ ἐρωτῶ, οὐδὲ ἐπιζητῶ· ἵνα τὸ πάρος μὴ εἴῃ πρὸς τὸ ἐπιζητῶ, ἀλλὰ πρὸς τὰ γεγονότα τῷ παρεληλυθότι. ἄλλο ὑποκατιών φησι

μὴ νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ, ἕως τὸ ἀάπτους χεῖρας ἐφείω. τινὲς αὐτῷ ἀντιπίπτουσιν ὡς δοτικῇ χρησαμένου τοῦ ποιητοῦ ἀντὶ γενικῆς, ἵνα ᾖ οὕτως, μή ποτε, ὅσοι θεοί εἰσιν ἐν τῷ Ὀλύμπῳ, οὐ βοηθήσουσί σοι ἐμοῦ ἐγγὺς ἐλθόντος, ὅταν σοι τὰς ἀπροσπελάστους ἐπιβάλλω χεῖρας, ἀντὶ τοῦ ἰόντος ἰόντι φαμένου. ἔστι δὲ μᾶλλον εἰπεῖν, ὡς τοῦ ποιητοῦ εἰς δύο τάξεις μερίζοντος τοὺς παρ' αὐτῶν σεβομένους θεούς, οὐρανίους καὶ καταχθονίους, (καὶ γὰρ κατὰ τὴν Πυθαγορικὴν δόξαν) τὸ ἄσσον ἰόνθ' οὐκ ἔστιν, ὡς δοκεῖ τοῖς πολλοῖς, πτώσεως δοτικῆς ἀλλ' εὐθείας τῶν δυϊκῶν ἀντὶ τοῦ ἰόντε, ἵν' ᾖ τὸ συναγόμενον τῆς συντάξεως οὕτως, μήπως, ὅταν σοι τὰς ἀπροσπελάστους χεῖρας ἐπιβάλλω, οἱ οὐράνιοι καὶ καταχθόνιοι θεοὶ ἐγγὺς ἐλθόντες οὐ βοηθήσωσί σοι. καὶ τούτου ὅμοιον
659 δείξομεν ἐν τῇ γ' παρὰ πόδας τοῦ λόγου. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν περὶ τῆς τοιαύτης συντάξεως δοτικῆς οὔσης τῆς ἄσσον ἰόνθ' ἀντὶ τοῦ ἰόντι· τὸ χραισμῶ σημαίνει τὸ βοηθῶ καὶ τὸ ἀνθίσταμαι ἐκ τοῦ παρεπομένου· ὁ γὰρ βοηθῶν τινὶ τῶν ἀντιδίκων ἀνθίσταται. ἔστιν οὖν καὶ τὰ νῦν εἰπεῖν περὶ τῆς τοιαύτης συντάξεως δο-

www.libtool.com.cn
Digitized by Google

τικῆς οὔσης τῆς ἄσσον, μήπως ὅταν σοι τὰς ἀπροσπελάστους χεῖρας ἐπιβάλλω ἐγγὺς ἐλθόντι οὐκ ἀντιστήσονται ὅσοι θεοί εἰσιν ἐν τῷ Ὀλύμπῳ. καιρὸς ἂν εἴη καὶ τὴν ὑπόσχεσιν ἐκπληρῶσαι τῆς ἀποδείξεως τῆς Ὁμηρικῆς δόξης, εἰς δύο ἀφοριζούσης τοὺς παρ' αὐτῆς οὐρανίους καὶ ἐπιγείους κατὰ τὴν αἴτησιν Ἀγαμέμνονος περὶ μονομαχίας Ἀλεξάνδρου καὶ Μενελάου καὶ ὁποτέρου τῶν μερῶν παραβασίαν,

Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίννυσθον.

εἰπὼν γὰρ Δία καὶ θεοὺς τοὺς οὐρανίους ἠνίξατο, ποταμοὺς καὶ γῆν καὶ τοὺς ὑπένερθεν τοὺς ὑπὸ γῆν ἐδήλωσε, ὅθεν καὶ ῥῆμα δυϊκὸν ἐπήγαγε, καμόντας ἀνθρώπους τίννυσθον ἀντὶ τοῦ τιμωρήσατε, β' πρόσωπον δυϊκὸν προστακτικῆς ἐγκλίσεως. τάχα δὲ τοῦτο καὶ ἑτέρως θεραπεύεται. μάρτυρα μὲν γὰρ ἐπεισήγαγε τὸ καμόντας ἀνθρώπους τίννυσθον· ἀναγνωστέον οὖν τελείας τιθεμένης μετὰ τὸ γαῖαν οὕτως, Ζεὺς ἠέλιός τε καὶ ποταμοὶ καὶ γαῖα· εἶτα στιγμήν, καὶ εἶθ' οὕτως· καὶ οἳ ὑπένερθεν καμόντας ἀνθρώπους τίννυσθον· ἵν' ᾖ τὸ πλῆρες οὕτως,

Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
καὶ ποταμοὶ καὶ γαῖα,
ὑμεῖς μάρτυρες ἔστε, φυλάσσετε δ' ὅρκια πιστά·
καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίννυσθον ὅτις κ' ἐπίορκον ὀμόσσῃ.

ἄλλο ἀντιπτωτικὸν τῆς β', 660

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα, 31
ἕως τοῦ

www.libtool.com.cn
Digitized by Google

ἀστράπτων ἐπιδέξι' ἐναίσιμα σήματα φαίνων,
ἀντὶ τοῦ ἀστράπτοντος· προειπὼν γὰρ γενικὴν κατανεῦσαι ὑπερμενέα Κρονίωνα ἀστράπτων ἐπήνεγκεν εὐθύς. καὶ Εὐριπίδης·

πάλαι δή σ' ἐξερωτῆσαι θέλων
σχολή μ' ἀπεῖργεν,

ἀντὶ τοῦ θέλοντος ἐρωτῆσαι. ἐν δὲ τῇ γ' ἀντὶ γενικῆς Ὅμηρος ἐποίησεν εὐθεῖαν, οἷον

ἄμφω δ' ἑξομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς,

ἀντὶ τοῦ καθεζομένων. καὶ ἐν τῇ κ', σύν τε δύ' ἐρχομένω.

Περὶ δὲ Μενελάου καὶ Νέστορος καὶ Ὀδυσσέως μνήμην ποιούμενος τοὺς τρεῖς τρόπους τῆς ῥητορικῆς καθ' ἕκαστον πρόσωπον ἔδειξεν, τό τε ἀπολελυμένον καὶ πυκνὸν καὶ πιθανόν. περὶ μὲν τοῦ Μενελάου ὡς ἅτε νέου ὄντος φησίν, ὅτι ἐπιτροχάδην ἀγόρευε, τὰ μὲν πολλὰ καὶ ἔνδειξιν ἔχοντα παρατρέχων, (ἴδιον γὰρ τοῦτο νεότητος διὰ τὸ ἄπειρον τῶν ἱστοριῶν) τῶν ἀναγκαίων δὲ μόνων μνήμην ποιούμενος, ὁποῖον ὑπογράφουσιν οἱ παλαιοὶ ῥήτορες τὸν Λυσίαν· περὶ δὲ τοῦ Ὀδυσσέως φησίν, ἔπεα νιφάδεσιν ἐοικότα χειμερίῃσιν οἱ λόγοι αὐτοῦ, αἰνιττόμενος τὸ πλῆθος τοῦ λόγου ὑψηλόν τε καὶ πυκνὸν καὶ καταπληκτικόν, καὶ τὸ μεστὸν τῶν ἐνθυμημάτων καὶ τούτων ἀθρόως λεγομένων, ὁποῖός τίς ἐστιν ὁ Δημοσθένης. ἐπεισάγει δὲ τὸν Νέστορα χαρακτηρίζοντα τὸν Ἰσοκράτη· ἔχει γὰρ τὸ πιθανὸν ἐκ τῆς ἡδύτητος τοῦ λόγου, καὶ τὸ ἀξιόπιστον ἐκ τῆς πλαγιότητος καὶ πείρας τῶν ἱστοριῶν· πλήρης γὰρ δογμάτων καὶ Ἰσοκράτης κεκαλλωπισμένος τὸν λόγον εἴπερ τις ἄλλος, 661 ὅθεν καὶ οἱ τεχνικοὶ τὰ παραδείγματα τῶν παρίσων καὶ 31 ἰσοκώλων καὶ ἐπαναφορῶν καὶ ἐπαναστροφῶν καὶ πάντων τῶν σχημάτων τῶν λόγον καλλωπιζόντων ἐξ αὐτοῦ

www.libtool.com.cn
Digitized by Google

παρειλήφασιν. ἃ δὲ περὶ τοῦ Νέστορος ὁ ποιητὴς ἐπιμαρτύρεται λέγων,

τοῖσι δὲ Νέστωρ
ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής.

τοῦ καὶ ἀπὸ γλώσσης.

www.libtool.com.cn

ὅθεν καὶ Ἀγαμέμνων θαυμάζων αὐτὸν ἐγκωμιάζει δημοσίᾳ,

ἦ μὴν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.

ἀμέλει καὶ εἰς εὐχὴν τρέπεται, τοιούτους πλείστους ἔχειν γλιχόμενος,

αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθήνη
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·

καὶ ἑτέρωθεν,

ὦ γέρον, εἰθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισι
ὧς τοι γούναθ' ἕποιτο·

Τὰ πληθυντικὰ ὀνόματα τῶν οὐδετέρων ἑνικοῖς ῥήμασι συντάσσεται παρὰ τοῖς Ἀττικοῖς, ὅθεν σοφώτατος ὢν ὁ ποιητὴς ἐν ἑνὶ στοίχῳ δυσὶ διαλέκτοις ἐχρήσατο,

καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

καινοπρεπὲς

ὣς φασαν ἡ πληθύς·

καὶ ἐν τῇ ὁ,

αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο,

πρὸς τὴν σημασίαν ἐποιήσατο τὴν ἐπαγωγὴν τοῦ ῥήματος· οὕτως καὶ τὸ πᾶσα ἡ γῆ προσκυνησάτωσαν, καὶ ἐν τῇ ἐξόδῳ, φοβηθέντες δὲ ὁ λαὸς ἔστησαν μακρόθεν.

Ἄλλο. ὁ δὲ ἀγλαΐηφι πεποιθώς, ἀντὶ τοῦ τοῦ δὲ ἀγλαΐηφι πεποιθότος ῥίμφα ἑ γοῦνα φέρει, ἐπεὶ προηγουμένως εὐθυμίαν εἰ μὴ ἀρχαϊκῇ συνηθείᾳ εἴπωμεν αὐτῷ συντετάχθαι, σολοικισμὸς λογισθήσεται. συν-

Digitized by Google

τακτέον οὖν οὕτως, ὁ δὲ τῇ ἀγλαΐᾳ θαρρῶν ταχέως φέρει τὰ κατ' αὐτὸν γόνατα, ἵνα τὰ γοῦνα εἴη πτῶσις αἰτιατική, καὶ μὴ εὐθεῖα. τινὲς δὲ τῶν ἀρχαίων βιαζόμενοι καὶ παραλλαγὴν ἐμποιοῦντές φασιν, ὁ δ' ἀγλαΐῃφι πεποιθὼς ῥίμφα ἑ γοῦνα φέρει, ἤγουν τὰ ἑαυτοῦ γόνατα. ἔστι καὶ ἕτερος τρόπος, ὃς πολυσχιδής ἐστι καὶ ποικίλος, οἷον

ἄνδρ' ὁρόω κρατερώ· ὁ μὲν τόξων εὖ εἰδώς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι.

προειπὼν αἰτιατικήν, ἄνδρας ὁρῶ κρατεροὺς ἐπήνεγκεν εὐθὺς ὁ μὲν τόξων εὖ εἰδὼς ἀντὶ τοῦ, τὸν μὲν τόξων εὖ εἰδότα, Πάνδαρον υἱὸν Λυκάονος εὐχόμενον εἶναι,

Αἰνείαν δ' υἱὸν μεγαλήτορος Ἀγχίσαο·
Ἄλλο
ἔχθιστος δέ μοί ἐσσι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἔχθιστος δέ μοί ἐσσι θεῶν τὸν Ὄλυμπον ἐχόντων.

καὶ ἔστι καὶ ἕτερον εἶδος παρ' αὐτῷ σχήματος τὸ λεγόμενον προεπίζευξις· προθεὶς γὰρ ὄνομα ἑνικὸν ἓν ἐπάγει δυϊκὸν ῥῆμα ἢ πληθυντικόν, εἶθ' οὕτως ἐπάγει ἕτερον ὄνομα, οἷον

ἦχι ῥοὰς Σιμόεις συμβάλλεται ἠδὲ Σκάμανδρος·

ὤφειλε γὰρ κατὰ τὴν ἀκολουθίαν τῆς συντάξεως εἰπεῖν,

ἦχι ῥοὰς Σιμόεις συμβάλλεται, ἧ δὲ Σκάμανδρος.

ἄλλο εἶδος προτάττει ῥῆμα ἑνικοῦ ἀριθμοῦ καὶ ἐπάγει δύο πρόσωπα,

ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ.

ἄλλως, αἰτιατικὴ ἀντὶ γενικῆς.

Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
663 παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν
ὧδε βίην τ' ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάσσειν.
καί ποτέ τις εἴπῃ πατρὸς δ' ὅδε πολλὸν ἀρείων.
ἐκ πολέμου ἀνιόντα·

ἀντὶ τοῦ ἀνιόντος.

www.libjool.com.cn
Digitized by Google

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΙΣΟΚΩΛΟΥ.

Ἰσόκωλόν ἐστι φράσις δύο ἢ καὶ πλειόνων κώλων ἀπηκριβωμένων ἀλλήλοις πρὸς ἀντιστρόφου ἐμφέρειαν, οἷον

αἴδεσθεν μὲν ἀνηνάσθαι δείσαν δ' ὑποδέχθαι.

καὶ ἄλλως

χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

ΠΕΡΙ ΕΛΛΕΙΠΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν,

ἀντὶ τοῦ, γνωτὸν δὲ τοῦτο τῷ καὶ πάνυ νηπίῳ. δύο γὰρ σχήματα ἔχει ἔλλειψιν τοῦ τοῦτο, καὶ ἀλλαγὴν τῆς δοτικῆς εἰς εὐθεῖαν, ὃς μάλα νήπιός ἐστιν.

Ἄλλο εἶδος ἀντιπτώσεως ἀντὶ δοτικῆς χρησαμένου τοῦ ποιητοῦ γενικῆ.

οὐ γάρ τις φειδὼ νεκύων κατατεθνειώτων
γίνετ', ἐπεί κε θάνωσι πυρὸς μειλισσέμεν ὤκα.

ἀντὶ οὐ γάρ τις φειδὼ γίνεται τοῖς τεθνεῶσι νέκυσι χαρίζεσθαι· παρὰ γὰρ τὸ μέλι, ἐπεὶ γλυκεῖα ἡ χάρις. οὕτως ἔχει καὶ τό, μηδέτι μοι αἰδόμενος μελίσσεο, ἀντὶ τοῦ χαρίζου.

Ἄλλο καινοπρεπές· δ' ὄντων προσώπων δυϊκὸν ῥῆμα προσήγαγεν· ὁ Ἕκτωρ ἐστὶν ὁ λέγων πρὸς τοὺς οἰκείους ἵππους,

Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε, 664
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον.

ὅταν δὲ εἴπῃ, ὅτι μήποτε αἱ δύο ὀνομασίαι εἰσὶν ἐπίθετα, καὶ αἱ δύο ἕτεραι ὀνόματα ἵππων κύρια, ἀλλ' ἡ συνθήκη τοῦτο νοεῖν οὐ συγχωρεῖ· ἑκάστῳ γὰρ ὀνόματι σύνδεσμος ἕπεται συμπλεκτικός. καὶ ἡνίκα μέν εἰσι δύο ὀνόματα συνδέσμου δίχα, δύναται τὸ μὲν εἶναι κύριον ἢ προσηγορικόν, τὸ ἄλλο δὲ ἐπίθετον, ὡς τὸ δῖος

www.libtool.com.cn
Digitized by Google

Ὀδυσσεὺς ἐπίθετον καὶ κύριον ἄνευ συνδέσμου, καὶ ἀγαθὸν Διομήδην, καὶ τὰ τοιαῦτα. ἡνίκα δὲ μεταξὺ σύνδεσμος εἴη, ἢ ἄμφω κύρια ἢ ἄμφω προσηγορικὰ ἦσαν· τοῖς γὰρ ὁμοίοις ἐφευρίσκονται οἱ σύνδεσμοι, προσηγορικὰ μὲν θεοί τε καὶ ἄνδρες, κύρια δὲ Ἕκτωρ τε Πριάμοιο πάϊς καὶ δῖος Ὀδυσσεύς. ἐπεὶ οὖν ἑκάστῳ ὀνόματι σύνδεσμος ἐφήρμοσται, οἱ δὲ συμπλεκτικοὶ σύνδεσμοι ἐν τοῖς ὁμοίοις εὑρίσκονται ὡς ἂν χωρίζωσιν αὐτὰ ἐξ ἀλλήλων καὶ μὴ λογίζωνται ἓν τὰ δύο, τέσσαρες ἵπποι εἰσὶ καὶ οὐ δύο. ἀλλά φαμεν, ὅτι δύο μέν εἰσιν ἐν τῷ ζυγῷ ἵπποι, δύο παρῄοροι, καὶ διεῖλεν εἰς δύο συζυγίας τὴν τετρακτὺν τῶν ἵππων, καὶ πρὸς ἑκάστην συζυγίαν ἐπήνεγκε τὸ ῥῆμα, νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, πρὸς τὴν μίαν συζυγίαν λέγων, ἀπότινε, καὶ πρὸς τὴν ἑτέραν, ἀπότινε, καὶ πρὸς τὰς δύο, ἀποτίνετον, οὐ καθ' ἓν πρόσωπον ἁρμόζων τὴν προτροπήν, ἀλλὰ καθ' ἑκάστην συζυγίαν. πρῶτος δὲ Ἕκτωρ ὡς εὐμοιρήσας καλλίστων ἵππων τῶν ἐκ τοῦ Τρωὸς τεθρίππων ἐπέβη, ἄλλως τε καὶ θρασὺν ἡνίοχον αὐτὸν ὠνόμασεν. εἰκὸς τοίνυν ὡς θρασὺν τεθρίππῳ χρήσασθαι. φασὶ δέ τινες περὶ τοῦ δυϊκοῦ ῥήματος καὶ ὡς δύο εἰσὶν ὑποζύγιοι καὶ δύο παρῄοροι, καὶ τὸ ὅλον βάρος τῆς ἡνιοχείας καὶ οἱ ἕλκυσμοὶ τοῦ δίφρου οἱ ὑποζύγιοι φέρουσιν, ἀμέθεκτοι δὲ βάρους τυγχάνουσιν οἱ παρῄοροι, μηδεμιᾶς αὐτῶν οὔσης χρείας ἐρρωμένων τῶν ὑποζυγίων· εἰ δέ τι συμβῇ ἐκ Τρωὸς τοῖς ὑποζυγίοις, τὸ τηνικάδε χρεία καθίσταται τῶν παρῄορων ἀντ' αὐτῶν ὑπεισιόντων τῷ ζυγῷ. πρὸς οὖν τοὺς τὸ βάρος ἅπαν φέροντας τοῦ δίφρου τὸ ῥῆμα μετήνεγκε, νῦν μοι τὴν κομιδὴν ἀποτίνετον. περὶ δὲ τοῦ

οἰνόν τ' ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι,
ὡς γυνὴ λίαν φίλανδρος διὰ τὸ παρεῖναι τὸν πόλεμον

www.libtool.com.cn

Digitized by Google

τῇ ὑπερβολῇ τῆς ἐπιμελείας χρῆται τοῖς ἵπποις κεκραμένῳ οἴνῳ ὕδωρ ἐπικομίζουσα αὐτοῖς. ὅτι δὲ πρὸς τοὺς ὑποζυγίους μόνους κέχρηται τῷ ἀποτίνετον, δηλοῦσι καὶ τὰ ἑξῆς δυϊκὰ τῶν ῥημάτων, ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον. πῶς γὰρ ἂν δύναιντο σπεύδειν οἱ παρῆοροι, εἰ μὴ ἕλκουσιν οἱ ὑποζύγιοι. μᾶλλον δὲ ἔστω ὑπερβατόν, ἵνα μὴ εἰς κακόζηλον ἐμπέσῃ τὸ περὶ τοῦ οἴνου, ἵν' ᾖ οὕτως, προτέροις ὑμῖν πυρὸν ἔθηκεν ἢ ἐμοὶ πυρὸν καὶ οἶνον ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι.

www.libtool.com.cn

ΠΕΡΙ ΕΛΛΕΙΠΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ ΗΝΙΚΑ ΛΕΙΠΕΙ ΛΕΞΙΣ.

εἰ δὲ καὶ αὐτοὶ
φευγόντων σὺν νηυσὶ φίλαις εἰς πατρίδα γαίαν·
ὅμοιον σχεδὸν τῷ
ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ
ἅρσαντες κατὰ θυμόν.
ἐνταῦθα τὸ εὖ καὶ καλῶς ὅπερ ὀνομάζουσιν ἀνανταπόδοσιν, ὅτι χωρὶς ἀποδόσεως τῆς ἀπαρτιζούσης τοῦ μὲν τὴν ἀκολουθίαν ἤρξατο κώλου ἔχοντος καὶ τὸν καὶ σύνδεσμον. ἕτεροι δέ φασι περὶ τοῦ εἰ παρακελεύσεως ἐπίρρημα εἶναι ἀντὶ τοῦ, εἰ δὲ ἄγε καὶ αὐτοὶ φευγόντων σὺν νηυσὶ φίλην, ὡς τὸ σὺ δέ με ἄκουσον, καὶ τὸ ἀλλ' εἴτε καλέσειεν, ὁμοίως καὶ τὸ εἰ δ' ἄγε νῦν φίλε Φοῖβε. οὕτως οὖν καὶ τὸ εἰ δὲ καὶ αὐτοί. ὅμοιον τῆς χ'
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι,
ἀντὶ τοῦ ἄγε.
Ἄλλο καινοπρεπές·
ὅς ῥα μάλιστα
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα.
πρὸς γὰρ τὴν σημασίαν καὶ οὐ τὸν χαρακτῆρα ἀπήντησε, τὸν χρυσὸν εἰπὼν ἀγλαὰ δῶρα.

Digitized by Google

ΠΕΡΙ ΠΡΟΛΗΠΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Ὅταν ἐν μέσῳ τοῦ διηγήματος μνησθῇ τις τοῦ τέλους ὡς ἐν ἀρχῇ τῆς ω΄. μήπω γὰρ ὁ ποιητὴς διηγησάμενος τὸν θάνατον Ἕκτορος μηδὲ τὴν διαλλαγὴν Ἀχιλλέως τὸν μετὰ τὴν πόρθησιν Ἰλίου ἀφανισμὸν λέγει τοῦ τείχους, οἷον

αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι.

www.xiaoqi.com.cn

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΣΥΛΛΗΠΤΙΚΟΥ.

Συλληπτικόν ἐστι σχῆμα ὅταν περί τινων δύο προσώπων τὸ διήγημα γένηται διαφερόντων κατά τι, καὶ περὶ τῶν διαφερόντων γένηται ἡ διήγησις ὡς κοινή,

οἵ δ' ὥστε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι·
οἰκία ποιήσονται ὁδῷ ἐπὶ παιπαλοέσσῃ,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον.

ταῦτα κοινά, εἶτα

667 ἀλλὰ μένοντες
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων

ἐπήνεγκε καὶ τοῦτο κοινόν, τὸ δὲ οὐκ ἔστιν ἀλλὰ μόνον τῶν σφηκῶν· μέλισσαι μὲν γὰρ μάχονται ὑπὲρ τοῦ μέλιτος, σφῆκες δὲ ὑπὲρ τῶν τέκνων· κοινὸν οὖν γεγονὸς ἐποίησε σχῆμα συλληπτικόν, συλλαβομένων τῶν μελισσῶν μετὰ τῶν σφηκων.

ΠΕΡΙ ΚΡΕΜΑΜΕΝΟΥ ΣΧΗΜΑΤΟΣ.

ὣς Ἕκτωρ εἶως μὲν ἀπείλει μέχρι θαλάσσης
ῥέα διελεύσεσθαι.

εἰπὼν γὰρ εἶως οὐκ εἶπεν ἀπόδοσιν αὐτοῦ, ἀλλ' ἐποιήσατο ἑτέραν ἀρχήν,

ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξιν.

ἔστιν οὖν εἰπεῖν ἐλλειπτικὸν εἶναι τρόπον λείποντος τοῦ

Digitized by Google

τινός, ἵν' ᾖ τὸ πλῆρες οὕτως· ὡς Ἕκτωρ, ἕως μέν τινος ἠπείλει μέχρι θαλάσσης, καὶ ἔξῃς.

Ἄλλο εἶδος καινοπρεποῦς σχήματος,

ἔρχομαι εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
τό νυ γὰρ κατέαξαμεν ὀβριμοπάτρης Ἀχιλῆος.

ΠΕΡΙ ΩΡΑΙΑΣ ΠΑΡΙΣΩΣΕΩΣ.

ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι· τὸ πάρισον, μεγάλα στενάχουσι ῥέουσαι, καὶ μεγάλα στενάχουσι θέουσαι.

Καινοπρεπὲς εἶδος ἄλλο ἐν τῇ π'

δύνασαι δὲ σὺ παντὸς ἀκούειν
ἀνέρι κηδομένῳ.

εἰπὼν γενικὴν τὸ παντὸς ἐπήνεγκε τὸ ἀνέρι κηδομένῳ. κρεῖσσον δέ ἐστι τὸ παντὸς μὴ εἶναι γενικήν, 668
ἀλλ' ἐπίρρημα πάντοσε καὶ ἐν ἀκριβεστέροις εὕρομεν. 15

Ἄλλως, ὅτι τὸ εἶπεν ὡς λειπούσης τῆς πρὸς αἰτιατικῇ συνέταξε,

καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων.

ΕΙΔΟΣ ΣΤΝΤΑΞΕΩΣ ΓΕΝΙΚΗΣ ΕΝΙΚΗΣ.

Ἐπιμεριζομένου ὀνόματος ὀνόματα προηγουμένου 20
ἐπήνεγκε γενικὴν πληθυντικοῦ ἐν τῇ ψ'

πάτασσε δὲ θυμὸς ἑκάστου
νίκης ἱεμένων.

Ἄλλο καινοπρεπὲς τῆς β'

τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, 25
ἕως τοῦ ἀγαλλόμεναι πτερύγεσσιν· εἰπὼν ὀρνίθων ἔθνεα ἐπήνεγκεν ἀγαλλόμεναι θηλυκὸν ὄνομα, οὐ πρὸς τὸ ἐκφαινόμενον, οἱονεὶ τὰ ἔθνεα, ἀλλὰ πρὸς τὸ νοούμενον τὸ ὀρνίθων· τὰ γὰρ ἔθνεα ὄρνεις εἰσίν, ὡς τὸ κίνηθεν δὲ φάλαγγες, ἐλπόμενοι παρὰ ναῦφι· 30

Digitized by Google

αἱ γὰρ φάλαγγες εἰ καὶ θηλυκοῦ γένους εἰσὶ κατὰ τὸ
669 ἐκφωνούμενον, ἀλλὰ κατὰ τὸ νοούμενον ἀρσενικοῦ
γένους εἰσίν· αἱ γὰρ στρατιωτικαὶ τάξεις ἀνδρῶν εἰσιν,
οὐ γυναικῶν.

Ἄλλο τῆς β΄

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῷ,
ἕως τὸ
ἀστράπτων ἐπιδέξι' ἐναίσιμα σήματα φαίνων.

εἴπομεν ἐν τοῖς ἔμπροσθεν δόξαν τὴν τῶν πρὸ ἡμῶν περὶ
τῆς τοιαύτης συντάξεως ὡς εὐθείᾳ ἀντὶ αἰτιατικῆς ἐχρή-
σατο ὁ ποιητής· εἰπὼν γὰρ ὑπερμενέα Κρονίωνα κατα-
νεῦσαι ἀστράπτων ἀντὶ τοῦ ἀστράπτοντα. κρεῖσσον οὖν
φάναι ὡς δεῖ τοῦτο τιθέναι πρὸ τοῦ ἀστράπτων, ἵν'
η τὸ λεγόμενον οὕτως,

φησὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῷ ὅτε νηυσὶν ἐπ' ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι, Τρώεσσι φόνον καὶ κῆρα φέροντες.

τελεία. εἶτα ὡς ἐπανάληψιν ποιήσασθαι τοῦ Διὸς ἐπὶ
συστάσει προσώπου ὁ ἀπαστράπτων ἐπιδεξίως καὶ ἐπίση-
μα τέρατα καὶ σημεῖα φαίνων· καὶ ἔστι τοῦτο ἑρμηνεία
τοῦ Διὸς ἢ μᾶλλον ἐπὶ πράγματος διδασκαλία, ὡς τὸ

ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας τοὶ διχθὰ δεδαίαται·

ἐπανελάβετο γὰρ τὸ Αἰθίοπας ὄνομα, ἵνα δείξῃ δύο
ἔθνη Αἰθιόπων· οὕτω καὶ ἐνταῦθα

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,
ὁ Κρονίων ὁ ἀστράπτων ἐπιδέξια ἐναίσιμα σήματα φαί-
νων. ἀλλ' ἐσιώπησε τὸ Κρονίων μὴ ἀναδιπλασιάσαι αὐ-
τό, διόπερ τινὸς ἐρωτήσαντος, ποῖος Κρονίων κατένευ-
670 σεν, ὁ ἀστράπτων ἐπιδέξι' ἐναίσιμα σήματα. κρεῖσσον
δὲ τὸ πρώην ὡς ἐν τῇ πέμπτῃ,

ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
ἵν' ἀπέλεθρον ἔχοντας, ὁ μὲν τόξων εὖ εἰδὼς
Πάνδαρος, ὁ δ' αὖτε Λυκάονος εὔχεται εἶναι.

Τέλος· τῷ θεῷ δόξα εἰς τοὺς αἰῶνας Ἀμήν.

Digitized by Google

XXV.

ΖΩΝΑΙΟΥ

www.libtool.com.cn

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΤΩΝ ΚΑΤΑ ΛΟΓΟΝ. 673

Τῶν τοῦ λόγου σχημάτων τὰ μέν εἰσι κατ᾽ ἔννοιαν, τὰ δὲ κατὰ λέξιν. καὶ τὰ κατ᾽ ἔννοιαν εἰσὶ ταῦτα· προδιόρθωσις, ἐπιδιόρθωσις, ἀμφιδιόρθωσις, προκατάληψις, ὑπεξαίρεσις, αἰτιολογία, συναθροισμός, ἐπιμονή, λεπτολογία, ἠθοποιΐα, προσωποποιΐα, ἐπιτροχασμός, ἀποσιώπησις, παράλειψις, ἀποστροφή, διαπόρησις, ἐρώτημα, πύσμα, διατύπωσις, ἀντεισαγωγή, μετάστασις, εἰρωνεία, διασυρμός, ἐπανάληψις, ἐπαναφορά, διπλῆ ἐπαναφορά. 674 11

α΄. Τί ἐστι προδιόρθωσις; ὅταν θεραπεύωμεν τὸ ῥηθήσεσθαι μέλλον ὡς δυσπαράδεκτον τοῖς ἀκροαταῖς, ὡς τὸ τολμᾷ τι νεανικὸν ὁ λόγος.

β΄. Ἐπιδιόρθωσις τῇ μὲν χρείᾳ ταὐτὸν τῇ προδιορθώσει, διαφέρει δέ, ὅτι τὴν τοῦ λόγου θεραπείαν ὕστερον τίθησιν, ὡς τὸ

οὐκ οἶδ᾽ ὅπως εἰς τοὐσδ᾽ ἐμπίπτω τοὺς λόγους.

γ΄. Ἀμφιδιόρθωσις μῖξις ἀπ᾽ ἀμφοῖν, ὅταν καὶ πρὸ τοῦ εἰπεῖν τὸ δυσχερὲς καὶ μετὰ τὸ εἰπεῖν θεραπεύωμεν, ὡς τὸ βούλεσθε προσθῶ τι νεανικόν· ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμετέρας γινομένας.

δ΄. Προκατάληψις, ὅταν προεκλύῃ τις τὸν τοῦ ἀντιδίκου λόγον, ὃν ἔχειν ἰσχυρὸν οἴεται, ὡς τὸ ἥκει δὲ ἡμῖν ὁ λόγος ἐπ᾽ αὐτὸ τὸ κεφάλαιον.

Digitized by Google

675 ε'. Ὑπεξαίρεσίς ἐστιν, ὅταν ὑπεξελών τις πρόσωπον ἢ πρᾶγμα πρὸς τὰ λοιπὰ ποιῆται τὴν σύγκρισιν, ὡς τὸ μετὰ τὴν Ὁμήρειον Μοῦσαν ἡ Ἡσιόδειος.

στ'. Αἰτιολογία, ὅταν αἰτίαν λόγου ἀποδῶμεν, ὡς τὸ ἡ ἀρετὴ διὰ τὴν παιδείαν, καὶ ἡ κακία διὰ τὴν ἀμάθειαν.

ζ'. Συναθροισμός, συναγωγὴ πραγμάτων εἰς ἓν κεφάλαιον, ὡς τὸ δῆμοι στασιάζοντες, καὶ πόλεις καὶ γένη ῥηγνύμενα, καὶ οἰκίαι διϊστάμεναι.

η'. Ἐπιμονή, ὡς ὅταν ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐπιμένωμεν χάριν αὐξήσεως, ὡς τὸ εἰ γὰρ τὸ Βυζάντιον τῆς οἰκουμένης ὀφθαλμός, γῆς καὶ θαλάττης ὅτι κράτιστον, ἑῴας καὶ ἑσπερίου λήξεως σύνδεσμος, εἰς ἣν τὰ παντα-
676 χόθεν ἄκρα συντρέχει καὶ ὅθεν ἄρχεται.

θ'. Λεπτολογία, ὅταν ἕκαστον τῶν συμβεβηκότων ἢ συμβαινόντων διέξιωμεν ἀκριβῶς, οἷον ἀνάπτεται πῦρ, δαπανᾶται ἡ ναῦς, συνδαπανᾶται ὁ φόρτος, πῦρ ὕδατι μίγνυται, καὶ πυρσὸς ὑπὲρ θαλάσσης αἴρεται ξένος.

ι'. Ἠθοποιΐα, ὅταν λόγους παρατιθῶμεν ἀψύχοις πράγμασιν, ὡς τὸ εἶπε τὰ ξύλα, πρῆσαι ἐφ' ἑαυτοῖς βασιλέα, καὶ ἡ θάλασσα τὰ καὶ τά.

ια'. Προσωποποιΐα, προσώπου διάπλασις ἢ μὴ γενομένου, ἢ γενομένου μέν, οὐκέτι δὲ ὄντος, ὡς τὸ ἀνακαλεῖται λίαν ἐλεεινῶς ἡ μήτηρ, τέκνον λέγουσα δυστυχές, καὶ ἀθλίας μητρὸς ἔκγονον.

ιβ'. Ἐπιτροχασμός, σχῆμα προσκείμενον τῷ τε συναθροισμῷ καὶ τῇ ἐπιμονῇ, διαφέρει δὲ ἐκείνων, ὅτι τὰ

Digitized by Google

πολὺ διεστηκότα συνάγει, ὡς τὸ ὑπεσπῶντο σύμ- 677
παντες παρὰ τοῦ νέου ὑπάτου, πρόσοδοι
διηρπάζοντο, στρατιῶται τῶν φρουρῶν οἱ
μὲν ἀπηλαύνοντο, οἱ δὲ ἀντεισήγοντο.

ιγ'. Ἀποσιώπησις λόγος παραλείπων τὸ γινωσκόμε- 5
νον καὶ σιωπῶν τὸ αἰσχρόν, ὡς τὸ οἶδεν Ἐλευσὶς
ταῦτα καὶ οἱ τῶν σιωπωμένων καὶ σιωπῆς
ὄντως ἀξίων ἐπόπται. καὶ ὡς τὸ καὶ τὸ δύσ-
φημον σιωπήσομαι.

ιδ'. Παράλειψις, ὅταν τι προσποιούμενοι παραλεί- 10
πειν οὐδὲν ἧττον λέγωμεν αὐτό, τὸν γὰρ Πρωτέα
παρίημι τοῦ μύθου τὸν σοφιστήν.

ιε'. Ἀποστροφή, ὅταν ἀφ' ἑτέρου πρὸς ἕτερον πρό-
σωπον ἀποστρέψωμεν τὸν λόγον, ὡς τὸ ὡς δὲ εἶχεν
αὐτῷ κατὰ νοῦν τὰ πλησίον, οὕτως ἤδη 15
πειρᾶται, εὐηθέστατα καὶ σκαιότατα καὶ
κατὰ τοσούτου κλήρου.

ις'. Διαπόρησις, ὅταν περὶ ἑνὸς πράγματος διπλᾶς 678
ἢ καὶ πλείους ἔχωμεν ἐννοίας ἀγνοοῦντες, ὁποτέρα τού-
των ἀληθής, ὡς τὸ οὐκ οἶδα εἴτε τῇ τάξει τῆς 20
στάσεως μεριζομένη τὸν φωτισμόν, εἴτε
τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμ-
βάνουσα.

ιζ'. Ἐρώτημα, οὗ σύντομος ἡ ἀπόκρισις, διὰ τοῦ
ναὶ ἢ τοῦ οὔ προχωροῦσα, ὡς τὸ οὐ δέχει παιδείαν, 25
οὐ δίδως τῇ κακίᾳ χώραν;

ιη'. Πύσμα, οὗ ἡ ἀπόκρισις μακρὰ καὶ διεξοδικῶς
λεγομένη, ὡς τὸ ἐπὶ ποίας τοι γὰρ ἰτέου; καὶ
τίνας φυλακτέον;

ιθ'. Διατύπωσις, ὅταν ὑπ' ὄψιν ἄγεσθαι δοκῶσι 30
τὰ πράγματα· καὶ γὰρ ἦν ὄντως κἀκεῖνα θρή-
νων καὶ ὀδυρμῶν ἄξια· πῶς δ' οὐ τῶν με-

Digitized by Google

γίστων; τείχη κατεσκαμμένα, καὶ οἶκοι ἀνάστατοι.

κ'. Ἀντεισαγωγή, ὅταν ἀνθ' ἑτέρου πράγματος ἕτερον ἀντεισάγωμεν τιμιώτερον, συμβουλεύοντες ἢ παραμυθούμενοι, ὡς τὸ λυπεῖσθε τῆς διαζεύξεως, ἀλλ' εὐφραίνεσθε τῆς ἐλπίδος.

κά. Μετάστασις, ὅταν ἀφ' ἑαυτῶν τὴν αἰτίαν εἰς ἕτερον μεθιστῶμεν, ὡς τὸ οὐδὲ τοῦ ἀμήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείροντος, οὐδὲ τοῦ κατασβέσαι μὴ δυνηθέντος ὁ ἐμπρησμός, ἀλλὰ τοῦ ἀνάψαντος.

κβ'. Εἰρωνεία, λόγος προσποιούμενος τὸ ἐναντίον οὗ λέγει, ὡς παρ' Εὐριπίδῃ προεισποῦσα ἡ Μήδεια, ὅσων προϋπῆρξεν εἰς τὸν ἄνδρα εὐεργεσιῶν, παθητικώτατα ἐπιφέρει,

τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαίας ἐκβεβλημένη,
δόμων ἔρημος σὺν τέκνοις μόνοις μόνη.

κγ'. Διασυρμός, ὅταν τι διαβάλλωμεν ἀξιοπίστως, ὡς τὸ ἢ καὶ τὸ τριβώνιον αἰτιάσῃ, καὶ τοῦ προσώπου τὴν θέσιν οὐκ εὐφυῶς ἔχουσαν.

κδ'. Ἐπανάληψις ἀνάληψις προειρημένου, μεταξυλογίας ἐμβαλλομένης, ὡς εἴ τις εἴποι, ὁ δεῖνα στρατηγὸς ηὔξησε τὰ τῶν στρατιωτῶν, εἶτα μεταξὺ εἰπών, πῶς ηὔξησεν, ἐπαναμνήσοι πάλιν, αὐξήσαντος οὖν τούτου τὰ τῶν στρατιωτῶν, τάδε γέγονεν.

κε. Ἐπαναφορὰ πλειόνων κώλων ἢ ῥημάτων ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένων συνεκδοχή, ὡς εἴ τις λέγοι,

Digitized by Google

σὺ τὸν Γάγγην ἐγεφύρωσας, σὺ τὸ στράτευμα διαβαίνειν πεποίηκας.

κς. Διπλῆ ἐπαναφορά ἐστι πλειόνων κώλων ἢ ῥημάτων ἀπὸ τῶν αὐτῶν λέξεων ἀρχομένων συνεκδοχή, ὡς τὸ παρὰ τοσούτοις οἱ ἡμέτεροι παιδευταί, παρ' ὅσοις Ἀθῆναι, παρὰ τοσούτοις δὲ ἡμεῖς, παρ' ὅσοις οἱ παιδευταί. καὶ πάλιν, σὺ τὸν Ξέρξην, κἀγὼ τὸν Κῦρον· σὺ τὸν Δαρεῖον, κἀγὼ τὸν Κροῖσον.

www.libook.com.cn

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΤΩΝ ΚΑΤΑ ΛΕΞΙΝ. 681

Πόσα εἰσὶ κατὰ λέξιν καὶ ποῖα; ὁμοίως εἴκοσι ἕξ, 11 ὡς καὶ τὰ προειρημένα.

Εἰσὶ δὲ ταῦτα, ταυτολογία, παλιλλογία, ἀναδίπλωσις, ἀντιστροφή, συμπλοκή, ἐπάνοδος, κλιμακωτόν, προδιασάφησις, πλεονασμός, ἔλλειψις, ἀλλοίωσις, πολύπτωτον, μεταβολή, ζεῦγμα, παρονομασία, ἥ καὶ παρήχησις, ὁμοιοτέλευτον, πάρισον, ὁμοιόπτωτον, ἀσύνδετον, ἀντίθετον, σύγκρισις, ᾧ σχήματι πλησιάζει καὶ ἡ ἀντίθεσις καὶ ἡ ἀντιβολή, ἀντεναντίωσις, προαπάντησις, ὑπαλλαγή, περίφρασις καὶ ὑπερβατόν.

ά. Ταυτολογία ἐστὶ λέξεων παράλληλος θέσις τὸ αὐτὸ σημαινουσῶν, οἷον ὀξύς ἐστι καὶ ταχύς, ἀλλ' οὐ νωθὴς καὶ βραδύς.

β'. Παλιλλογία ἐστὶ λέξις ἢ φράσις τοῦ μὲν προηγουμένου κώλου κατάληξις, τοῦ δὲ ἑπομένου ἀρχή, ὡς ἂν εἴποι τις, προῦκυψε μαρμαρυγή, προῦκυψε ξανθὴ Λαΐς, Λαΐς τὴν τοῦ Φιλωνίδου οὐσίαν ἐγκάψασα.

γ'. Ἀναδίπλωσίς ἐστι λέξεων προφορὰ ἐπάλληλος, 682 οἷον λέγε, λέγε τἀληθές· γίνεται δὲ καὶ μεταξὺ

Digitized by Google

λέξεως ἐμβεβλημένης, ὡς τὸ ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν.

δ'. Ἀντιστροφή ἐστι τὸ ἐναντίον τῆς ἐπαναφορᾶς· ὡς γὰρ ἐκείνη ἀπὸ τοῦ αὐτοῦ ἄρχεται, οὕτως αὕτη εἰς τὸ αὐτὸ λήγει, οἷον πλήξον τὸν τύραννον, σφάξον τὸν τύραννον, καρατόμησον τὸν τύραννον.

ε. Συμπλοκή ἐστι σύνθεσις ἔκ τε τῆς ἐπαναφορᾶς καὶ τῆς ἐπαναστροφῆς, ὡς ἂν εἴποι τις, ὧν ἡδέα μὲν τὰ μηνύματα ἡμῖν τῶν τὴν σὴν εἰρήνην κηρυττόντων, ἡδέα καὶ τὰ στόματα τῶν τὴν σὴν δόξαν κηρυττόντων.

ς'. Ἐπάνοδός ἐστιν, ὅταν δύο τινὰ προτιθέντες κεκρυμμένας ἔτι διανοίας ἔχοντα ἐπανίωμεν εἰς αὐτὰ καὶ σαφηνίζωμεν, οἷον διττοῦ δὲ ὄντος λόγου παντός, καὶ τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος, ἡμεῖς τὰ οἰκεῖα ἐκθέμενοι πρότερον οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα.

683 ζ'. Κλιμακωτὸν δὲ γίνεται, ὅταν ἐπὶ πλέον προτείνοντες τὸ προκείμενον κεφάλαιον ἕκαστον κόμμα τελευτὴν λόγου καὶ ἀρχὴν ποιήσωμεν, ὡς τὸ Ἥφαιστος μὲν ἔδωκε Διΐ, Ζεὺς δὲ τῷ Ἑρμῇ, Ἑρμῆς δὲ τοῖς ἄλλοις.

η. Προδιασάφησίς ἐστιν, ὅταν πεπληρωμένῳ λόγῳ ἐπενεχθῇ ὄνομά τι πλέον διασαφοῦν, οἷον περινοεῖ τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον· πλήρει γὰρ τῷ λόγῳ ἐπῆκται ἡ διάνοια.

θ'. Πλεονασμός ἐστιν, ὅταν λόγου μόριον προστεθῇ περιττὸν κόσμου χάριν ἢ ἐμφάσεως, οὗ ἀφαιρεθέντος ἡ διάνοια οὐδὲν βλάπτεται, οἷον τὸ μὲν δὴ σόν, ὦ βασιλεῦ, τὸ δὴ γὰρ περισσόν.

www.libtool.com.cn
Digitized by Google

ι. Ἔλλειψίς ἐστιν, ὅταν ᾖ περιῃρημένον μέρος λόγου τι συντομίας ἕνεκα, οἷόν ἐστι

δώδεκα γὰρ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων, 684
πεζὸς δ' ἔνδεκα φημί.

www.libtool.com.cn

λείπει δὲ τὸ ἀλάπαξα, νοεῖται δ' ἐκ τῶν προειρημένων. 5
κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν·

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

ἐνδεῖ γὰρ τὸ ἐστί· καὶ

ὦ πόποι ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο.

λείπει γὰρ τὸ πάρεστιν ἢ συμβέβηκε· καὶ μυριαχοῦ 10
ἐστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς. καὶ τόδε·

ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί·

ἄρσαντες κατὰ θυμὸν ὅπως ἀντάξιον ἔσται·

λείπει, ἀγαθὸν ἢ δίκαιον ἢ τοιοῦτόν τι δηλονότι ἔσται· εἰ δὲ μὴ δώσουσιν, ἐγὼ ποιήσω τάδε. καὶ παρὰ τῷ Κω- 15
μικῷ, ἐὰν μὲν ἀποφήνω ἀγαθῶν πάντων αἰτίαν ἐμέ· εἰ δὲ μή, ποιεῖτε ὅπερ ἂν δοκῇ ὑμῖν.

Ἄλλως. ἔλλειψίς ἐστι λέξις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη. γίνεται δὲ κατ' ἀρχήν, κατὰ μέσον καὶ κατὰ τέλος. λέγεται δὲ τὸ κατ' ἀρχὴν ἀφαίρεσις, οἷον λεί- 20
βειν εἴβειν· τὸ κατὰ μέσον συγκοπή, οἷον μονόνυχας μώνυχας· τὸ κατὰ τέλος ἀποκοπή, οἷον δῶμα δῶ. ἔλλειψις στοιχείου, οἷον γαῖα αἶα. ἔλλειψις συλλαβῆς, ἀστράπτει, στράπτει, ἀμφιφορεὺς ἀμφορεύς, Ἀπόλλωνα Ἄπολλω. ἔλλειψις λόγου· 25

κἄπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,

ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ·

ἐλλείπει τὸ ἐβούλου, ἢ εἰ ἦν δυνατὸν ἄνθρωπον ὄντα 685
διαγνῶναι τὰ θεῖα. ἔλλειψις ὀνομάτων ῥημάτων καὶ προθέσεων· πάντα γὰρ λόγον ἐξ ὀνόματος καὶ ῥήματος 30
ἀνάγκη συνίστασθαι, ἀλλὰ οἱ Ἀττικοὶ συντομίας χάριν ἐνίοτε θάτερον τούτων νοεῖσθαι διδόασιν, ἐπὶ ὀνόμα-

Digitized by Google

τος, οἷον ἐνταῦθα πωλεῖν τε χρὴ καὶ ὠνεῖσθαι, λείπει τὸ τινὰ ἄνθρωπον δηλονότι.

ιά. Ἀλλοίωσις ἤτοι ἐναλλαγὴ κατὰ πολλοὺς γίνεται τρόπους· καὶ γὰρ περὶ γένη ὀνομάτων καὶ περὶ ἀριθμοὺς καὶ περὶ πτώσεις καὶ περὶ ἐνεργείας καὶ πάθη καὶ χρόνους, καὶ περὶ μὲν γένη ὀνομάτων, οἷον πᾶσα ἡ Ἑλλὰς ἐσιδηροφόρει, ἀντὶ τοῦ οἱ Ἕλληνες, καὶ τίμιον ἡ ἀρετή, ἀντὶ τοῦ ὁ ἐνάρετος· περὶ ἀριθμούς, οἷον μέγας ὁ καθελὼν τὴν Τροίαν, ἀντὶ τοῦ μεγάλοι οἱ καθελόντες· περὶ δὲ πτώσεις, μῆνιν ἄειδε θεά, ἢ μυρί' Ἀχαιοῖς ἀπὸ αἰτιατικῆς γὰρ εἰς εὐθεῖαν μετέ- 686 πεσε· περὶ ἐνεργείας καὶ πάθη, οἷον οὐκ ἐπιμιγνῦντες ἀλλήλοις, ἀντὶ τοῦ οὐκ ἐπιμιγνύμενοι· περὶ δὲ χρόνους, ὡς τὸ παρέξομαι τοὺς ὁρῶντας μάρτυρας.

ιβ'. Πολύπτωτον λέγεται, ὅταν ὁ αὐτὸς λόγος πολλῶν πτώσεων ἀντιλαμβάνηται, ὡς τὸ οὗτος ἦν φίλος αὐτοῦ, οὗτος προστάτης, οὗτος κηδεμὼν ἦν.

ιγ'. Μεταβολή ἐστιν, ὅταν τὸ αὐτὸ νόημα διαφόρως ἐξαγγελθῇ, ὡς τὸ τίνος διώκοντος ἢ συναναγκάζοντος; οὐδενός· τίνων ἱππέων, τίνος ὑλακῆς ἢ κραυγῆς;

ιδ'. Ζεῦγμά ἐστιν, ὅταν διάφορα κῶλα μία συνδῇ λέξις ἢ μετ' αὐτὰ τεθεῖσα ἢ πρὸ αὐτῶν, οἷον τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾶον, τῶν δὲ τὸ ἥσυχον, τῶν δὲ τοὺς κινδύνους, τῶν δὲ τὰ πλείω, τῶν δὲ τὰ πάντα μιμησάμενος. τὸ γὰρ μιμησάμενος ζεύγνυσι τὰ κῶλα.

ιέ. Παρονομασία ἐστίν, ὅταν τι τῶν ληφθέντων εἰς 687 διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες 31 ἑτέραν κινήσωμεν ἔννοιαν, οἷον οὐ τὴν ὑλακήν,

www.hotoo1.com.cn
Digitized by Google

ἀλλὰ τὴν φυλακήν, καὶ τῆς ἐμῆς εἴτε ἀπονοίας, εἴτε ἀνοίας, ὃ καὶ παρήχησις ὀνομάζεται.

ις΄. Ὁμοιοτέλευτόν ἐστιν, ὅταν πολλὰ κῶλα τὴν αὐτὴν συλλαβὴν ἔχωσι κατάληξιν, οἷόν ἐστι τὸ

οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
δεύεται, οὔτε χιὼν ἐπὶ πίλναται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀννέφελος·

καὶ ὡς ἂν εἴποι τις, λέγετε, φέρετε, χαίρετε.

ιζ΄. Πάρισόν ἐστιν, ὅταν δύο ἢ καὶ πλείονα κῶλα μάλιστα μὲν καὶ τὰς συλλαβὰς ἴσας ἔχῃ· εἰ δ' οὖν, ἀλλά γε τὸ γένος καὶ τὸν ἀριθμὸν καὶ τὸν ῥυθμόν, οἷον τίνα μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πιθήκων ὁρμήματα;

ιή. Ὁμοιόπτωτόν ἐστιν, ὅταν ἡ αὐτὴ πτῶσις ἐπὶ τὸ 688
αὐτὸ ὄνομα διαφόρως φέρηται, οἷον ὦ μὲν ἐπὶ τὰ μεγάλα τῶν ἔργων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν λόγοις τόλμαν θαυμασιώτατε.

ιθ΄. Ἀσύνδετόν ἐστιν, ὅταν χωρὶς τῶν συναπτόντων συνδέσμων ἐκφέρωμεν τὸν λόγον, οἷον φθάνει τοὺς ταχεῖς, σφάλλει τοὺς συνετούς, περιτρέπει τοὺς ἰσχυρούς, συστέλλει τοὺς ὑψηλούς.

κ΄. Ἀντίθετον γίνεται κατὰ δύο τρόπους, καθ' ἕνα μέν, ὅταν τὰ ἀντικείμενα ὀνόματα λαμβάνωνται, οἷον μᾶλλον τιμῶσιν αἱ πόλεις τοὺς ἀδίκως πλουτοῦντας, ἢ τοὺς δικαίως πενομένους· καθ' ἕτερον δέ, ὅταν ἀντιδιαστέλληται κατάφασις ἀποφάσει, ὡς τὸ σὺ μὲν ἔλαβες δῶρα, ἐγὼ δ' οὐκ ἔλαβον.

κά. Σύγκρισίς ἐστιν, ὅταν πλεονάκις ταῖς αὐταῖς χρώμενοι λέξεσιν ἕτερα σημαίνωμεν, οἷον εἰ μὲν θεός, οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐ θεός.

κβ΄. Ἀντεναντίωσίς ἐστιν, ὅταν εἰπεῖν τι βουλό- 689

www.libtool.com.cn

Digitized by Google

μενοι διὰ τοῦ ἐναντίου δηλώσωμεν, οἷον ἴσως οὐ τῶν πολλῶν ἐγενόμην φαυλότερος.

κγ'. Προαπάντησις γίνεται, ὅταν δύο τινὰ θέντες πρὸς τὸ δεύτερον ἀπαντήσωμεν πρότερον, οἷον καλὸν παιδεία καὶ πλοῦτος, ἐφ' ὅσον ὁ μὲν τὸ σῶμα κοσμεῖ, ἡ δὲ τὴν ψυχὴν καλλύνει.

κδ'. Ὑπαλλαγή ἐστιν, ὅταν ἐπιτιμήσαντες τῷ πρώτῳ ὀνόματι ἕτερον προσλάβωμεν, οἷον οὐκ ἔστι τοῦτο φιλανθρωπία, ἀλλ' ἔρως, καὶ οὐκ ὠργίζετο, ἀλλ' ἐμαίνετο.

κέ. Περίφρασίς ἐστιν, ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον διὰ πλειόνων ἐκφέρηται, οἷον βίη Ἡρακλείη, καὶ μένος Ἀλκινόοιο.

κς'. Ὑπερβατόν ἐστιν, ὅταν τῆς συνεχείας τοῦ νοήματος διακοπείσης ὑπὸ μεταξυλογίας ἐμβληθείσης ὕστερον τὸ λεῖπον ἀποδοθῇ, οἷον ἐμοῦ μέτα ἀντὶ τοῦ μετ' ἐμοῦ, καὶ ἄπ' ἐμ' ὀλεῖς ἀντὶ τοῦ ἀπολεῖς ἐμέ.

www.libtool.com.cn

Digitized by Google

XXVI.

www.libtool.com.cn

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

Σχῆμά ἐστιν ἁμάρτημα μετὰ λόγου πεποιημένον. ἔστι δὲ διπλοῦν, ἤγουν λόγου καὶ συντάξεως. εἰσὶ δὲ ὀκτὼ τῆς συντάξεως, πρόληψις, σύλληψις, ξεῦγμα, σύνθεσις, ἀντίπτωσις, ἐπιφώνημα, πρόσθεσις, συνεκδοχή.

Πρόληψίς ἐστιν ἀπόδοσις τῆς ἰδιότητος τῷ ὅλῳ ἐν αὐτοῦ μέρεσι διῃρημένῳ, οἷον ἀετοὶ πέτανται, οὗτος ἄνωθεν, ἐκεῖνος κάτωθεν. ἐν τῇ προλήψει ζητοῦνται ἑ. τὸ ὅλον, τὰ μέρη τοῦ ὅλου, ἡ ἀπόδειξις τῶν μερῶν, ἡ ἰδιότης ἤτοι τὸ ῥῆμα, καὶ ἡ τάξις. διπλῆ ἐστιν ἡ πρόληψις, ἐν νῷ καὶ ἐν γράμματι, ἤγουν σώα καὶ ἀτελής, τουτέστιν ἔν τινι σιωπῶσά τινα. καὶ σώα ἐστὶν ἤγουν ἡ ἐν νῷ καὶ ἐν γράμματι, ἐν ᾗ τὰ ἑ ζητούμενα, οἷον ὁ Καῖσαρ καὶ ὁ Πομπεῖος μάχονται, εἷς ὅπλοις, ἕτερος 695
δόλῳ. ἡ ἐλλειπής ἐστιν, ἐν ᾗ σιωπῶνταί τινα, οἷον οἱ 16
ἄνθρωποι φθονοῦσιν ἕτερος ἑτέρῳ.

Σύλληψίς ἐστι συναθροισμὸς διαφόρων λέξεων ὑπὸ πληθυντικῆς ἰδιότητος. ἐν τῇ συλλήψει ζητεῖται ἑ, λέξις συλλαμβάνουσα, λέξις συλλαμβανομένη, ἡ ἰδιότης ῥήματος ᾗ ἐπιθέτου πληθυντικοῦ ἀριθμοῦ, σύνδεσμος, ἡ ἰδιότης ἰσάζουσα μετὰ τῆς λέξεως τῆς συλλαμβανούσης. κατὰ δ' τρόπους γίνεται ἡ σύλληψις, ἐν γένει, ἐν ἀριθμῷ, ἐν προσώπῳ, ἐν πτώσει. ἐν γένει τὸ γένος τὸ ἀρσενικὸν συλλαμβάνει τὸ θηλυκὸν καὶ τὸ οὐδέτερον, οἷον

Digitized by Google

ὁ ἔριφος καὶ ἡ αἶξ καὶ τὸ ἀρνίον μέλανες. τὸ θηλυκὸν συλλαμβάνει τὸ οὐδέτερον, οἷον ἡ ὄρνις καὶ τὸ ὑποζύγιον ἰσχυραὶ ἢ στεραιαί. ἀλλ' ἐνίοτε μὲν συλλαμβάνεται τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν διὰ τοῦ οὐδετέρου τῇ αἰτίᾳ τῆς μείζονος σημασίας, οἷον ὁ ἀνὴρ καὶ ἡ γυνὴ καὶ τὰ ζῶά εἰσι λευκά. ἐν ἀριθμῷ ὁ πληθυντικὸς ἀριθμὸς συλλαμβάνει ἑνικόν, οἷον οἱ στρατιῶται καὶ ὁ τριβοῦνος πολεμοῦσιν. ἐν προσώπῳ τὸ πρῶτον μὲν πρόσωπον συλλαμβάνει δεύτερον καὶ τρίτον, οἷον ἐγὼ καὶ σὺ καὶ ὁ Νικόλαος βουλόμεθα· τὸ δὲ δεύτερον συλλαμβάνει τὸ τρίτον, οἷον καὶ σὺ καὶ ὁ Φραγκίσκος ὑπνεῖτε. ἐν πτώσει ἡ ὀνομαστικὴ συλλαμβάνει ἑτέραν πτῶσιν μετὰ προθέσεως, οἷον ὁ ἵππος μετὰ τοῦ ὄνου τρέχουσιν. ἔστι δὲ διπλῆ ἡ σύλληψις, ὁμοία καὶ ἀνομοία. ὁμοία ἐστίν, ἥτις γίνεται ἐν ὁμοίαις πτώσεσιν, οἷον ἐγὼ καὶ ὁ Ἀντώνιος λέγομεν· ἡ ἀνομοία, ἥτις γίνεται ἐν ἀνομοίαις λέξεσιν, οἷον ὁ Ἀνδρέας μετ' ἐμοῦ φεύγομεν.

Ζεῦγμά ἐστιν μιᾶς ἰδιότητος ἀπόδοσις ἐν διαφόροις
696 λέξεσιν, οὕτως, ὡς μεθ' ἑνὸς ἐξισάζοντος, οἷον τῶν φίλων καὶ τοῦ ῥηγὸς μαχομένου, ἢ τῶν ἀρχόντων καὶ τοῦ ῥηγὸς μαχομένου. ἐν τῷ ζεύγματι ζητεῖται δ'. διάφορα οὐσιώδη ὀνόματα, σύνδεσμος, ἡ ἰδιότης, καὶ αὐτὴ ἡ ἰδιότης, ἰσάζουσα μετ' ἐκείνου, ᾧτινι ὡς προτέρῳ ἀποδίδοται, καὶ ἀνισάζουσα ἀπ' ἐκείνου, ᾧτινι ὡς ὑστέρῳ ἀποδίδοται. ἐν τρισὶ παρεπομένοις γίνεται τὸ ζεῦγμα, ἐν προσώπῳ, ἐν γένει, ἐν ἀριθμῷ. τριπλοῦν ἐστι τὸ ζεῦγμα, ἀπὸ τοῦ ἄνω προτέρου, ἀπὸ τοῦ μέσου, ἀπὸ τοῦ κατωτέρου. ἀπὸ τοῦ προτέρου, ἐν ᾧ ἡ ἰδιότης προτίθεται, οἷον λέγω ἐγὼ καὶ σύ· ἀπὸ τοῦ μέσου, οἷον ἐγὼ λέγω καὶ σύ· ἀπὸ τοῦ κατωτέρου, οἷον ἐγὼ καὶ σὺ λέγω.

Σύνθεσίς ἐστιν ἀπόδοσις τῆς ἰδιότητος ἑνὶ ἢ πολλοῖς συμπεπλεγμένοις, οὐκ αἰτίᾳ φωνῆς, ἀλλὰ τῆς ση-

www.libool.com.cn

μασίας, οἷον τὸ μέρος εἰς μερίδας ἔκοπτον, καὶ ὁ Σκιπίων καὶ ὁ Λαίλιος ἐθαύμαζον. τρία ζητεῖται ἐν τῇ συνθέσει, ἓν ὑποκείμενον ἢ πλείονα συμπεπλεγμένα, ἡ ἰδιότης, ἡ ἀπόδοσις τῆς ἰδιότητος ἰσάζουσα μετὰ τῆς σημασίας, καὶ ἀνισάζουσα μετὰ τῆς φωνῆς, οἷον ἡ πενία κακόν. γίνεται δὲ ἡ σύνθεσις ἐν γένει καὶ ἐν ἀριθμῷ, οἷον τὸ πλῆθος βαδίζουσιν, ὁ Σκιπίων καὶ ὁ Λαίλιος λέγουσι, καὶ ἡ πενία κακόν.

Ἀντίπτωσίς ἐστιν ἀπόδοσις τῆς ἰδιότητος, πτῶσις ἀντὶ πτώσεως. τρία ζητεῖται ἐν ἀντιπτώσει, ἓν ὑποκείμενον, ἡ ἰδιότης, καὶ ὅτι ἡ πτῶσις ἀντὶ πτώσεως τίθεται, οἷον τὴν πόλιν ἣν βλέπω, ὑμετέρα ἐστίν.

Ἐπιφώνημά ἐστιν ἀπόδοσις τῆς ἰδιότητος τινὶ πράγματι δεικνυμένῳ διὰ τοῦ δεικνύοντος, οἷον ἐγὼ ὁ Βιργίλιος ψάλλω. ἐν τῷ ἐπιφωνήματι δ' ζητεῖται, πρᾶγμα ἐπιφωνοῦν πρώτου ἢ δευτέρου προσώπου, πρᾶγμα ἐπιφωνηθέν, ἀπουσία συνδέσμου, ἡ ἰδιότης τοῦ ῥήματος πρώτου ἢ δευτέρου προσώπου.

Πρόσθεσίς ἐστιν ἄμεσος σύζευξις οὐσιωδῶν, οἷον ὁ 697
Καῖσαρ ἀνὴρ ἰσχυρός. ἐν τῇ προσθέσει ζητεῖται τρία, λέξις προστιθεῖσα, λέξις προστιθεμένη, ὅ ἐστιν ἀποδιδομένη, ἡ ἰδιότης, οἷον ζῶον ὁ ἄνθρωπος περιπατεῖ. γίνεται δὲ ἡ πρόσθεσις ἐν τρισὶ τρόποις, πρῶτον αἰτία τοῦ γενικοῦ συνεσταλμένου, οἷον ζῶον ὁ ὄνος περιπατεῖ, δεύτερον τοῦ ὁμωνύμου μετατιθεμένου, οἷον ὁ κύων ἄστρον λάμπει, τρίτον τῆς ἰδιότητος ἀποδιδομένης, οἷον ὁ Ὅμηρος ἄνθρωπος ἰσχυρός.

Συνεκδοχή ἐστιν, ὅταν ἡ ἰδιότης τοῦ μέρους ἀποδοθῇ τῷ ὅλῳ, οἷον ὁ αἰθίοψ ἐστὶ λευκὸς τοὺς ὀδόντας. τρία ζητεῖται ἐν τῇ συνεκδοχῇ, τὸ ὅλον, τὸ μέρος, ὁποῖον πάντοτε γίνεται, ἐν αἰτιατικῇ πτώσει, ἡ ἰδιότης, οἷον ἡ γυνὴ κεκομμένη τὴν χεῖρα.

---

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

XXVII.

698 # ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΤΩΝ ΣΧΗΜΑΤΩΝ ΤΟΥ ΛΟΓΟΥ.

Τῶν τοῦ λόγου σχημάτων τὰ μέν εἰσι κατ' ἔννοιαν, τὰ δὲ κατὰ λέξιν. τὰ μὲν δὴ κατ' ἔννοιαν σχήματα ταὐτά ἐστι, προδιόρθωσις, ἐπιδιόρθωσις, ἀμφιδιόρθωσις, προκατάληψις, ὑπεξαίρεσις, αἰτιολογία, συναθροισμός, ἐπιμονή, λεπτολογία, ἠθοποιΐα, προσωποποιΐα, ἐπιτροχασμός, ἀποσιώπησις, παράλειψις, ἀποστροφή, διαπόρησις, ἀντεισαγωγή, μετάστασις, διασυρμός, ἐπανάληψις, ἐπαναφορά.

α'. ΠΡΟΔΙΟΡΘΩΣΙΣ.

Ἐστὶ μὲν οὖν ἡ προδιόρθωσις, ἢ θεραπεύει τὸ ῥηθησόμενον, πρὶν ἢ ῥηθῆναι, ὡς δυσπαράδεκτον, ὁποῖόν ἐστὶ τὸ τολμᾷ τι νεανικὸν ὁ λόγος, θεὸς θεοῖς ἡγούμενος καὶ γνωριζόμενος, τολμηρὸν γὰρ ἦν τοῦτο, διὸ προθεραπεύει οἰκονομικῶς.

β'. ΕΠΙΔΙΟΡΘΩΣΙΣ.

Ἐπιδιόρθωσις δέ ἐστι μὲν τὸ αὐτό, πλὴν ἐπάγει τὴν θεραπείαν ὕστερον, ἀλλ' οὐ πρότερον, ὡς προδιόρθωσις· ἐμφαίνει γὰρ ἐν μὲν ἐκείνῳ ἡ πρὸ τὸ πρότερον, ἐν δὲ τούτῳ ἡ ἐπὶ τὸ ὕστερον, ὁποῖόν ἐστι τὸ αἰσθάνομαι ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος.

699

21

Digitized by Google

πρότερον γὰρ τὴν κειμένην ἀφεὶς ὑπόθεσιν καὶ τὸ πανηγυρίζειν ἐπὶ τὸ δογματίζειν καὶ τὸ θεολογεῖν μετέπεσεν, ὃ θεραπεῦσαι ἔγνω διὰ τούτου.

γ'. ΑΜΦΙΔΙΟΡΘΩΣΙΣ.

www.hbtoo.com.cn

Ἀμφιδιόρθωσις δέ ἐστι μῖξις ἀμφοῖν, ἡ γὰρ ἀμφὶ ἡ αὐτὴ οὖσα τῇ περὶ εἴληπται ἐνταῦθα τὴν κύκλῳ σημαίνουσα σχέσιν· λέγεται οὖν ἀμφιδιόρθωσις ἡ καὶ πρότερον καὶ ὕστερον θεραπεύουσα τὸ λεγόμενον, ἂν δυσπαράδεκτον ᾖ ἢ τῷ μεγέθει ἢ τῷ ἀσυνήθει.

δ'. ΠΡΟΚΑΤΑΛΗΨΙΣ.

Προκατάληψις λέγεται ἡ προεκλύουσα τὸν τοῦ ἀντιδίκου λόγον, ὃν εἶπεν ὡς ἰσχυρόν, καὶ οἴεται μηδεμίαν ἔχειν αὐτὸν ἀντιλογίαν, οἷον τίς λόγος αὐτῷ τῶν ἀφύκτων; τάχ' ἂν ἐπὶ τόνδε καταφύγοι ἄν, ἀλλ' οὐκ ἔστι.

ε'. ΤΠΕΞΑΙΡΕΣΙΣ.

Ὑπεξαίρεσις δὲ γίνεται, ὅταν ὑπεξελών τις πρόσωπον ἢ πρᾶγμα ὡς μέγα καὶ ὑπεροχικὸν πρὸς τὰ λοιπὰ ποιῆται τὴν σύγκρισιν, οἷον τὸ ὁ μετὰ Ἠλίαν μετάρσιος, ὁ μετὰ Μωσέα θεόπτης, καὶ ἔτι ὁ μετὰ τὸν ἀποστάτην ἀποστάτης, καὶ τὸν διώκτην διώκτης.

ς'. ΑΙΤΙΟΛΟΓΙΑ.

Αἰτιολογία δέ ἐστιν ἡ αἰτίαν ἀποδιδοῦσα καὶ λόγον τοῦ εἰρημένου, οἷον τὸ παρὰ τῷ αὐτῷ, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα, πνεῦμα διὰ τὴν χάριν, σάρκα κατὰ τὴν ἔπαρσιν· αἰτίαν γὰρ ἐκφαίνει πάντως τὸ ἐπαγόμενον καὶ οἱονεὶ θεραπείαν τοῦ λόγου, πῶς ὁ αὐτός ἐστι καὶ πνεῦμα καὶ σάρξ.

Digitized by Google

ζ'. ΣΥΝΑΘΡΟΙΣΜΟΣ.

Συναθροισμὸς δέ ἐστι συναγωγὴ πραγμάτων πλειόνων εἰς κεφάλαιον ἓν δηλωτικὸν πολλῶν, εἰ καὶ ἑνικῶς λέγεται, ἢ κατ' ἔμφασιν, οἷον συζυγίαι σχιζόμεναι, γένη ῥηγνύμενα· ἰδοὺ γὰρ τὸ συζυγία καὶ τὸ γένος ἔοικεν ἕν τι εἶναι, τὸ δὲ ἕκαστον πολλά ἐστιν.

η'. ΕΠΙΜΟΝΗ.

Ἐπιμονὴ δὲ ἡ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος ἀργία καὶ ἀναστροφὴ χάριν αὐξήσεως, οἷον τὸ πόλιν τῆς οἰκουμένης ὀφθαλμόν, γῆς καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας καὶ ἑσπερίας λήξεως σύνδεσμον· ἰδοὺ γὰρ ὀφθαλμὸν τῆς οἰκουμένης εἰπὼν ἐπέμεινε τῷ λόγῳ καὶ διεῖλε μὲν τὴν οἰκουμένην εἰς γῆν καὶ θάλατταν, καὶ κράτιστον ὠνόμασε κατὰ σύγκρισιν τὴν πόλιν, εἶτα πάλιν ἐπιδιεῖλε τοπικῶς κατὰ τὰς δύο σχέσεις, καὶ αὖθις ἐθαύμασε τὴν πόλιν, σύνδεσμον αὐτὴν εἰπὼν ἑῴας λήξεως καὶ ἑσπερίας μέγιστον εἰς θαῦμα τὸ τοσοῦτον δύνασθαι, ὡς καὶ συνδεῖν ταύτας.

θ'. ΛΕΠΤΟΛΟΓΙΑ.

Λεπτολογία δέ ἐστιν ἡ ἕκαστον τῶν συμβαινόντων διεξιοῦσα ἀκριβῶς καὶ λεπτομερῶς, ὡς μονονοὺ δακτυλοδεικτεῖν δοκεῖν τὸ πρᾶγμα ὡς ἄρτι γινόμενον, οἷον ἀνάπτεται πῦρ, δαπανᾶται ἡ ναῦς, συνδαπανᾶται ὁ φόρτος, συναπόλλυται τὰ ἐν αὐτῇ πάντα, πῦρ ὕδατι μίγνυται, καὶ πυρσὸς ὑπὲρ θαλάττης αἴρεται ξένος. ἐνῆν γὰρ ἁπλῶς οὕτω φάναι, ὡς ἡ ναῦς ἔργον πυρὸς ἐγεγόνει, ἀλλ' οὐκ ἂν ἦν οὕτω φανερὸν τὸ πάθος, διὸ διὰ τῆς ἀκριβείας οἱονεὶ νῦν ἁπτόμενον ἔδειξε τὸ πῦρ, καὶ τὴν ναῦν φλογιζομένην, καὶ τὸν φόρτον συνδαπανώμενον, καὶ πάντα τὰ ἐν αὐτῇ καὶ τὰ ἐξῆς.

Digitized by Google

ι. ΗΘΟΠΟΙΙΑ.

Ἠθοποιΐα ἐστὶν ἡ λόγους ἀψύχοις περιτιθεῖσα πράγμασιν ἢ ἀλόγοις, οἷον τίνας ἂν εἴποι λόγους ναῦς ἐκ κλύδωνος καὶ τρικυμίας ἐλαυνομένη ἐς ἀπορρῶγας πέτρας, καὶ μέλλουσα προσαράττεσθαι τε καὶ καταπον- 5
τίζεσθαι, ἢ γῆ ῥηγνυμένη ὑπὸ σεισμῶν βίας· δεῖ γὰρ ἀκριβῶς ἀπομιμεῖσθαι τὸν πλαττόμενον τὰ πράγματα.

ια. ΠΡΟΣΩΠΟΠΟΙΙΑ.

Προσωποποιΐα δέ ἐστι προσώπου διάπλασις ἢ μηδέποτε γενομένου, ἢ γενομένου μέν, οὐκέτι δὲ νῦν ὄντος, 10
οἷον τὸ παρὰ τῷ θεολόγῳ ἐν τῷ περὶ φιλοπτωχίας, μέμνηται μήτηρ ὠδίνων καὶ τὰ σπλάγχνα σπαράττεται, καὶ ἀνακαλεῖται, λέγουσα λίαν ἐλεεινῶς, τέκνον δυστυχές, τέκνον ἐλεεινόν, καὶ τὰ ἑξῆς· εἰσάγει γὰρ οὐκ οὔσας μὲν πλὴν ὡς οὔσας 15
τὰς μητέρας, ἵνα κατολοφυρομένων ἐκείνων καὶ παθαινομένων, καὶ ἄξια ἐλέου λεγόντων δυνηθῇ τὰς τῶν ἀκουόντων καρδίας πρὸς ἔλεον ἐπισπάσασθαι, ὅπερ ἀδύνατον ἦν ἄλλως δι' ἑαυτοῦ ποιῆσαι καὶ ἀπρεπές.

ιβ'. ΕΠΙΤΡΟΧΑΣΜΟΣ. 20

Ἐπιτροχασμός ἐστι σχῆμα προσκείμενον τῷ τε συναθροισμῷ καὶ τῇ ἐπιμονῇ· συναθροισμὸς γάρ ἐστιν ἕνωσις πλειόνων πραγμάτων κεφαλαιώδης ἢ λόγων, ἐπιμονὴ δὲ πολλαπλασιασμὸς τοῦ αὐτοῦ νοήματος δι' ἑτέ- 702
ρων λέξεων σημαινουσῶν τὸ αὐτό· διαφέρει δὲ τούτων ὁ ἐπιτροχασμός, ὅτι τὰ πολὺ διεστῶτα συνάγει, οἷον ὑπεσπῶντο σύνοδοι, πρόσοδοι διηρπάζοντο· συναθροισμὸν γὰρ ἐποίησεν εἰπὼν συνόδους καὶ προσόδους πληθυντικῶς. ἐπέμεινε δὲ τῷ αὐτῷ πράγματι, διάφορα λέγων, εἰ καὶ πρὸς ἓν τέλος ἀφορῶσιν· 30
ἕτερον γὰρ ὑπόσπασις συνόδων, καὶ ἕτερον ἁρπαγὴ

Digitized by Google

προσόδων, καὶ ὅσα τοιαῦτα ἐπάγει ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ.

ιγ'. ΑΠΟΣΙΩΠΗΣΙΣ.

Ἀποσιώπησίς ἐστι λόγος παραλείπων τὸ γινωσκόμενον καὶ σιωπῶν τὸ αἰσχρόν· δεῖ γὰρ μετὰ τῶν ἄλλων καὶ τοῦτο σκοπεῖν τὸν γράφοντα, ὥστε μὴ μολῦναι τὴν γλῶτταν ἢ τὰ γράμματα ἢ τοὺς ἀκούοντας αἰσχροῖς λόγοις, ὁποῖον δή τι συμβαῖνον καὶ ὁ θεολόγος ἐνιδὼν τῷ αὐτοῦ λόγῳ παρέδραμεν οἰκονομικῶς, ἀμυδρῶς ἐμφήνας καὶ τὸ αἶσχος τῶν Ἑλληνικῶν ὕθλων καὶ τὴν νέμεσιν διεκφυγών, οἷον οἶδεν Ἐλευσὶς ταῦτα καὶ οἱ τῶν σιωπωμένων καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται· διὰ γὰρ τοῦ εἰπεῖν σιωπῆς ὄντως ἀξίων ὡς πλείστην ὑπέφηνε τὴν ὕβριν καὶ πρεπόντως ἐστηλίτευσε.

ιδ'. ΠΑΡΑΛΕΙΨΙΣ.

Παράλειψις δὲ γίνεται, ὅταν προσποιούμενοί τι παραλείπειν καὶ ἐᾶν ἐν τῷ συγγράμματι ἡμεῖς οὐδὲν ἧττον λέγωμεν. οἷον τὸ εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον, καὶ μετὰ βραχύ, ἄλλος ἂν ἠρώων ὤφθη κατάλογος, καὶ μετ' ὀλίγα, πολλὰ μὲν γὰρ ὁ πόντος ἡμῖν αὐτοῦ προβλύει τὰ διηγήματα, καὶ ὅσα ἑξῆς φησιν ἐν σχήματι παραλείψεως. καὶ ἀλλαχοῦ, τὸν γὰρ Πρωτέα παρίημι τοῦ μύθου, τὸν Αἰγύπτιον σοφιστήν· παραλείπειν γὰρ λέγων οὐδὲν ἧττον ἡμῖν αὐτὸν ὑπέγραψεν, ὀνομάσας Πρωτέα καὶ σοφιστὴν καὶ Αἰγύπτιον, προσθεὶς δὲ καί, ὡς πλάσμα καὶ μῦθος ὁ περὶ ἐκείνου λόγος καὶ οὐκ ἀληθής.

ιε. ΑΠΟΣΤΡΟΦΗ.

Ἀποστροφή ἐστιν ἀφ' ἑτέρου προσώπου πρὸς ἕτε-

ρον πρόσωπον νεῦσις καὶ μετάβασις, οἷον ὡς δὲ εἶχον αὐτῷ κατὰ νοῦν τὰ πλησίον, καὶ τὰ ἑξῆς, εἶτ' ἐπάγει, οὕτως ἤδη πειρᾶται εὐηθέστατε σὺ κατὰ τοσούτου κλήρου, καὶ ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ· μετὰ γὰρ τοὺς μακροὺς καὶ λαμπροὺς λόγους ἐπιστραφεὶς πρὸς τὸ ἡμῶν ἁπάντων τῶν Χριστιανῶν ἀληθὲς πάσχα, οὗ τύποι ταῦτα, καθὼς ὁ αὐτὸς θεολόγος διδάσκει, αὐτὸν ἐρωτικῶς ἀνυμνεῖ καὶ θεοπρεπῶς, οἷον ἀλλ' ὦ πάσχα τὸ μέγα καὶ ἱερώτατον, Χριστέ, καὶ τὰ ἑξῆς.

www.libtool.com.cn

ις'. ΔΙΑΠΟΡΗΣΙΣ.

Διαπόρησις δέ ἐστιν ἀμφιβολία περί τινος πράγματος; ὅταν διττὰς ἢ καὶ πλείους ἐννοίας ἔχωμεν περὶ αὐτοῦ, ἀμφιβάλλοντες, ὁποτέρα τούτων ἀληθὴς ἀναμφιβόλως, οἷόν τι τῷ αὐτῷ περὶ τοῦ φωτισμοῦ καὶ τῆς τάξεως τῶν ἀγγέλων διηπόρηται, λέγοντι, οὐκ οἶδα, εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμόν, εἴτε τῷ φωτισμῷ τὴν τάξιν λαμβάνουσα.

ιζ'. ΕΡΩΤΗΜΑ.

Ἐρώτημά ἐστιν, ᾧ ἐπάγεται διὰ κατανεύσεως ἢ ἀπονεύσεως σύντομος ἡ ἀπόκρισις, λέγω καὶ ἢ οὔ, οἷον τὸ οὐ δέχῃ μετάνοιαν; ἢ οὐδὲ τὸν ἐν Κορίνθῳ 704
δέχῃ παρανομήσαντα; ἐπαχθήσεται γὰρ ἐπιτομωτάτη πάντως ἡ ἀπόκρισις ἢ διὰ συγκαταθέσεως ἢ ἀποφάσεως.

ιή. ΠΤΣΜΑ.

Πύσμα δέ ἐστιν, ᾧ ἐπάγεται μὲν ἀπόκρισις μακρὰ μέντοι καὶ διὰ πλειόνων τῶν λέξεων, οἷον τὸ ἐπὶ ποίας τοίνυν ἰτέον, καὶ τίνας φυλακτέον· οὐ γάρ ἐστιν ἐπὶ τῶν τοιούτων καὶ ἢ οὔ ἀποκρίνασθαι, ἀλλὰ

Digitized by Google

διεξοδικῶς χρεία τὴν ἀπόκρισιν ποιήσασθαι, ἵνα γνώριμος γίνηται τῷ ἐρωτῶντι, οἷον ἐπὶ ταύτης ἰτέον μᾶλλον ἢ ἐπ' ἐκείνης.

κθ'. ΔΙΑΤΥΠΩΣΙΣ.

www.libtool.com.cn

Διατύπωσις δέ ἐστι λόγος διηγηματικὸς ὑπ' ὄψιν ἄγων καὶ οἱονεὶ ζωγραφῶν τὰ πάλαι ποτὲ γενόμενα, ὡς τέμοι μὲν τὴν ἐρυθρὰν Μωυσῆς ῥάβδῳ, διέλθοι δ' ὁ Ἰσραήλ, καταποντισθείη δὲ σὺν ἱππεῦσιν ὁ Φαραώ. ἦ αὖθις, καὶ γὰρ ἦν θρηνῶν καὶ ὀδυρμῶν ὄντως ἄξια, πῶς δ' οὐ τῶν μεγίστων, τείχη κατεσκαμμένα, πόλεις ἠφανισμέναι, καὶ τὰ ἑξῆς.

κ'. ΑΝΤΕΙΣΑΓΩΓΗ.

Ἀντεισαγωγὴ δέ ἐστιν ἡ ἀντεισάγουσα εὐαρμόστως ἀνθ' ἑτέρου πράγματος ἕτερον πρᾶγμα ἢ κατὰ συμβουλὴν ἢ παραμυθίαν, οἷον τὸ λυπεῖ σε τὸ τῆς διαξεύξεως, εὐφραινέτω τὸ τῆς ἐλπίδος. καὶ ἔτι ὁμοίως, δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ παράδεισος, ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις· ἰδοὺ γὰρ συμβουλευτικῶς καὶ παραμυθητικῶς ἀνθ' ἑτέρου ἕτερον παρίστησιν, ὥστε πεῖσαι μὴ ἐνδοῦναι.

705 κά. ΜΕΤΑΣΤΑΣΙΣ.

Μετάστασις δὲ γίνεται, ὅταν ἀφ' ἑαυτῶν μεθιστῶμεν τὴν αἰτίαν εἰς ἕτερον, οἷον οὐ τοῦ ἀμήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείραντος, οὐδὲ τῆς τεκούσης ὁ παῖς, ἀλλὰ τοῦ καταβαλόντος τὸ σπέρμα. ὡς πρώτων αἰτίων ὄντων ἐκείνων τῆς ὑπάρξεως.

κβ'. ΔΙΑΣΥΡΜΟΣ.

Διασυρμός ἐστι λόγος διαβάλλων τι οὐκ ἐπὶ τῷ

Digitized by Google

ἀποφαυλίσαι, ἀλλὰ μᾶλλον ὡς ἀξιόπιστον θαυμάζων, οἷον τάχα ἂν ὀνειδίσαις τὸν σταυρὸν καὶ τὸν θάνατον.

κγ'. ΕΠΑΝΑΛΗΨΙΣ.

www.libtool.com.cn

Ἐπανάληψις δέ ἐστιν ἀνάληψις προειρημένου τινός, μεταξυλογίας ἐμβεβλημένης, ἵνα τὴν διὰ μεσολαβησάντων λόγων ἐγγενομένην λήθην λήσῃ καὶ πρὸς μνήμην ἀγάγῃ τοῦ πρότερον εἰρημένου, οἷον ἐπειδὴ φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ, ἥ τε ἔπαθεν ὡς ἀπαλωτέρα καὶ ἣ προσήγαγεν ὡς πιθανωτέρα, εἶτα διὰ πλειόνων ἐλθὼν ἐπανάληψιν αὖθις ποιησάμενός φησιν, ἐπειδὴ ταῦτα δῆθεν μείζονος ἐδεῖτο βοηθήματος, μείζονος καὶ τυγχάνει.

κδ'. ΕΠΑΝΑΦΟΡΑ.

Ἐπαναφορὰ δὲ κώλων πλειόνων ἢ ῥημάτων ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένων, οἷον Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε. καὶ ἀλλαχοῦ, τί λύετε τάξιν ἐπαινουμένην, τί βιάζεσθε γλῶτταν νόμῳ δουλεύουσαν. γίγνεται δὲ καὶ ἔτι ἐπαναφορά, οἷον τὸ παρὰ τοσούτοις γὰρ οἱ ἡμέτεροι παιδευταί, παρ' ὅσοις Ἀθῆναι, παρὰ τοσούτοις δ' ἡμεῖς, παρὰ ὅσοις οἱ παιδευταί. γίγνεται πάλιν ἐπαναφορά, καὶ ὅταν τῇ ἀρχούσῃ λέξει ἕτεραι ἰσοδυναμοῦσαι ληφθεῖεν ἐπὶ τῶν ἄλλων κώλων, οἷον ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς. καὶ ἔτι ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται.

Τοσαῦτα μὲν οὖν καὶ τοιαῦτα τὰ κατ' ἔννοιαν σχήματα, τὰ δὲ κατὰ λέξιν ταῦτά ἐστι· ταυτολογία, παλιλλογία, ἀναδίπλωσις, ἀντιστροφή, σύνθεσις, ἐπάνοδος, κλιμακωτόν, προδιασάφησις, ἀλλοίωσις, ἥτις γίνεται ἢ

Digitized by Google

κατὰ γένος ἢ ἀριθμὸν ἢ πτῶσιν, καὶ ἔτι ἐνεργείας καὶ πάθη καὶ χρόνους· πολύπτωτον, μεταβολή, ξεῦγμα, παρήχησις, ὁμοιοτέλευτον, πάρισον, ὁμοιόπτωτον, ἀσύνδετον, ἀντίθετον, σύγκρισις, ἀντεναντίωσις, προαπάντησις, ὑπαλλαγή, περίφρασις καὶ ὑπερβατόν.

ά. ΤΑΥΤΟΛΟΓΙΑ.

Ταυτολογία μὲν οὖν ἐστιν ἐν ταὐτῷ λέξεων παράλληλος θέσις, τὸ αὐτὸ σημαινουσῶν, οἷον ὀξεῖς καὶ ταχεῖς, ἀλλ' οὐ νωθεῖς καὶ βραδεῖς· πᾶσαι γὰρ ἐν ταὐτῷ τὸ αὐτὸ σημαίνουσιν, ὀξεῖς μὲν καὶ ταχεῖς καταφατικῶς τὸ αὐτὸ σημαίνουσιν, νωθεῖς δὲ καὶ βραδεῖς τοὐναντίον, αἷς συνταχθὲν καὶ τὸ οὐ ἀποφατικὰς ἑαυτῶν ἐποίησε καὶ συμφώνους τοῖς προτέροις.

β'. ΠΑΛΙΛΛΟΓΙΑ.

Παλιλλογία ἐστὶ λέξις ἢ φράσις τοῦ μὲν προηγουμένου κώλου κατάληξις, ἡ αὐτὴ δὲ τοῦ ἑπομένου γε-
707 νομένη ἀρχή, οἷον τὸ πάλιν Ἰησοῦς ὁ ἐμός, καὶ πάλιν μυστήριον, μυστήριον οὐκ ἀπατηλόν, οὐδὲ ἄκοσμον. τὸ γὰρ μυστήριον κατάληξις ὂν τοῦ προτέρου κώλου, ἀρχὴ τοῦ δευτέρου ἐγένετο, καὶ δευτερολογίαν ἐποίησεν ἤτοι παλιλλογίαν.

γ'. ΑΝΑΔΙΠΛΩΣΙΣ.

Ἀναδίπλωσις δέ ἐστι λέξεως τῆς αὐτῆς ἅμα ἐπάλληλος προφορά, οἷον Κύριε, Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ· εἰ γίνεται ὁ αὐτὸς τύπος καὶ μεταξὺ ἐμβεβλημένης λέξεως, οἷον οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τὸ γὰρ ταῦτα μεσολαβοῦν οὐ καταλύει τὸ σχῆμα.

δ'. ΑΝΤΙΣΤΡΟΦΗ.

Ἀντιστροφὴ ἐναντία ἐστὶ τῇ ἐπαναφορᾷ, ὅτι εἰς τὸ

αὐτὸ καταλήγει, οἷον θελῆσαι δεῖ μόνον, ὁρμῆσαι δεῖ μόνον.

ε. ΣΥΜΠΛΟΚΗ.

Συμπλοκή ἐστι σύνθεσις ἔκ τε τῆς ἐπαναφορᾶς καὶ τῆς ἐπαναστροφῆς, ὧν ὡραῖοι μὲν οἱ πόδες εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθά, μεθ' ὧν ἐληλύθατε, ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε. διὰ μὲν γὰρ τῆς τοῦ ὡραῖοι προσθήκης ἐν ταῖς τῶν κώλων ἀρχαῖς ἐποίησεν ἐπαναφοράν, διὰ δὲ τῆς τοῦ ἐληλύθατε διπλῆς καταλήξεως τὴν ἀναστροφήν, καὶ ἐν ἑκατέρῳ γὰρ κώλῳ τὰς αὐτὰς ἔχει ἀρχάς, καὶ ἔτι τὰς αὐτὰς καταλήξεις.

ς'. ΕΠΑΝΟΔΟΣ.

Ἐπάνοδος γίνεται, ὅταν δύο τινὰ προθέντες κεκρυμμένας ἔτι διανοίας ἔχοντα ἐπανίωμεν εἰς αὐτὰ καὶ σαφηνίζωμεν εὐκρινείας χάριν καὶ ποικιλίας, οἷον διττοῦ δὲ ὄντος λόγου παντός, καὶ τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον καθαιροῦντος καὶ ἀνατρέποντος, καὶ ἡμεῖς τὰ οἰκεῖα ἐκθέμενοι πρότερον οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα.

ζ'. ΚΛΙΜΑΚΩΤΟΝ.

Κλιμακωτὸν δέ ἐστιν ἄριστον καὶ πρόξενον κόσμου τοῖς συγγράμμασι, χρώμεθα δὲ ἅπαξ πρεπόντως· σπανίως γὰρ χρῆσθαι προσήκει τοῖς ξενοπρεπέσιν, ἵνα μὴ τῇ καταχρήσει γίνωνται ὑπερκορῆ. γίνεται δὲ τὸ κλιμακωτόν, ὅταν ἐπὶ τὸ πλέον μηκύνοντες τὸ προκείμενον κεφάλαιον ἕκαστον κόμμα τὸ αὐτὸ τελευτὴν καὶ ἀρχὴν ποιώμεθα. κατάληξιν μὲν πρότερον, ἀρχὴν δὲ τοῦ ἑπομένου, οἷον τὸ ἄληπτον οὖν τὸ θεῖον, ἵνα θαυ-

www.hbtool.com.cn
Digitized by Google

μάζηται, θαυμαζόμενον δὲ ποθῆται, ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται.

ή. ΠΡΟΔΙΑΣΑΦΗΣΙΣ.

www.libtool.com.cn

Προδιασάφησις γίνεται, ὅταν πεπληρωμένῳ λόγῳ ἐπενεχθῇ ὄνομά τι εἰς πλείονα διασάφησιν καὶ ἐντελῆ κατάληψιν τοῦ λεγομένου, οἷον τὸ περινοεῖ τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον· πλήρει γὰρ τῷ λόγῳ ἐπῆκται λέξις ἡ διάνοια εἰς ἔμφασιν μείζονα.

θ'. ΑΛΛΟΙΩΣΙΣ.

Ἡ ἀλλοίωσις ἤτοι ἡ ἐναλλαγὴ γίνεται κατὰ τρόπους, ὡς ἔφημεν, πλείονας· κατὰ γένος μέν, οἷον τίμιον ἡ ἀρετή, ἤτοι ὁ ἐνάρετος· διὰ γὰρ τῆς ἀρετῆς τὸν ἔχοντα
709 τὴν ἀρετὴν ὁ λόγος δεδήλωκεν, ὅς ἐστιν ἑτερογενὴς τῇ ἀρετῇ· κατὰ δὲ τὸν ἀριθμόν, οἷον μέγας ὁ καθελὼν Τροίαν, ἤτοι οἱ καθελόντες· κατὰ πτῶσιν, οἷον μῆνιν ἄειδε, θεά, ἢ μυρία ἄλγε' Ἀχαιοῖς ἔθηκε. μετέβη καὶ γὰρ εἰς εὐθεῖαν ἀπὸ αἰτιατικῆς· ἐνεργείας δὲ καὶ πάθη καὶ χρόνους, ὡς τὸ οὐκέτι μιγνύντες ἀλλήλοις, ἤτοι μιγνύμενοι· καὶ οἱ ἐκγένους Ἡρακλέους κατάγοντες, καὶ αὖθις, οἱ τὴν μεσόγεων κατῳκηκότες, καὶ παρέξομαι μάρτυρας, ἤτοι παρέξω, καὶ ἀπολαύσομαι ἤτοι ἀπόλαυσις, καὶ τὰ τοιαῦτα.

ι. ΠΟΛΥΠΤΩΤΟΝ.

Πολύπτωτός ἐστι λόγος ὁ πολλῶν ἀντιλαμβανόμενος πτώσεων, οἷον τὸ ἐκείνων ἐσμὲν καὶ γένος καὶ μαθηταί, οὓς στύλος πυρὸς καὶ νεφέλη ὡδήγουν. ἐνταῦθα γὰρ ἀπὸ πτώσεως τῆς γενικῆς εἰς πτῶσιν αἰτιατικὴν μετηνέχθη.

Digitized by Google

ιά. ΜΕΤΑΒΟΛΗ.

Μεταβολὴ ἡ τὸ αὐτὸ ὄνομα διαφόρως ἐξαγγέλλουσα, ὡς τὸ τίνος διώκοντος ἢ συναναγκάζοντος· τίνων ἵππέων ἢ ποίων κυνῶν;

www.libtool.com.cn

ιβ'. ΖΕΥΓΜΑ.

Ζεῦγμά ἐστι λέξις διάφορα κῶλα συνδέουσα ἢ μετ' αὐτὰ τιθεῖσα ἢ πρὸ αὐτῶν, οἷον τὸ τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾶον μιμησάμενος.

ιγ'. ΠΑΡΟΝΟΜΑΣΙΑ.

Παρονομασία γίνεται, ὅταν τι τῶν ληφθέντων εἰς διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες ἑτέραν κινήσωμεν ἔννοιαν, οἷον οὐδὲ τὴν ὑλακήν, ἀλλὰ τὴν φυλακήν, ὃ καὶ παρήχησις ὀνομάζεται, οἷον τὸ παρὰ Δημοσθένει, οὐκ αἰσχύνῃ Αἰσχίνη; καὶ παρὰ Πλάτωνι, Πῶλε λῷστε, καὶ Παυσανίου παυσαμένου, καὶ πλεῖστα τοιαῦτα.

ιδ'. ΟΜΟΙΟΤΕΛΕΥΤΟΝ.

Ὁμοιοτέλευτον δὲ τὸ ὁμοιοκατάληκτον, ὅταν διάφορα κῶλα τὴν αὐτὴν ἔχωσι κατάληξιν, οἷον τὸ Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· τὸ γὰρ δοξάσατε καὶ ἀπαντήσατε ταὐτοκατάληκτα.

ιέ. ΠΑΡΙΣΟΝ.

Τὸ δὲ πάρισον γίνεται, ὅταν δύο ἢ πλείονα κῶλα μάλιστα μὲν καὶ τὰς συλλαβὰς ἴσας ἔχῃ· εἰ δ' οὖν ἀλλὰ καὶ τὸ γένος καὶ τὸν ἀριθμὸν καὶ ἔτι τὸν χρόνον καὶ τὸν ῥυθμόν, οἷον τὸ τίνα τῶν ἀνθρώπων κινήματα, τίνα δὲ τῶν πιθήκων ὁρμήματα. εἴ τι μὲν οὖν πάρισον, καὶ ὁμοιοκατάληκτον, οὐ μὴν εἴ τι ὁμοιοκα-

Digitized by Google

τάληκτον, ἤδη καὶ πάρισόν ἐστι· τὸ μὲν γὰρ μόνας τὰς τελευταίας συλλαβὰς ὁμοίας ἔχει, τὸ δὲ ἐν πάσαις ἔχει τὰς συγκρούσεις καὶ ὁμοιώσεις.

ις'. ΟΜΟΙΟΠΤΩΤΟΝ.

www.libtool.com.cn

Ὁμοιόπτωτον δέ ἐστι πτῶσις ἡ αὐτὴ κατὰ τοῦ αὐτοῦ ὑποκειμένου διαφόρως λεγομένη, οἷον ὧ περὶ μὲν ἔργων τὰ μεγάλα ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν
711 λόγοις τόλμαν θαυμασιώτατε· τὸν γὰρ αὐτὸν καὶ ἕνα διὰ τῆς κλητικῆς περὶ λόγους μὲν θαυμαστόν, περὶ δὲ ἔργα ἀχρεῖον ἐνέφηνεν.

ιζ'. ΑΣΥΝΔΕΤΟΝ.

Ἀσύνδετον δέ ἐστι τὸ χωρὶς τῶν συμπλεκτικῶν συνδέσμων ἴδια καθ' ἑαυτὰ κομματικῶς ἐκφέρεσθαι τὰ κῶλα, ὁποῖον τὸ φθάνει ταχεῖς, σφάλλει συνετούς, συστέλλει ὑψηλούς.

ιή. ΑΝΤΙΘΕΤΟΝ.

Τὸ ἀντίθετον κατὰ πλείονας γίνεται τρόπους, ἕνα μέν, ὅτε τὰ ἀντικείμενα ὀνόματα λαμβάνεται, οἷον τὸ τιμῶσι μᾶλλον τοὺς ἀδίκους πλουτοῦντας, ἢ τοὺς δικαίους πενομένους. καθ' ἕτερον δὲ τρόπον, ὅτε ἀντιδιαστέλλεται κατάφασις ἀποφάσει, οἷον σὺ μὲν ἔλαβες, ἐγὼ δὲ οὐκ ἔλαβον· τὸ μὲν γὰρ καταφαίνεταί τις, τὸ δὲ ἀποφαίνεταί τι· καὶ ἔτι πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται· ἐναντιότης γὰρ ἐντεῦθεν αὖθις φωτὸς πρὸς σκότος.

ιθ'. ΣΥΓΚΡΙΣΙΣ.

Σύγκρισις γίνεται, ὅταν ταῖς αὐταῖς λέξεσι χρώμεθα παραβάλλοντες πρόσωπον πρὸς πρόσωπον, ἢ πρᾶγμα πρὸς πρᾶγμα, ὁποῖον τὸ Λώτ, ὁ Σοδομίτης καὶ οὐ Σοδομίτης τὸν τρόπον. τὸ γὰρ Σοδομίτης τέθει-

Digitized by Google

κεν ἐνταῦθα δεικτικῶς ὡς τοπικόν, ἀλλ' ἐπεὶ μόνος τῶν πάντων ἐσώζετο διὰ τὴν ἀρετήν, μέγιστον εἰς θαῦμα δύναται ἡ τοῦ τοπικοῦ προσθήκη, ὅσῳ μόνος ἐν τοσούτοις ἀναστρεφόμενος οὐκ ἐχράνθη, ἀλλὰ πεφύλακται. τούτῳ τῷ σχήματι ἔοικε καὶ ἡ ἀντίθεσις καὶ ἡ ἀντιβολή, οἷον εἰ μὲν θεός, οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐ θεός· ἀντιτίθησι γὰρ ἑκάτερα, καὶ τὰ ἐν πρώτοις κώλοις ἄλλως τεθέντα ὑπεναντίως ἐν τοῖς δευτέροις ἐτέθη. 712

κ'. ΑΝΤΕΝΑΝΤΙΩΣΙΣ.

Ἡ δ' ἀντεναντίωσις γίνεται, ὅταν εἰπεῖν τι βουλόμενοι διὰ τοῦ ἐναντίου δηλῶμεν. ἴσως οὐ τῶν πολλῶν ἐγενόμην φαυλότερος, δηλονότι καὶ μᾶλλον σπουδαιότερος. καὶ ἀλλαχοῦ, ἄληθες, καλῶς τυγχάνεις διακείμενος πρὸς ἡμᾶς, ἀντὶ τοῦ κακῶς.

κά. ΠΡΟΑΠΑΝΤΗΣΙΣ.

Προαπάντησις δέ, ὅταν δύο τινὰ θέντες πρὸς τὸ λεχθὲν ὑστέρως, ἀπαντήσωμεν πρότερον, οἷον τὸ καλὸν τὸ προσευχὴ καὶ νηστεία καὶ ἀγρυπνία, καὶ πειθέτω σὲ Ἰησοῦς, ἀγρυπνῶν πρὸ τοῦ πάθους καὶ προσευχόμενος· πρὸς γὰρ τὸ ὑστέρως ῥηθὲν ὑπήντησε, τὴν ἀγρυπνίαν λέγω.

κβ'. ΤΠΑΛΛΑΓΗ.

Ὑπαλλαγὴ δὲ γίνεται, ὅταν ἐπιτιμήσαντες τῷ πρώτῳ ὀνόματι ἕτερον προσλάβωμεν, οἷον εἴ τις τὸν ἐρῶντα φιλάνθρωπον λέγει· ἐρεῖ γάρ τις, ὡς οὐκ ἔστι τόδε φιλανθρωπία, ἀλλ' ἔρως, καὶ ἔτι οὐκ ὠργίζετο ἀλλ' ἐμαίνετο, εἴ τις τὸν ἀπόπληκτον λέγει θυμοῦσθαι.

κγ'. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασις δέ, ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον διὰ πλειόνων ἐκφέρηται, ὅταν βίη Ἡρακληείη

Digitized by Google

δηλονότι ἡ Ἡρακλέους ἰσχύς, καὶ μένος Ἀλκινόοιο, ἤγουν ἡ τοῦ Ἀλκινόοιο προθυμία, καὶ Θηβαίων ἄνοια, ἤγουν οἱ ἄγνωστοι Θηβαῖοι.

713 κδ'. ΤΠΕΡΒΑΤΟΝ.

www.libtool.com.cn

Ὑπερβατὸν δέ, ὅταν τῆς συνεχείας τοῦ νοήματος διακοπείσης ὑπὸ μεταξυλογίας ἐκβληθείσης ἕτερον ἀποδοθῇ τὸ λεῖπον, οἷον κατὰ ταῦρον ἐδηδώς, καὶ ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη· τὸ γὰρ κατὰ ὀφείλει συγκεῖσθαι τῷ ἐδηδώς, ἵνα σημαίνῃ τὸ καταφαγεῖν τὸν ταῦρον, ἐπεὶ οὕτως τὸ ὁμοίως τῷ ταύρῳ τρώγειν ἐμφαίνει. ἐπὶ τοῦ δευτέρου ὡσαύτως ἡ ἀνά τις ἔστη ὀφείλει συγκεῖσθαι, ἵν' ᾖ, ὅτι ἀνέστη ὁ Ὀδυσσεύς· καὶ ἔτι ἄπ' ἐμ' ὀλεῖς, ἤγουν ἀπολεῖς ἐμέ· καὶ ἐμοῦ πέρι, ἤγουν περὶ ἐμοῦ· καὶ ἐμοῦ μέτα, ἤγουν μετ' ἐμοῦ.

Digitized by Google

www.libtool.com.cn

XXVIII.

ΤΡΥΦΩΝΟΣ

ΠΕΡΙ ΤΡΟΠΩΝ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΤΡΥΦΩΝΟΣ

728

ΠΕΡΙ ΤΡΟΠΩΝ.

Φράσις ἐστὶ λόγος ἐγκατάσκευος, ἢ λόγος κατά τινα δήλωσιν περισσοτέραν ἐκφερόμενος, τῆς δὲ φράσεως εἴδη εἰσὶ δύο, κυριολογία τε καὶ τρόπος. κυριολογία μὲν οὖν ἐστιν ἡ διὰ τῆς πρώτης θέσεως τῶν ὀνομάτων τὰ πράγματα σημαίνουσα, οἷον

πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Φαίνοπος υἱόν·
Ἀγκαῖον δὲ πάλην Πλευρώνιον, ὅς μοι ἀνέστη.
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἔοντα·
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.

τρόπος δέ ἐστι λόγος κατὰ παρατροπὴν τοῦ κυρίου λεγόμενος κατά τινα δήλωσιν κοσμιωτέραν ἢ κατὰ τὸ ἀναγκαῖον. τρόποι δέ εἰσιν οἱ γενικωτάτην ἐμφαίνοντες 729
στάσιν τέσσαρες καὶ δέκα, μεταφορά, κατάχρησις, ἀλληγορία, αἴνιγμα, μετάληψις, μετωνυμία, συνεκδοχή, ὀνοματοποιΐα, περίφρασις, ἀναστροφή, ὑπερβατόν, πλεονασμός, ἔλλειψις, παραπλήρωμα. τούτους δὲ ποιητικοὺς καλοῦσιν, ἐπεὶ κατά γε τὸ πλεῖστον ἡ τούτων χρῆσις παρὰ ποιηταῖς, καὶ ὅτι τούτοις οἱ γραμματικοὶ χρῶνται ἐξηγούμενοι τὰ κυρίως ἢ τροπικῶς τοῖς ποιηταῖς εἰρημένα.

ά. ΠΕΡΙ ΜΕΤΑΦΟΡΑΣ.

Μεταφορά ἐστι λέξις μεταφερομένη ἀπὸ τοῦ κυρίου

Digitized by Google

ἐπὶ τὸ μὴ κύριον ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα, ἐμφάσεως μέν, οἷον

αἰχμὴ δὲ διέσσυτο μαιμώωσα.

ἡ γὰρ μαιμώωσα λέξις, ὅπερ ἐστὶ προθυμουμένη, ἰδίως ἐπὶ ἐμψύχου τασσομένη νῦν ἐπὶ ἀψύχου τοῦ δόρατος τέτακται· ὁμοιώσεως δὲ

πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης·

καὶ

οὔρεος ἐν κορυφῇσι.

730 πόδες γὰρ καὶ κορυφαὶ ἐπ' ἀνθρώπων ῥηθεῖεν ἄν, ἐπὶ
11 δὲ ὄρους ὑπώρειαι καὶ ἀκρώρειαι. γίνεται δὲ ἡ μεταφορὰ τετραχῶς, ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον ποιμένα λαῶν, ἄμφω γὰρ ἔμψυχα. ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα, οἷον σπέρμα πυρὸς σώζων. ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, οἷον

ἐν γαίῃ ἵστατο λιλαιομένη χροὸς ἆσαι·

καὶ

κυλίνδετο λᾶας ἀναιδής·

ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα, οἷον

ἄσβεστος δ' ἀνῶρτο γέλως μακάρεσσι θεοῖσι.

β'. ΠΕΡΙ ΚΑΤΑΧΡΗΣΕΩΣ.

731 Κατάχρησίς ἐστι λέξις μετενηνεγμένη ἀπὸ τοῦ πρώτου κατονομασθέντος κυρίως τε καὶ ἐτύμως ἐφ' ἕτερον ἀκατονόμαστον κατὰ τὸ οἰκεῖον, οἷον γόνυ καλάμου, καὶ ὀφθαλμὸς ἀμπέλου, καὶ χεῖλος κεραμίου καὶ τράχηλος
25 ὄρους· κυρίως γὰρ ταῦτα ἐπὶ ἀνθρώπου λέγονται, καὶ πάλιν πυξὶς μὲν λέγεται ἡ ἐκ πύξου κατεσκευασμένη, καταχρηστικῶς δὲ καὶ ἡ χαλκῆ καὶ ἡ ἐξ οἵας δήποτε πεποιημένη ὕλης. τῷ αὐτῷ σχήματι ἀνδριὰς κυρίως μὲν τὸ τοῦ ἀνδρὸς ἀπεικόνισμα, καταχρηστικῶς δὲ καὶ γυ-
732 ναικός, καὶ ἀνδροφόνος κυρίως ὁ ἄνδρα φονεύσας, κα-
31 ταχρηστικῶς δὲ καὶ ὁ γυναῖκα. ἔτι τριήραρχος κυρίως

Digitized by Google

ὁ τριήρους ἄρχων, καταχρηστικῶς δὲ καὶ ὁ πεντήρους καὶ ἑξήρους, καὶ τὸ ψηφίζειν κυρίως μὲν τὸ ταῖς ψήφοις ἀριθμεῖν, καταχρηστικῶς δὲ καὶ δακτύλοις ἀριθμεῖν. διαφέρει δὲ μεταφορὰ καὶ κατάχρησις, ὅτι ἡ μὲν μεταφορὰ ἀπὸ κατονομαζομένου ἐπὶ κατονομαζόμενον λέγεται, ἡ δὲ κατάχρησις ἀπὸ κατονομαζομένου ἐπὶ ἀκατονόμαστον, ὅθεν καὶ κατάχρησις λέγεται.

www.libpool.com.cn

γ'. ΠΕΡΙ ΑΛΛΗΓΟΡΙΑΣ.

Ἀλληγορία ἐστὶ λόγος ἕτερον μέν τι κυρίως δηλῶν, ἑτέρου δὲ ἔννοιαν παριστάνων καθ' ὁμοίωσιν ἐπὶ τὸ πλεῖστον, οἷον

ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν.

δ'. ΠΕΡΙ ΑΙΝΙΓΜΑΤΟΣ. 733

Αἴνιγμά ἐστι φράσις ἐπιτετηδευμένη κακοσχόλως εἰς ἀσάφειαν ἀποκρύπτουσα τὸ νοούμενον, ἢ ἀδύνατόν τι καὶ ἀμήχανον παριστάνουσα· διαφέρει δὲ ἀλληγορίας, ὅτι ἡ μὲν ἀμαυροῦται ἢ λέξει ἢ διανοίᾳ, τὸ δὲ καθ' ἑκάτερον, οἷον Ἥσσων ἀλγήσας παῖδα τὸν ἐκ Θέτιδος ἀνέθρεψε· ἥσσων γὰρ ὁ χείρων, ἀλγήσας πονήσας· 734 ἐστὶ δὲ ὅτι Χείρων ὁ Κένταυρος ἐξέθρεψε τὸν Ἀχιλλέα· καὶ πάλιν,

γῆς ἔθανε καταδέσμου ὅτ' ἀγγείων ἀφάμαρτεν·

ἀντὶ τοῦ Αἴας ὁ Τελαμῶνος ἐτελεύτησεν, ὅτε τῶν ὅπλων ἀπέτυχε. γῆς γὰρ Αἴας γίνεται, δεσμοῦ Τελαμῶνος, ἀγγείων δὲ τῶν ὅπλων. καὶ

εἰσὶ κασίγνηται δισσαί, ὧν ἡ μὲν μία τίκτει
τὴν ἑτέραν· αὐτὴ δὲ τεκοῦσ' ὑπὸ τῆσδε τεκνοῦται.

ἐπὶ ἡμέρας γὰρ καὶ νυκτὸς λέγει. γίνεται δὲ τὸ αἴνιγμα κατὰ τρόπους ἓξ· καθ' ὅμοιον, κατ' ἐναντίον, κατὰ συμβεβηκός, καθ' ἱστορίαν, καθ' ὁμωνυμίαν, κατὰ γλῶτταν. κατὰ μὲν ὅμοιον, οἷον Ἀνδροκύδης ὁ Πυθα- 735

Digitized by Google

γορικὸς ἔλεγε, ζυγὸν μὴ ὑπερβαίνειν ἀντὶ τοῦ τὸ δίκαιον μὴ παραβαίνειν, γαμψώνυχας μὴ τρέφειν ἀντὶ τοῦ ἅρπαγας φεύγειν, μελάνουρον μὴ ἐσθίειν ἀντὶ τοῦ ψευδῆ λόγον μὴ προΐεσθαι· τὸ γὰρ ψεῦδος ἐν τοῖς ἐσχάτοις μέρεσι μέλαινεται καὶ ἀμαυροῦται. ἐπὶ χοίνικος μὴ καθίζειν, τουτέστι, μὴ ἐπαναπαύεσθαι τῇ ἐφημέρῳ τροφῇ, ἀλλὰ προεισφέρειν. μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, τουτέστι τὸν θυμούμενον λόγοις μὴ ἐρεθίζειν. καὶ τὸ Ἡσιόδειον

μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀφελόντα ἔσθειν·

τουτέστι, μὴ ἀκρατῆ μηδὲ λίχνον εἶναι. καὶ ἐν τῷ βίῳ δέ τινα αἰνιγματωδῶς γίνονται κατὰ τὸν ὅμοιον τρόπον, οἷον ἐπὶ τῶν γαμούντων ὅτι σήσαμον ἢ κριθὰς κόπτουσιν οἰωνιζόμενοι, ἐπεὶ πολύγονά ἐστι. κατ' ἐναντίον δέ, οἷον ὡς ἀνήρ τε καὶ οὐκ ἀνὴρ ὄρνιθα καὶ οὐκ ὄρνιθα ἰδών τε καὶ οὐκ ἰδὼν ἐπὶ ξύλου καὶ οὐ ξύλου καθημένην τε καὶ οὐ καθημένην λίθῳ τε καὶ οὐ λίθῳ βάλλει τε καὶ οὐ βάλλει. ταῦτα εἴρηται ἐπὶ εὐνούχου κισσήρει βεβληκότος νυκτερίδα καὶ διὰ τὸ μὴ ἀκριβῶς ἰδεῖν ἐφημαρτηκότος· ἀνὴρ μὲν καὶ οὐκ ἀνὴρ ὁ εὐνοῦχος, ὄρνις καὶ οὐκ ὄρνις ἡ νυκτερίς, ἄπτερος γὰρ καὶ πετομένη· τὸ δὲ ἰδεῖν τε καὶ μὴ ἰδεῖν τὸ μὴ καλῶς ἰδεῖν· ἠμβλυώπει γάρ· καθημένην καὶ οὐ καθημένην διὰ τὸ ἀνεπιστρόφως κρέμασθαι· ξύλον τε καὶ οὐ ξύλον ὁ νάρθηξ· λίθος τε καὶ οὐ λίθος ἡ κίσσηρις· βαλεῖν τε καὶ οὐ βαλεῖν τὸ προέμενον μὴ εὐστοχῆσαι. κατὰ δὲ συμβεβηκός, ὡς τὸ

εἰσίν μοι δύο κασίγνητοι, οἱ δύο μοῦνοι·
ὄφρα μὲν οὖν ζώωσι, τὸν ἦλιον οὐκ ἐσορῶσι,
αὐτὰρ ἐπεί κε θάνωσι καὶ ἀνδρῶν χεῖρας ἵκωνται,
ἠέλιόν τε ὁρῶσι, καὶ ἀλλήλοισι μάχονται.

περὶ τῶν ἀστραγάλων, οἶμαι, λέγει. κατὰ δὲ ἱστορίαν,

www.libtool.com.cn
Digitized by Google

οἷον Τριτογένεια. κατὰ δὲ ὁμωνυμίαν, ὡς ἔχει ὁ δεδομένος χρησμὸς Ἀλεξάνδρῳ τῷ Μολοσσῷ, φυλάξασθαι τὸν ΚΗΡΟΕΝΤΑ. ὁ μὲν γὰρ ᾤετο τὸν ἐν Ἰταλίᾳ ποταμόν, ἦν δὲ ἕτερον· προσδοθέντος γὰρ αὐτῷ πινακιδίου κεκηρωμένου, τοῦτο ἀναγινώσκων ἐδολοφονήθη. κατὰ δὲ γλῶτταν ὅταν τὴν μὲν θάλατταν εὐρυγάστορα λέγῃ, τὴν δὲ Ἀθηναίαν μαρμαρῶπιν, τὸν δὲ μῦν δολιχοῦρον.

738

5

ε'. ΠΕΡΙ ΜΕΤΑΛΗΨΕΩΣ.

Μετάληψίς ἐστι λέξις ἐκ συνωνυμίας τὸ ὁμώνυμον δηλοῦσα, οἷον

10

ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι.

τὸ γὰρ θοὸν καὶ ὀξὺ συνωνυμεῖ. τὰς γὰρ καλουμένας ὀνομαστικῶς ὀξείας νήσους διὰ τὸ σχῆμα μεταληπτικῶς θοὰς ἐκάλεσεν. οὕτω καὶ τὸ ἔρρε κακὴ γλήνη, καὶ

15

Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ,
ὑπὲρ τάφρου πηδῶντας ἔστησε Φρύγας.

εἴρηται γὰρ φειδωλίᾳ ἀντὶ τοῦ ἀκριβείᾳ.

ς'. ΠΕΡΙ ΜΕΤΩΝΥΜΙΑΣ.

739

Μετωνυμία ἐστὶ λέξις ἀπὸ τοῦ ὁμωνύμου τὸ συνώνυμον δηλοῦσα, οἷον

20

σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο·

Ἥφαιστος γὰρ ὁ εὑρὼν τὸ πῦρ· καὶ ὅταν τὸν πυρὸν Δήμητραν εἴπωμεν. ἢ ἀπὸ τῶν εὑρόντων τὰ εὑρήματα, ἀλλὰ καὶ ἀπὸ τοῦ εὑρήματος τὸν εὑρόντα, οἷον

25

οἰνός μ' ἔπεισε, δαιμόνων ὑπέρτατος.

ζ'. ΠΕΡΙ ΣΥΝΕΚΔΟΧΗΣ.

Συνεκδοχή ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐξενηνεγμένη, προσδεομένη δέ τινος ἔξωθεν ἀκολουθίας.

740

Digitized by Google

τῶν δὲ συνεκδοχῶν εἰσι διαφοραὶ πλείους· αἱ μὲν γὰρ ἀπὸ μέρους τὸ ὅλον δηλοῦσιν, ὡς ἀργυρόπεζα Θέτις καὶ λευκώλενος Ἥρη· ἢ ἀπὸ τοῦ ὅλου τὸ μέρος, οἷον χάλκεον ἔγχος· οὐ γὰρ ὅλον, ἀλλὰ μέρος· καὶ βόας αὖας τὰς βύρσας· ἢ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, οἷον

χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ,

ἀντὶ τοῦ χρυσέην πανοπλίαν. ἢ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, οἷον

πολλὰς δ' ἰφθίμους ψυχάς·

ἢ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, οἷον

ἕξόμενοι λεύκαινον ὕδωρ ξεστῆς ἐλάτῃσι.

www.libool.com.cn

ή. ΠΕΡΙ ΟΝΟΜΑΤΟΠΟΙΙΑΣ.

Ὀνοματοποιΐα ἐστὶ λέξις κατὰ παραγωγὴν τοῦ καθωμιλημένου ἐξενηνεγμένη, λέγεται δὲ ὀνοματοποιΐα ἑπταχῶς· κατὰ ἐτυμολογίαν, κατὰ ἀναλογίαν, κατὰ παρονομασίαν, κατὰ σύνθεσιν, κατὰ ἐναλλαγήν, κατὰ διαίρεσιν, κατὰ πεποιημένον. κατὰ μὲν ἐτυμολογίαν εὐλαβῆ λίθον τὸν εὔληπτον. κατὰ δὲ ἀναλογίαν, ὡς παρὰ Σοφοκλεῖ

γερονταγωγῶ κἀναπαιδεύω πάλιν·

ἀναλόγως γὰρ τὸ γερονταγωγεῖν συνήθους ὄντος τοῦ παιδαγωγεῖν εἴληπται. κατὰ παρονομασίαν χρυσῶ ἀπὸ τοῦ χρυσοῦ· οὕτως ὠνόμασται καὶ παρ' Αἰσχύλῳ μελλώ·

χρονίζομεν γὰρ ὧδε τῆς μελλοῦς χάριν.

κατὰ σύνθεσιν, ὡς τὸ ποδάρκης δῖος Ἀχιλλεὺς καὶ νεφεληγερέτα Ζεύς. κατ' ἐναλλαγήν, ὡς ὅταν ἐπὶ συνθέτων ὀνομάτων ἐναλλάξῃ τις τὸ καθωμιλημένον, ὡς παρὰ Σοφοκλεῖ,

οἱ γὰρ γύνανδροι, καὶ λέγειν ἠσκηκότες,

ἀντὶ τοῦ οἱ ἀνδρόγυνοι. κατὰ διαίρεσιν δέ, ὡς εἴ τις τὸ σύνθετον καταδιέλοι, ὡς παρὰ τῷ ποιητῇ ἀκρόπολιν

Digitized by Google

πόλιν ἄκρην. πεποιημένον, ὡς τὸ τετριγῶτας καὶ κελαρύζει, καὶ λάψοντες γλώσσῃσι.

θ'. ΠΕΡΙ ΠΕΡΙΦΡΑΣΕΩΣ.

Περίφρασίς ἐστι φράσις πλείοσι λέξεσι παριστάνουσα μετ' αὐξήσεως τὸ ὑποκείμενον πρᾶγμα, οἷον Ποσειδάωνος σθένος, ἀντὶ τοῦ Ποσειδῶνος, καὶ βίη Ἡρακληείη, καὶ Πριάμοιο βίη, καὶ μένος Ἀτρείδαο, καὶ ἷς Τηλεμάχοιο, καὶ Πατροκλῆος λάσιον κῆρ.

ι. ΠΕΡΙ ΑΝΑΣΤΡΟΦΗΣ.

Ἀναστροφή ἐστι λέξις, ἣν ἐχρῆν προηγεῖσθαι, δευτέραν ἔχουσα τάξιν· γίνεται δὲ ἤτοι ὀνόματος ἢ προθέσεως ἢ ἐπιρρήματος μετακίνησις. ἐπὶ ὀνόματος μέν, οἷον 743

οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα
Ἀτρείδης.

τὸ γὰρ ἕξῆς, τὸν ἀρητῆρα Χρύσην, ἐπὶ δὲ προθέσεως, οἷον ὧ ἔπι πόλλ' ἐμόγησα.

ἀντὶ τοῦ ἐφ' ᾧ. καὶ Ἰθάκῃ ἕνι ἀντὶ τοῦ ἐν Ἰθάκῃ. ἐπὶ δὲ ἐπιρρήματος, οἷον ὄρνιθες ὥς, βόες ὥς.

ια'. ΠΕΡΙ ΤΠΕΡΒΑΤΟΥ.

Ὑπερβατόν ἐστι λέξις μετακεκινημένη ἀπὸ τῆς ἰδίας τάξεως· γίνεται δὲ ὑπερβατὸν ἐν εἴδεσι δυσίν· ἢ γὰρ ἐν λόγῳ, ἢ ἐν λέξει· ἐν λέξει μέν, οἷον κατὰ ταῦρον ἐδηδὼς ἀντὶ τοῦ κατεδηδώς· ἐν λόγῳ δέ, οἷον

ὣς ἔφατ'. Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν 744
μῦθον ἀγασσαμένοι Διομήδεος ἱπποδάμοιο. 26

διαφέρει δὲ τῆς ἀναστροφῆς, ὅτι ἡ μὲν τὰ τελευταῖα τοῖς πρώτοις συνάπτει, τὸ δὲ τὰ τελευταῖα ἐπὶ τὰ πρῶτα ἀνάγει.

Digitized by Google

ιβ'. ΠΕΡΙ ΠΛΕΟΝΑΣΜΟΥ.

Πλεονασμός ἐστι λέξις ἢ καθάπαξ ἢ μέρεσί τισι πλεονάζουσα, εἴδη δέ εἰσι τοῦ πλεονασμοῦ τρία, παράγωγον, ἔκτασις, παραπλήρωμα. παράγωγον μὲν οὖν ἐστι λέξις ἐν αὐτῇ τὸ πλεονάζον ἔχουσα, οἷον κελαινεφὲς αἷμα· οὐ γὰρ ἔγκειται τὸ νέφος. ὁμοίως καὶ τὸ χθονὸς εὐρυοδείης παρῆκται· οὐ γὰρ ἔγκειται ἡ ὁδός. ἔκτασις δέ ἐστι λέξις ἐκτεινομένη παρὰ τὸ σύνηθες, οἷον καλῆσι, θέλησι, δῶσι. παραπλήρωμα δέ ἐστι λέξις ἐκ περισσοῦ παραλαμβανομένη, οἷον

745 Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν·
ὁ γὰρ καὶ σύνδεσμος ἐνθάδε πλεονάζει· καὶ
ἀρχοὺς αὖ νηῶν ἐρέω, νῆάς τε προπάσας,
πλεονάζει ἡ πρό.

ιγ'. ΠΕΡΙ ΕΛΛΕΙΨΕΩΣ.

Ἔλλειψίς ἐστι λέξις οὐ κατὰ τὸ πλῆρες ἐξενηνεγμένη, γίνεται δὲ κατ' ἀρχήν, κατὰ μέσον, κατὰ τέλος, οἷον ἀφαίρεσις, συγκοπὴ καὶ ἀποκοπή. κατ' ἀρχὴν μέν, οἷον λείβειν εἴβειν, κατὰ μέσον, οἷον μονώνυχας μώνυχας, κατὰ δὲ τὸ τέλος, δῶμα δῶ.

Τρόποι μὲν οὖν οὗτοι τῆς γραμματικῆς τὴν κοινὴν συνήθειαν παραβαίνοντες, λοιποὶ δὲ τῆς φράσεώς εἰσιν κ', ὑπερβολή, ἔμφασις, ἐνέργεια, παρασιώπησις, ὁμοίωσις, εἰκών, παράδειγμα, παραβολή, χαρακτηρισμός, εἰκασμός, συντομία, βραχύτης, σύλληψις, ἐπανάληψις, προαναφώνησις, παρέκβασις, ἀμφιβολία, ἀντίφρασις, μετατύπωσις, ἀντονομασία, εἰρωνεία, σαρκασμός, 746 ἀστεϊσμός, μυκτηρισμός, χαριεντισμός, ἐπικερτόμησις, παροιμία.

ά. ΠΕΡΙ ΤΠΕΡΒΟΛΗΣ.

Ὑπερβολή ἐστι φράσις ὑπεραίρουσα τὴν ἀλήθειαν αὐξήσεως ἢ μειώσεως χάριν· αὐξήσεως μέν, οἷον

ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς·
καὶ
λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι·
καὶ
μελάντερον ἠὔτε πίσσα,
καὶ
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι·
καὶ τὰ ἑξῆς. μειώσεως δέ, οἷον Δίφιλός φησιν ἐπὶ αἰσχρᾶς γυναικός, ἣν
ὁ πατὴρ ἐφίλησεν οὐδὲ πώποτε·
παρ' ἧς τὸν ἄρτον ἡ κύων οὐ λαμβάνει,
μέλαινα δ' οὕτως, ὥστε καὶ ποιεῖν σκότος.

β'. ΠΕΡΙ ΕΜΦΑΣΕΩΣ.

Ἔμφασίς ἐστι λέξις δι' ὑπονοίας αὐξάνουσα τὸ δηλούμενον, οἷον
αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν· 747
ἐν γὰρ τῷ κατεβαίνομεν δηλοῦται τὸ μέγεθος τοῦ ἵππου· καὶ πάλιν ἱππόθεν ἐκχυμένοι· τὴν γὰρ ἀθρόαν ὁρμὴν τοῦ πλήθους διὰ μιᾶς ἐσήμανε λέξεως.

γ'. ΠΕΡΙ ΕΝΕΡΓΕΙΑΣ.

Ἐνέργειά ἐστι φράσις ὑπ' ὄψιν ἄγουσα τὸ νοούμενον, οἷον
μυρίοι, οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν·
ἔχονται δὲ τῆς ἐνεργείας καὶ αἱ τοῦ Ὁμήρου παραβολαί.

δ'. ΠΕΡΙ ΠΑΡΑΣΙΩΠΗΣΕΩΣ.

Παρασιώπησίς ἐστι λόγος, ἐν ᾧ δύο ὀφειλόντων πραγμάτων κατὰ τὸ πλῆρες λέγεσθαι, τοῦ μὲν ἑνός ἐστιν ἐπαγγελία, τοῦ δ' ἑτέρου παρασιώπησις κατὰ τὸ ἀνάλογον νοουμένη, οἷον

www.libtool.com.cn
Digitized by Google

αὐτὰρ ὁ Διογενὴς δόρυ μὲν λίπεν.
ὡς μὲν γὰρ ἔθηκεν, εἶπεν, ὡς δὲ ἀνέλαβεν, οὔ.

ε. ΠΕΡΙ ΟΜΟΙΩΣΕΩΣ.

Ὁμοίωσίς ἐστι ῥῆσις, καθ' ἣν ἕτερον ἑτέρῳ παρα-
748 βάλλομεν, εἴδη δὲ αὐτῆς εἰσι τρία, εἰκών, παράδειγμα,
6 παραβολή. εἰκών ἐστι λόγος ἐναργῶς ἐξομοιοῦν πειρώ-
μενος διὰ τοῦ παραλαμβανομένου, πρὸς ὃ παραλαμβά-
νεται, οἷον

ἠΰτε βοῦς ἀγέλῃφι μέγ' ἔξοχος ἔπλετο πάντων.

10 παρέπεται δὲ τῇ εἰκόνι μέγεθος, σχῆμα, χρῶμα. εἰκονί-
ζεται δὲ ἤτοι ὅλα πρὸς ὅλα, οἷον περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη. ἢ μέρη πρὸς μέρη, οἷον

Ἄρεϊ μὲν ζώνην, στέρνον δὲ Ποσειδάωνι·

σχῆμα δὲ πρὸς σχῆμα, οἷον

15 ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων·

χρῶμα δὲ πρὸς χρῶμα, οἷον

ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ.

μέγεθος δὲ πρὸς μέγεθος, οἷον

Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ

20 ὡς ἱστὸς νηὸς εἰκοσόροιο·

παράδειγμά ἐστι τοῦ προγεγονότος πράγματος παρέν-
θεσις καθ' ὁμοιότητα τῶν ὑποκειμένων πρὸς παραί-
νεσιν προτροπῆς ἢ ἀποτροπῆς ἕνεκεν· προτροπῆς μέν,
οἷον

749 οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης,
26 πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα;

ἀποτροπῆς δέ,

οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόεργος
30 δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζε·

διαφέρει δὲ παράδειγμα παραβολῆς, ὅτι τὸ μὲν παρά-

www.libtool.com.cn
Digitized by Google

δειγμα ἀπὸ γεγονότων πραγμάτων παραλαμβάνεται, ἡ δὲ παραβολὴ ἐξ ἀορίστων καὶ ἐνδεχομένων γενέσθαι.

[Κόμμα ἐστὶ φράσις βραχύ τι νόημα ἔχουσα, οἷον δεῖ δὲ χρημάτων· κῶλον δὲ μέρος νοήματος, οἷον ἄλλως τε κἂν Ὅμηρον ἔχωσιν.

Χαρακτῆρες ῥητορικοὶ τρεῖς, τουτέστιν εἴδη φράσεων· αὐστηρόν, μέσον, ἰσχνόν· καὶ τὸν μὲν αὐστηρὸν ὁ Θουκυδίδης ἐπετήδευσε χαρακτῆρα καὶ Ἀντιφῶν ὁ τούτου διδάσκαλος, τὸν δὲ μέσον Δημοσθένης, Ὑπερίδης, Λείναρχος, Λυκοῦργος, τὸν δὲ ἰσχνὸν Αἰσχίνης, Ἰσοκράτης, Λυσίας, Ἀνδοκίδης, Ἰσαῖος.]

Παραβολή ἐστι λόγος διὰ παραθέσεως ὁμοίου πράγματος τὸ ὑποκείμενον μετ' ἐνεργείας παριστάνων, οἷον

κινήθη δ' ἀγορή, ὡς κύματα μακρὰ θαλάσσης
πόντου Ἰκαρίοιο·

γίνονται δὲ αἱ παραβολαὶ τετραχῶς, ἤτοι πάθους πάθει ἢ διαθέσεως διαθέσει ἢ φύσεως φύσει ἢ πράξεως πράξει. πάθους μὲν οὖν πάθει,

ὡς δ' ὅταν ἀσπασίως·

διαθέσεως δὲ διαθέσει,

ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη,
ὣς αὖθις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων.

φύσεως δὲ φύσει, οἷον

οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.

πράξεως δὲ πράξει,

οἱ δ' ὡς ἀμητῆρες ἐναντίοι ἀλλήλοισι.

ε'. ΠΕΡΙ ΧΑΡΑΚΤΗΡΙΣΜΟΥ.

Χαρακτηρισμός ἐστι λόγος τῶν περὶ τὸ σῶμα ἰδιωμάτων ἀπαγγελτικός, ὃν καί τινες εἰκονισμὸν λέγουσιν, οἷον

γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος.

Digitized by Google

ζ'. ΠΕΡΙ ΕΙΚΑΣΜΟΥ.

Εἰκασμός ἐστιν ὁμοιότης εἴδους, περισπῶσα τὴν φαντασίαν πρὸς τὸ γελοιότερον, ὃ δὴ ὑπό τινων σκῶμμα καλεῖται· διαφέρει δὲ τῆς εἰκόνος, ὡς γένος εἴδους· ἡ μὲν γὰρ εἰκὼν οὐκ εὐθέως εἰκασμός, ὁ δὲ εἰκασμὸς πάντως εἰκών.

www.libtool.com.cn

η'. ΠΕΡΙ ΣΥΝΤΟΜΙΑΣ.

752 *Συντομία ἐστὶ φράσις αὐτὰ τὰ ἀναγκαῖα τοῦ δηλουμένου ἔχουσα, οἷον*

κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ·

καὶ

σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια,
ἀμφιπόλου μὲν ἅμαρτε, βαθείῃ δ' ἔμπεσε δίνῃ·
ταὶ δ' ἐπὶ μακρὸν ἄϋσαν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς.

θ'. ΠΕΡΙ ΒΡΑΧΥΤΗΤΟΣ.

Βραχύτης ἐστὶ φράσις πλέον τι τοῦ ἀκουομένου νοούμενον ἔχουσα, οἷά ἐστι τὰ Δελφικὰ ἀποφθέγματα, γνῶθι σαυτόν· χρόνου φείδου· μηδὲν ἄγαν. βραχύτητα δὲ ἔχει καὶ τὸ Λακεδαιμόνιοι Φιλίππῳ, Διονύσιος ἐν Κορίνθῳ· βούλονται γὰρ εἰπεῖν, μὴ ὑψαύχει ἀφορῶν εἰς Διονύσιον τανῦν γράμματα ἐν Κορίνθῳ διδάσκοντα, ὃς πρότερον ἐτυράννει.

ι'. ΠΕΡΙ ΣΥΛΛΗΨΕΩΣ.

753 *Σύλληψίς ἐστι φράσις τὸ ἰδίᾳ τινὶ συμβὰν κατὰ δύο*
26 *τιθεῖσα, οἷον*

Βορέης καὶ Ζέφυρος τώ τε Θρῄκηθεν ἄητον.

καὶ

τὼ δὲ δύω σκάζοντε βάτην·
καὶ φὰν δ' ἔμμεναι Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.

Digitized by Google

ια΄. ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ.

Ἐπανάληψίς ἐστι δὶς ἢ καὶ πολλάκις ἐπαλλήλως τιθεμένη φράσις· δὶς μὲν

ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τήλοθ' ἐόντας,
Αἰθίοπας, τοὶ δίχθα δεδαίαται ἔσχατοι ἀνδρῶν.

πλεονάκις δέ,

Νιρεὺς Αἰσύμνηθεν ἄγεν τρεῖς νῆας ἑΐσας,
Νιρεύς, Ἀγλαΐης υἱός, Χαροποῖό τ' ἄνακτος,
Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε.

γίνεται δὲ ἐπανάληψις, ὅτε τὸ καθάπαξ ῥηθὲν ὑποδιαιρεῖται κατὰ μέρος. [Νιρεὺς δὲ ἐκ τοῦ ἵπτω· Νειρεὺς δὲ ἐκ τοῦ νέω τὸ πορεύομαι· Νηρεὺς ἐκ τοῦ νήχω τὸ κολυμβῶ.]

ιβ΄. ΠΕΡΙ ΠΡΟΑΝΑΦΩΝΗΣΕΩΣ.

Προαναφώνησίς ἐστι λέξις περὶ τῶν μελλόντων προαναφωνουμένη μεταξὺ τῆς συνεχούσης διηγήσεως,

αἶψα δ' ἑταῖρον ἑὸν Πατροκλῆα προσέειπε
φθεγξάμενος παρὰ νηός· ὁ δὲ κλισίηθεν ἀκούσας
ἔκμολεν ἴσος Ἄρηϊ· κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή.

ιγ΄. ΠΕΡΙ ΠΑΡΕΚΒΑΣΕΩΣ.

Παρέκβασίς ἐστι λόγος χάριν ἱστορίας ἢ γενεαλογίας παραλαμβανόμενος, ὥσπερ ἃ φησιν ὁ Φοῖνιξ περὶ Κουρήτων.

ιδ΄. ΠΕΡΙ ΑΜΦΙΒΟΛΙΑΣ.

Ἀμφιβολία ἐστὶ λέξις ἢ λόγος δύο καὶ πλείονα πράγματα δηλοῦσα· λέξις μὲν γὰρ εἴρηται, ὅτι αἱ ὁμωνυμίαι ἀμφίβολοί εἰσιν, οἷον Αἴας, ἄδηλον γάρ, πότερον τῶν Αἰάντων δηλοῖ. λόγος δέ, ἐπεὶ καὶ ἐν λόγῳ ἀμφιβολίαι εἰσίν, οἷον

ἅρματα δ' ἔγκλιναν πρὸς ἐνώπια παμφανόωντα·

Digitized by Google

καὶ

δός δέ τέ μ' ἄνδρα ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν.

ιε'. ΠΕΡΙ ΑΝΤΙΦΡΑΣΕΩΣ.

'Αντίφρασίς ἐστι λέξις διὰ τοῦ ἐναντίου ἢ παρακειμένου τὸ ἐναντίον παριστῶσα χωρὶς ὑποκρίσεως, πρόσκειται δὲ χωρὶς ὑποκρίσεως διὰ τὴν εἰρωνείαν. διὰ μὲν τοῦ ἐναντίου τὸ ἐναντίον ἀντιφράξεται οὕτως,

ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' 'Αχαιῶν·

ἀλλ' ὃ ἄριστος δηλονότι. καὶ

οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν 'Αχιλλεύς·

ἀλλὰ συνεχύθη καὶ ἐλυπήθη. ἐνίοτε καὶ αὐτὸ προτίθεται τὸ ἐκ τοῦ ἐναντίου, οἷον οὐχ ὁ κάκιστος, ἀλλ' ὁ ἄριστος. διὰ δὲ τοῦ παρακειμένου, τὰ κατ' εὐφημισμὸν λεγόμενα καὶ τὴν κακίαν περιστέλλοντα, ὡς ὅταν τὴν χολὴν ἡδεῖαν λέγωμεν, καὶ τὰς 'Ερινύας Εὐμενίδας, καὶ ἄχαριν τὸν λύπης ποιητικόν, καὶ τὸν δυσειδῆ πίθηκον κάλλιστον, καὶ τὴν σκαιὰν εὐώνυμον, καὶ τοὺς ἄλας ἡδυντῆρας.

ις'. ΠΕΡΙ ΜΕΤΑΤΤΠΩΣΕΩΣ.

Μετατύπωσίς ἐστι λέξις ἐνηλλαγμένα στοχεῖα ἔχουσα, οἷον ὑπαὶ πόδα ἀντὶ τοῦ ὑπὸ πόδα, καὶ τὸ Βορέης Βορέας, καὶ τὸ Ἕως Ἠώς.

ιη'. ΠΕΡΙ ΑΝΤΟΝΟΜΑΣΙΑΣ.

'Αντονομασία ἐστὶ λέξις ἢ φράσις διὰ συνωνύμων ὀνομάτων τὸ κύριον παριστῶσα· λέξις μὲν Φοῖβε ἀντὶ τοῦ Ἄπολλον, καὶ 'Εννοσίγαιε ἀντὶ τοῦ Πόσειδον, καὶ

ὄφρα ἴδῃ γλαυκῶπις, ὅταν ᾧ πατρὶ μάχηται·

ἀντὶ τοῦ 'Αθηνᾶ. φράσις δὲ Λητοῦς καὶ Διὸς υἱός, ἀντὶ τοῦ 'Απόλλων. ἔνιοι δὲ τὴν ἔλλειψιν καὶ τὴν ἀντονομασίαν ὑποτάττουσι τῇ συνεκδοχῇ.

www.mtpool.com.cn
Digitized by Google

ιθ'. ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Εἰρωνεία ἐστὶ λόγος διὰ τοῦ ἐναντίου τὸ ἐναντίον μετά τινος ἠθικῆς ὑποκρίσεως δηλῶν, ὡς παρ' Εὐριπίδῃ ἡ Μήδεια τὸν πολλὰ ἠδικηκότα Ἰάσονα μακαρίαν αὐτήν φησι πεποιηκέναι, ὁμοίως δὲ καὶ Τηλέμαχος πρὸς ἕνα τῶν μνηστήρων φησίν

Ἀντίνο' ἦ μεν καλὰ πατὴρ ὣς κήδεαι υἷος. 758

οὐ γὰρ ὁ Ἀντίνους ὡς πατὴρ ἐφρόντιζεν αὐτοῦ. τοὐναντίον μὲν οὖν καὶ ἐβούλετο ἀποκτεῖναι αὐτόν. καὶ ὅταν ὁ Ὀρέστης φησὶ Τυνδαρέῳ,

ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατήρ·

ὁ τὰς κακίστας φύσας. τῆς δὲ εἰρωνείας τὸ μὲν ἐπὶ τῶν πέλας λέγεται, τὸ δὲ ἐφ' ἡμῶν αὐτῶν· τὸ μὲν οὖν ἐπὶ τῶν πέλας καλεῖται μυκτηρισμὸς καὶ χλευασμός, τὸ δὲ ἐφ' ἡμῶν ἀστεϊσμός.

κ'. ΠΕΡΙ ΣΑΡΚΑΣΜΟΥ.

Σαρκασμός ἐστι μέχρι τοῦ σεσηρέναι τοὺς ὀδόντας παραφαίνειν, ὅπερ ἦν εἰκὸς ποιῆσαι τὸν Ἀχιλλέα λέγοντα· 759

τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν εἵλετο.

κα'. ΠΕΡΙ ΜΥΚΤΗΡΙΣΜΟΥ.

Μυκτηρισμός ἐστι τὸ μετὰ ποιᾶς κινήσεως καὶ συναγωγῆς τῶν μυκτήρων γινόμενον, ὥσπερ καὶ Μένανδρός φησιν, οἱ δὲ πάλιν ἐμυκτήρισαν, καὶ τὸ ἐπέμυξάν τινες οὕτως εἰλήφασι.

κβ'. ΠΕΡΙ ΧΑΡΙΕΝΤΙΣΜΟΥ.

Χαριεντισμός ἐστι λόγος εὐτράπελος, ἐν ᾧ διαχεῖται ὅ τε λέγων καὶ ὁ ἀκούων,

ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα

Τρωσὶν ἅμ' ἑσπέσθαι, τοὺς νῦν ἔκπαγλ' ἐφίλησε,
τῶν τινα καρρέζουσα Ἀχαιϊάδων ἐϋπέπλων,
πρὸς χρυσῇ περόνῃ κατεμύξατο χεῖρα ἀραιήν.

κγ'. ΠΕΡΙ ΕΠΙΚΕΡΤΟΜΗΣΕΩΣ.

www.libtool.com.cn

760 Ἐπικερτόμησίς ἐστιν ἀλληγορία μετὰ χλευασμοῦ ἐκ-
6 φερομένη ἐφ' ἡδονῇ τοῖς κατορθωθεῖσιν ὑπ' αὐτῆς, οἷον

τῷ δ' ἐπικερτομέων προσέφης Πατρόκλεις ἱππεῦ·
ὦ πόποι ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὅς ῥεῖα κυβιστᾷ
10 *ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασι.*

κδ'. ΠΕΡΙ ΑΣΤΕΙΣΜΟΥ.

Ἀστεϊσμός ἐστι λόγος ἀφ' ἑαυτοῦ διασυρτικὸς γενόμενος, ὡς εἴ τις πλουτῶν λέγει, ἐγὼ δέ εἰμι πάντων πενέστατος, καὶ ὁ πάντας καταπαλαίων λέγει ὑπὸ πάντων
15 πίπτειν. παρὰ δὲ Καλλιμάχῳ ἀστεϊζομένη ἡ ἐλαία φησίν, *ἐγὼ φαύλη πάντων τῶν δένδρων εἰμί.* καλεῖται δὲ τοῦτο καὶ προσποίησις.

κε'. ΠΕΡΙ ΠΑΡΟΙΜΙΑΣ.

Παροιμία ἐστὶ λόγος εἰρημένος ἐν ἀρχῇ πρὸς ἕτερον,
20 λεγόμενος δὲ ὑφ' ἡμῶν κατὰ ἀνακύκλησιν πρός τινα τῶν ὁμοηθῶν, ὡς παρὰ Σαπφοῖ, *μήτ' ἐμοὶ μέλι, μήτε μέλιττα.*

Digitized by Google

www.libtool.com.cn

XXIX.

ΑΝΩΝΥΜΟΥ
ΠΕΡΙ ΠΟΙΗΤΙΚΩΝ ΤΡΟΠΩΝ.

Τούτοις ἑπομένως καὶ περὶ ποιητικῶν λεγέσθω τρόπων· ποιητικοὶ δὲ λέγονται, οὐχ ὅτι παρὰ ποιηταῖς μόνοις γράφονται, ἀλλ' ὅτι τὴν κοινὴν ὑπερβαίνοντες συνήθειαν παρ' αὐτοῖς μᾶλλον πλεονάζουσιν· ὡς γὰρ φιλόσοφοι πάντως καὶ μεῖζον ἔχοντες ὀνομάτων ἄλλων καὶ τοὺς αὑτῶν ἐξόχους σχήμασί τισι ποικίλλειν ἐπετήδευον, καὶ ἀπὸ τοῦ χθαμαλοῦ ἐξαίρειν ἔσπευδον. ὀνομάζονται μὲν οὖν οὕτω καθολικῶς ὡς ἐκ τῶν κατὰ φύσιν πραγμάτων μετακινούμενοι ἐφ' ἕτερα, ὀνομάζονται δὲ καὶ ἰδίως οὕτως, ἀλληγορία, μεταφορά, κατάχρησις, μετάληψις, μετωνυμία, αἴνιγμα, συνεκδοχή, ὀνοματοποιΐα, σύλληψις, παραπλήρωμα, ὑπερβολή, ἔλλειψις, πλεονασμός, ἀντίφρασις, ἐξοχή, προσωποποιΐα, παραβολή, ἀνταπόδοσις, παράδειγμα, ἀντονομασία καὶ εἰρωνεία.

α'. ΑΛΛΗΓΟΡΙΑ.

Ἔστι μὲν οὖν ἀλληγορία λέξις ἕτερον μὲν λέγουσα, ἑτέρου δὲ ἔννοιαν παριστῶσα, ὡς τὸ πρὸς τὸν ὄφιν εἰρημένον, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων. ἀλληγορικῶς ἐπὶ τοῦ νοητοῦ ὄφεως, τοῦ διαβόλου, λαμβανόμενον.

Digitized by Google

β'. ΜΕΤΑΦΟΡΑ.

Μεταφορὰ δέ ἐστι μέρος λόγου ἀπὸ τοῦ κυρίως λεγομένου μεταφερόμενον ἐφ' ἕτερον ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα. εἴδη δὲ αὐτοῦ τέσσαρα. ἀπὸ ἐμψύχου εἰς
716 *ἔμψυχον, οἷον εἰ λέγομεν τὸν βασιλέα ποιμένα μεταφο-*
6 *ρικῶς ἐκ τοῦ τῶν προβάτων ποιμένος· ὅ τε γὰρ ποιμήν, ὅ τε βασιλεὺς ἔμψυχα καὶ ἄμφω. ἀπὸ ἐμψύχου εἰς ἄψυχον, οἷον εἰ τὴν τοῦ ὄρους ἀκρώρειαν κορυφὴν λέγοιμεν ὄρους· ἐπὶ γὰρ ἀνθρώπου κυρίως λαμβάνεται*
10 *ἡ κορυφή, ὃς ἐστιν ἔμψυχον, τὸ δ' ὄρος ἄψυχον. ἀπὸ ἀψύχου εἰς ἄψυχον, οἷον εἰ κρύψας τις ἐν σποδιᾷ ἄνθρακας πυρός, σπέρμα λέγοι πυρὸς φυλάττειν, ὃ λαμβάνεται ἐπὶ σίτου καὶ τῶν ὁμοίων, ἅτινα ἄψυχά ἐστι, καὶ τὸ πῦρ ὅμοιον· ἢ εἰ λέγει, ὅτι διεχεῖτο ἡ φλόξ· τὸ γὰρ*
15 *διαχεῖσθαι κυρίως τοῖς ὑγροῖς συμβαίνει, ἀφ' ὧν μεταφορικὰ καὶ ἐπὶ τοῦ πυρὸς λαμβάνεται. ἀπὸ δὲ ἀψύχου εἰς ἔμψυχον, οἷον εἴ τις ἀδαμάντινον λέγει τὸν ἀνδρεῖον καὶ ἀνένδοτον· ὁ γὰρ ἀδάμας ἄψυχον, ὁ δὲ ἄνθρωπος ἔμψυχος.*

20 ### γ'. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησίς ἐστι φράσις μετενεχθεῖσα ἀπὸ τοῦ πρώτως κατονομασθέντος κυρίως, ὡς εἴ τις λέγει πυξίδα τὴν ἐκ χαλκοῦ κατεσκευασμένην· μόνη γὰρ κυρίως ἡ ἐκ πύξου μετουσιαστικῶς πύξις ὀνομάζεται. ὁμοίως λέ-
25 *γομεν καὶ ἐπὶ τοῦ κεραμείου τράχηλον, καὶ γόνυ καλά-*
717 *μου, καὶ γαστέρα νηός, καὶ γλῶσσαν ἐμβάδων, καὶ ἔτι ψηφίζειν τὸ δακτύλοις μετρεῖν. διαφέρει δὲ κατάχρησις μεταφορᾶς, ὅτι ἡ μὲν μεταφορὰ ἀπὸ κατωνομασμένου ἐπὶ κατωνομασμένον γίνεται, ἡ δὲ κατάχρησις*
30 *ἀπὸ κατωνομασμένου ἐπὶ ἀκατονόμαστον.*

www.libtool.com.cn

Digitized by Google

δ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι λέξις διὰ τῆς συνωνύμου τὸ ὁμώνυμον δηλοῦσα, οἷον Τεῦκρος δὲ τόξων φειδωλός ἐστιν, εἴτ' εἰπεῖν, ὡς ἄριστος περὶ τὸ τοξεύειν· τῇ γὰρ φειδωλίᾳ συνωνυμεῖ ἡ κατὰ δοσιν ἀκρίβεια, τῇ δὲ ὁμωνυμεῖ ἡ κατὰ τέχνην ἀκρίβεια, ἤγουν ἡ εὐστοχία.

www.ibtool.com.cn

ε'. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία δέ ἐστι λέξις διὰ τῆς ὁμωνυμίας τὸ συνώνυμον δηλοῦσα, οἷον ὅβριμος Ἄρης, δηλονότι ἰσχυρὸς πολεμίοις, ὡσαύτως καὶ τὸν οἶνον Διόνυσον ἢ τὸν Διόνυσον οἶνον.

ς'. ΑΙΝΙΓΜΑ.

Αἴνιγμα δέ ἐστι φράσις ἐπιτετηδευμένη εἰς ἀσάφειαν, ὥστε ἐπικρύπτειν τὸ νοούμενον, οἷον τὸ ξυγὸν μὴ ὑπέρβαινε, ἤγουν μὴ κατάλυε τὸ δίκαιον ἢ παράτρεχε· καὶ ἔτι γαμψώνυχας μὴ τρέφειν, ἤγουν μὴ σιτίξειν ἅρπαγας, καὶ μελανούρων μὴ γεύσεσθαι, ἤγουν μὴ προοίσεσθαι τὸ ψεῦδος· τοῦτο γὰρ ἔσχατον ἀμαυροῦται, καὶ τὸν ψευδόμενον συναμαυροῖ· μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἤγουν θυμούμενον μὴ προσερεθίζειν. διαφέρει δὲ αἴνιγμα ἀλληγορίας, ὅτι ἐκείνη μὲν γίνεται προτροπῆς ἢ ἀποτροπῆς ἕνεκα ἢ καὶ διὰ σεμνότητα, τὸ αἴνιγμα δὲ χάριν ἀσαφείας ἐπιτετηδευμένης μόνης.

ζ'. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι φράσις ἢ λέξις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν, εἰσὶ δὲ ταύτης διαφοραὶ δώδεκα· ἢ μὲν γὰρ ἀπὸ ὅλου δηλοῖ τὸ μέρος, ὡς ὅταν βόας αὔας ὀνομάζωσι τὰς ἐκ βοείων βυρσῶν κατεσκευασμένας ἀσπίδας· μέρος γὰρ βοὸς ἡ

βύρσα. ἀπὸ μέρους τὸ ὅλον, ὡς λευκώλενος Ἥρη· ἀπὸ γὰρ μέρους τοῦ τῶν χειρῶν, λέγω τῆς ἀγκάλης, τὴν ὅλην αἰνίττεται εἶναι λευκήν. ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ὡς τὸ χρυσὸν δ' αὐτῆς ἔνδυνε περὶ χροΐ, ἤγουν χρυσῆν πανοπλίαν. ὕλη γὰρ ἐγένετο τῶν ὅπλων ὁ χρυσός, ἐπεὶ ἄλλως οὐκ ἦν αὐτῇ ὅπλον γυμνὸς ὁ χρυσός. ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, ἀρυόμενοι δὲ λεύκαινον ὕδωρ ξέστησεν. ἀπὸ τοῦ συμβόλου τὸ κύριον, οἷον εἴ τις τὴν βασιλείαν σκῆπτρον καλεῖ. ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, οἷον λῦσε δὲ παρθενικὴν ζώνην [διακορισθεῖσα]. ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, οἷον ἐναρίζειν καλεῖ τὸ σκυλεύειν· ἐν γὰρ ταῖς λείαις πολλὰ καίνειν καὶ διχάζειν συμβαίνει. ἀπὸ γένους τὸ εἶδος, ὡς τὸ ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον λέγων τὸν ἄνθρωπον, ὃς εἶδός ἐστι τοῦ ζώου. ἀπὸ εἴδους τὸ γένος, ἢ τοῦ ἰδίου, ὡς ὅταν γελᾶν εἴπω τινά· δῆλον γὰρ ἄνθρωπον εἶναι ἐκεῖνον· ἀνθρώπου γὰρ μόνον τὸ γελαστικόν· ἢ ἀπὸ τῶν πολλῶν τὸ ἕν, ὡς τὸ στήθεα μαρμαίροντα. ἀφ' ἑνὸς τὰ πολλά, ὡς τὸ πέρσεν Ὀδυσσεὺς ἱερὸν πτολίεθρον Τροίης. ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς τὸ πᾶσα ἡ πόλις ἐταράχθη, δηλονότι οἱ ἐν τῇ πόλει ἄνθρωποι. ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, οἷον τὸ „οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον.

η. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

720 Ὀνοματοποιΐα ἐστὶ λέξις ἢ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων, ὡς καταχλευασμὸς ἡ ξέοντος λέβητος ἠχώ, καὶ ἐπὶ πυρὸς τὸ παφλάζειν, καὶ κότταβος ἀσπίδων καὶ πάταγος ἀνέμου, καὶ ἦχος ἐπὶ βροντῆς καὶ τὰ τοιαῦτα.

Digitized by Google

θ'. ΣΥΛΛΗΨΙΣ.

Σύλληψίς ἐστι φράσις τὸ ἄλλως πραχθὲν ἐφ' ἕτερον ἕλκουσα, ὡς τὸ

Βορρᾶς καὶ Ζέφυρος, τώ τε Θρᾴκηθεν ἄητον·
μόνος γὰρ Βορρᾶς ἀπὸ Θρᾴκης πνεῖ, ἐνέφηνε δὲ διὰ 721
τοῦ ἀδυνάτου τὴν τότε ταραχὴν τῶν ἀνέμων καὶ τὸ 6
ἀνώμαλον.

ι'. ΠΑΡΑΠΛΗΡΩΜΑ.

Παραπλήρωμα δέ ἐστι λέξις ἐκ περισσοῦ κειμένη κόσμου χάριν ἢ μέτρου, ὡς τὸ 10

Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε.

καὶ γὰρ ἐνταῦθα ἀργῶς κεῖται ὅ τε καὶ σύνδεσμος, καὶ ἡ αὐτὸς ἀντωνυμία εἰς παραπλήρωσιν κόσμου χάριν.

ια'. ΤΠΕΡΒΟΛΗ. 15

Ὑπερβολὴ δέ ἐστι λόγος ὑπεραίρων τὴν ἀλήθειαν ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα, ἐμφάσεως μέν, ὁποῖον τὸ ἐπ' ἄκρων ἀνθερίκων θέον, οὐδὲ κατέκλων. καὶ ἔτι ταχύτερος ἀνέμου καὶ λευκότερος χιόνος· ταυτὶ μὲν γὰρ οὐκ ἀληθῆ, ἔμφασιν δὲ ὅμως ἔχουσιν ὑπερβολῆς. 20
ὁμοιώσεως δέ, οἷον ἀδαμάντινος ἦν τὸ σῶμα, ἀνδριὰς τὴν καρτερίαν, κιὼν τὴν εὐθύτητα τοῦ σώματος, φοῖνιξ τὸ μῆκος, ἀστὴρ τὴν αὐγὴν τοῦ κάλλους, ἅπερ οὐκ ἄλλως ἀληθῆ, εἰ μὴ μόνην ὁμοίωσιν σώζοντα πρὸς αὐτά. 25

ιβ'. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψις δέ ἐστι λόγος μὴ κατὰ τὸ πλῆρες ἐκφερόμενος, παρέχων δὲ νοεῖν τὸ ἑπόμενον, ὡς τὸ ἀγαθὸν 722
ἐλπίζειν ἐπὶ κύριον· τὸ γὰρ ἐστὶν ἐλλειπτικῶς νοεῖται, 30
καὶ ἀναστάσεως ἡμέρα καὶ τὰ τοιαῦτα.

Digitized by Google

ιγ'. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμὸς δ' ἐστὶν λέξις πλεονάζουσα μέν, μηδὲν μέντοι σημαίνουσα πλέον, προστίθεται δὲ κόσμου ἢ μέτρου χάριν, οἷον ὁ μὲν δὴ Πέρσης καὶ τὸ ἔναντι καὶ ἐναντίον.

www.libtool.com.cn

ιδ'. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασις δέ ἐστι λόγος δι' ἐναντίου τὸ ἐναντίον σημαίνων, ὡς ὅταν τις τὸν τυφλὸν βλέποντα λέγῃ.

ιε'. ΕΞΟΧΗ.

Ἐξοχή δέ ἐστι λόγος ὁ μετὰ τὴν κοινὴν σημασίαν, εἰδικῶς καθ' ὑπεροχήν τινι προσνεμόμενος, ὡς τὸ εἶπατε τοῖς μαθηταῖς μου καὶ τῷ Πέτρῳ.

ις'. ΠΡΟΣΩΠΟΠΟΙΙΑ.

Προσωποποιῖα δὲ ἡ τοῖς ἀψύχοις πρόσωπον προστιθεῖσα καὶ λόγους αὐτοῖς ἁρμοδίους προσάπτουσα, οἷον 723 τὸ εὐφρανέσθωσαν οἱ οὐρανοί, καὶ τὸ οἶδεν ἡ θάλασσα, καὶ ἔφυγεν.

ιζ'. ΠΑΡΑΒΟΛΗ.

Παραβολὴ δέ ἐστι λόγος δι' ὁμοίων καὶ γινωσκομένων εἰς ὄψιν ἄγειν πειρώμενος τὸ νοούμενον, ὡς ἡ τοῦ κυρίου περὶ τοῦ ἀσώτου παραβολή, ἐν ᾗ δείκνυσι τὸ συμπαθὲς τῆς θεότητος καὶ τὸ τῆς αὐτοῦ ἀγαθότητος ἄπειρον, καὶ ὅπως τοὺς μετανοοῦντας προσδέχεται.

ιη'. ΑΝΤΑΠΟΔΟΣΙΣ.

Ἀνταπόδοσις δέ ἐστιν ἡ τῶν ἐν τῇ παραβολῇ εἰρημένων προσδιασάφησις καὶ εὐκρίνεια δεικνύουσα κατὰ σύγκρισιν τόν τε σκοπὸν καὶ τὴν τῆς παραβολῆς χρείαν, καὶ ἔτι διέγερσιν καὶ μίμησιν, οἷον ἐκείνου τοῦ Σολομῶντος, μίμησαι τὸν μύρμηκα, ὦ ὀκνηρὲ νεανία.

Digitized by Google

ἐλεγκτικῶς γὰρ παροξύνει δεικνὺς ἡττώμενον τοῦ μύρμηκος καὶ πρὸς τὸν ὅμοιον ἐνάγων ξῆλον, καὶ τὸ ποιητικὸν αὐτοῦ ἀλλ' οὐ τὴν φύσιν ζηλοῦν ἐγκελευόμενος.

ιθ'. ΑΝΤΟΝΟΜΑΣΙΑ.

www.hdtool.com.cn

Ἀντονομασία ἐστὶ λόγος δι' ἐπιθέτων ἢ τῶν ὁμοίων 724
αὐτὸ τὸ ὄνομα τὸ κύριον δηλῶν, ὃ ποιοῦμεν, ὅταν 6
δύο ἢ καὶ πλειόνων ἡμῖν ἐγνωσμένων ἀνθρώπων καὶ τὰ κύρια ὀνόματα ἐχόντων τὰ αὐτὰ βουληθῶμεν ἑνὸς τούτων μνήμην ποιήσασθαι πρὸς ἕτερόν τινα, μὴ τὸ κύριον ὄνομα λέγωμεν διὰ τὴν ὁμωνυμίαν, ἀλλ' ἐκ τῶν 10
συμβεβηκότων αὐτὸν χαρακτηρίζειν πειρώμεθα, τὸν χαλκέα τυχόν, ἢ τὸν τέκτονα λέγοντες, ἢ ἀπὸ τῶν τοῦ σώματος παθῶν χωλόν, εἰ τύχῃ, ἢ φαλακρὸν λέγωμεν, ἢ ἕτερόν τι τοιοῦτον.

κ'. ΕΙΡΩΝΕΙΑ. 15

Εἰρωνεία δέ ἐστιν λόγος ὑποκριτικὸς ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δηλῶν, τῆς δὲ εἰρωνείας εἴδη τέσσαρα, χλευασμός, μυκτηρισμός, σαρκασμὸς καὶ ἀστεϊσμός.

κα'. ΧΛΕΥΑΣΜΟΣ.

Χλευασμὸς μὲν οὖν ἐστι λόγος μετὰ μειδιάματος 20
προφερόμενος, ὡς ὅταν τὸν ῥιψάσπιδα ἐπεγγελῶντες ἀνδρεῖον πολεμιστὴν εἴπωμεν.

κβ'. ΜΥΚΤΗΡΙΣΜΟΣ.

Μυκτηρισμὸς δέ ἐστι λόγος διασυρτικὸς μετὰ τῆς τῶν ῥινῶν μύσεως, ὡς ὅταν ἐπὶ κακῷ ἁλόντα τινὰ 25
ὀνειδίζοντες εἴπωμεν, καλὸν ἔργον ἐποίησας καὶ φρο- 725
νίμου ἀνδρός, ἐπιπνέοντες καὶ πνεῦμα διὰ τῶν ῥινῶν.

κγ'. ΣΑΡΚΑΣΜΟΣ.

Σαρκασμὸς δέ ἐστι λόγος διὰ χρηστῶν ῥημάτων τὴν

Digitized by Google

ἀτιμίαν ἐμφαίνων, ὡς ὅταν τὸν ἐν προσλήψει μείζονος τιμῆς κακοῖς περιπεσόντα καὶ διὰ τούτων ἀτιμαζόμενον, καταγελῶντες [οἷον] εἴπωμεν, εἰς μεγάλην δόξαν καὶ τιμὴν ἤγαγες σεαυτόν, φίλε.

www.libtool.com.cn

κδ'. ΑΣΤΕΙΣΜΟΣ.

Ἀστεϊσμὸς δέ ἐστι λόγος τις διασυρτικός, εὐαρμόστως συντεταγμένος, ὡς ὅταν τῷ μηδὲν ἐπισταμένῳ λέγωμεν ἢ ἀποφαντικῶς ἢ ἐρωτηματικῶς· οἷον γὰρ εἶ, ἑταῖρε, τῶν λογίων τὸ κλέος, καὶ ὅσα τοιαῦτα, ἃ δεῖ καὶ σκοπεῖν ἐν τοῖς τῶν ἑτέρων συγγράμμασιν, καὶ αὐτὸν πειρᾶσθαι συντιθέναι μετὰ τῆς προσηκούσης ἁρμονίας καὶ τάξεως.

Digitized by Google

XXX.

www.libtool.com.cn

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΟΡΙΝΘΙΟΥ
ΠΕΡΙ ΤΡΟΠΩΝ.

Τοῦ λόγου εἰς εἴδη μεριζομένου τὸ μέν ἐστι κυριολογία, τὸ δὲ τρόπος. 763

Κυριολογία μέν ἐστιν ἡ τῶν κατὰ φύσιν λέξεων τετευχυῖα φράσις· τότε γὰρ οἰκείως προφέροιτο ἄν τις, ὅταν μὴ παρατραπῇ τοῦ κυρίως λεγομένου, οἷον 5

πὺξ μὲν ἐνίκησα . . . . .

Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα.

Τρόπος δέ ἐστι λέξεως φράσις ἐκ τῆς καθ' ἑαυτὴν ὀπωσοῦν ἰδιότητος μετατροπὴν εἰληφυῖα, διὸ καὶ τρόπος καλεῖται, παρείληπται δὲ ἤτοι χρείας ἕνεκα ἢ κόσμου περὶ τὴν φράσιν. 10

Τρόποι δέ εἰσι κζ', ἀλληγορία, μεταφορά, κατάχρησις, μετάληψις, ὑπερβατόν, ἀναστροφή, συνεκδοχή, 764
ὀνοματοποιΐα, μετωνυμία, περίφρασις, πλεονασμός, πα- 16
ραπλήρωμα, ἔλλειψις, ὑπερβολή, εἰρωνεία, σαρκασμός, ἤγουν χλεύη, ἀστεϊσμός, ἀντίφρασις, ἐναντίωσις, ἀντονομασία, ἀμφιβολία, σύλληψις, αἴνιγμα, ἐπαύξησις, ἐξοχή, ὑστερολογία καὶ σχῆμα. 20

α'. ΑΛΛΗΓΟΡΙΑ.

Ἀλληγορία ἐστὶ φράσις ἕτερον μέν τι δηλοῦσα, ἑτέρου δὲ ἔννοιαν παριστῶσα, τότε δὲ καταχρῶνται

Digitized by Google

δεόντως τῇ ἀλληγορίᾳ, ὅταν ἢ δι' εὐλάβειαν, ἢ δι' αἰσχύνην οὐ δύνωνται φανερῶς ἀπαγγεῖλαι, ὃν τρόπον παρὰ Καλλιμάχῳ ἐν ἰάμβοις, τὸ πῦρ ὅπερ ἀνέκαυσας, πολλὴν πρόσω κέχρηκε φλόγα· ἴσχε δὲ δρόμον μαργοῦντος ἵππου. ταῦτα γὰρ οὐ κυρίως εἴρηται· οὔτε γὰρ περὶ πυρός, οὔτε περὶ ἱπποδρομίας ἐστὶν ὁ λόγος, ἀλλ' ὥσπερ αἰδούμενος ἐκδηλοῦν ἤλεγξε τὴν ὑπερβολὴν τῆς θρασύτητος.

www.libtool.com.cn

β'. ΜΕΤΑΦΟΡΑ.

Μεταφορά ἐστι λόγου μέρος μεταφερόμενον ἤτοι ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα· τῶν δὲ μεταφορῶν εἴδη ἐστὶ πέντε· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἀπὸ ἐμψύχων εἰς ἄψυχα, αἱ δὲ τοὐναντίον ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα, αἱ δὲ ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, αἱ δὲ ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα, αἱ δὲ ἀπὸ πράξεως ἐπὶ πρᾶξιν. ἀπὸ μὲν ἐμψύχων ἐπὶ ἄψυχα, ὅταν ὁ ποιητὴς ἐπὶ τῶν δοράτων λέγῃ,

πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν,
766 ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι.

τὸ γὰρ προθυμεῖσθαι ἐπὶ ἐμψύχων ἐστίν, ὅπερ τῷ δόρατι περιέθηκεν ἀψύχῳ ὄντι· τοῦτο δὲ εἴρηται κατ' ἔμφασιν. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, ὡς τὸ

ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως·

τὸ γὰρ ἄσβεστον ἀπὸ ἀψύχου τοῦ πυρὸς μετηνέχθη ἐπὶ ἔμψυχον τὸν γέλωτα, καὶ τοῦτο κατ' ἔμφασιν. ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον ποιμένα λαῶν τὸν βασιλέα τῶν ὅχλων· καὶ γὰρ ἀμφότερα [ἐπὶ] ἔμψυχα, ὡς γὰρ ὑποτέτακται τῷ ποιμένι τὰ ποίμνια, οὕτω τῷ βασιλεῖ οἱ ὄχλοι, ποιμὴν δὲ ὁ βασιλεύς· εἴρηται δὲ τοῦτο καθ' ὁμοιότητα. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ἐπὶ τοῦ

σπέρμα πυρὸς σώζων ἵνα μήποθεν ἄλλοθεν αὖοι.

Digitized by Google

καὶ γὰρ ἀμφότερα ἄψυχα. ἀπὸ δὲ πράξεως ἐπὶ πρᾶξιν, οἷον

ἤδη πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφαίνει.

τὸ γὰρ ὑφαίνειν ἐπὶ τῶν ὑφασμάτων τάσσεται κυρίως, νῦν δὲ ἐπὶ τῆς κατασκευῆς τῆς βουλῆς εἴληπται.

Τῶν δὲ μεταφορῶν αἱ μέν εἰσιν ἐμφάσεων δηλωτικαὶ καὶ οὐ σώζουσαι τὴν ὁμοιότητα, αἱ δὲ ὁμοῦ καὶ τὴν ἔμφασιν.

γ'. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησίς ἐστι μέρος λόγου κυρίως καὶ ἐτύμως κατονομασθέν, λεγόμενον ἐπί τινος ἑτέρου ἀκατονομάστου κατὰ τὸ οἰκεῖον, οἷον πυξίς, χαλκὶς καὶ τριήραρχος· καὶ ἡ μὲν πυξὶς κυρίως καὶ ἐτύμως ἐστὶν ἡ ἐκ ξύλου πύξου κατεσκευασμένη, καὶ τὰ μολίβδινα χαλκίδας πρυσαγορεύομεν, καὶ τριήραρχον οὐ μόνον τοὺς τριήρεων ἄρχοντας, ἀλλὰ καὶ πεντήρεων καὶ ἑξήρεων, καὶ τὸν ἀνδριάντα καὶ γυναικὸς λέγομεν, καὶ Ὅμηρος

νέκταρ ἐφυσυχόει·

οὐ κατὰ τὸ οἰκεῖον, ἀλλ' ἀκατονόμαστόν ἐστι.

δ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι λέξις διὰ τῆς συνωνύμου τὸ ὁμώνυμον δηλοῦσα, οἷον

ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι·

καὶ γὰρ ἀπὸ τοῦ σχήματος μεταληπτικῶς τὰς νήσους θοὰς εἴρηκε· τὸ γὰρ θοὸν καὶ ὀξὺ συνώνυμόν ἐστι. καὶ τούτῳ δὲ ὁμώνυμόν ἐστι πᾶν τὸ κατὰ σχῆμα ὀξύ· ὀφείλων γὰρ ὀξείαις εἰπεῖν, θοῇσιν εἶπεν, ἐπεὶ τὸ θοὸν σημαίνει καὶ τὸ ταχὺ καὶ τὸ ὀξύ. καὶ πάλιν

Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ
ὑπὲρ τάφρου πηδῶντας ἔστησε Φρύγας.

www.libtool.com.cn

Digitized by Google

ὁ γὰρ κατὰ τὸν βίον φειδωλὸς συνωνύμως καὶ ἀκριβὴς καλεῖται, ὁ δὲ συνωνυμεῖ τῷ κατὰ τὴν τέχνην ἀκριβεῖ, τουτέστιν εὐστόχῳ.

www.libtool.com.cn

ε'. ΤΜΕΡΒΑΤΟΝ.

768 Ὑπερβατόν ἐστι φράσις ἀναμέσον τὰ ἑξῆς ἔχουσα,
6 γίνονται δὲ τὰ ὑπερβατὰ ἐν εἴδεσι δυσίν, εἴτε ἐν λέξει, οἷον

πάντη γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
λάϊνον.

10 ἔστι δὲ καὶ ἐν συνθέτοις λέξεσιν ὑπερβατὰ γινόμενα, οἷον

νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος ἠελίοιο
ἤσθιον·

ἀντὶ τοῦ κατήσθιον. τὰ δ' ἐν λόγῳ γινόμενα ἔχει οὕτως
15 παρ' Ὁμήρῳ,

ὣς ἔφατ'· Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν —
μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

τὸ γὰρ ἑξῆς οὕτως ἀποδίδοται, ὣς ἔφατο, Ἀργεῖοι δὲ
20 μέγ' ἴαχον μῦθον ἐπαινήσαντες. ἔνιοι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ὑπερβατὰ πεποιήκασιν, ὡς καὶ Σιμωνίδης ἐν ἐπιγράμμασιν, Ἑρμῆν τόνδ' ἀνέθηκε Δημήτριος, ὄρθια δ' οὐκ ἐν προθύροις, ἀντὶ τοῦ οὐκ ὄρθια δέ.

25 ϛ'. ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστροφὴ δέ ἐστι λέξις ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας δευτέραν ἔχουσαν τάξιν, ἔνιοι δὲ καὶ ἐπὶ πλειόνων λόγου μερῶν· ἐν μὲν προθέσει οὕτως,
769 ᾧ ἔπι πόλλ' ἐμόγησα.
30 ἐν δ' ἐπιρρήματι,

Digitized by Google

τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὡς.
ἀντὶ ὡς ὄρνιθας. ἐν δὲ συνδέσμοις,
ἤτοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν·
οὐδὲ λίην λυπρὴ αὐτὰρ δ' εὐρεῖα τέτυκται.
ταῦτα μὲν πρὸς μίαν ἀναστρέφεται λέξιν, ἀλλαχοῦ δέ 5
ἐστι πρὸς πλείονα μέρη λόγου τὴν ἀναστροφὴν ἔχειν, οἷον
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι·
ἡ γὰρ ἀντὶ πρόθεσις οὐκέτι μιᾷ συντάσσεται, ἀλλὰ
δυσὶ λέξεσιν, καὶ τὸ ἑξῆς ἀνθ' Ἕκτορος ὠφείλετε. 10

ζ'. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν διανοίας. ἔχει δὲ τέσσαρας διαφοράς· καὶ γὰρ ἀπὸ τοῦ μέρους τὸ ὅλον δηλοῖ, καὶ ἀπὸ τοῦ ὅλου τὸ μέρος, καὶ ἀπὸ τοῦ συμβαί- 15
νοντος τὸ προηγούμενον, καὶ ἀπὸ τοῦ συμβόλου τὸ κύριον. ἀπὸ μὲν οὖν μέρους τὸ ὅλον, οἷον
Θεὰ λευκώλενος Ἥρη·
ἀπὸ γὰρ τοῦ βραχίονος τὸ ὅλον σῶμα δηλοῖ. ἀπὸ δὲ τοῦ ὅλου τὸ μέρος, οἷον βόας αὖας ἀντὶ τοῦ βύρσας, τουτ- 20
έστι τὰς ἀσπίδας. ἀπὸ γὰρ ὅλου τοῦ βοὸς ἐδήλωσε τὸ μέρος, ἤγουν τὸ δέρμα. ἀπὸ δὲ συμβαίνοντος τὸ προηγούμενον, οἷον
ἑξόμενοι λεύκαινον ὕδωρ ξεστῆς ἐλάτησι.
τὸ λεύκαινον γὰρ ἀντὶ τοῦ συντόνως ἤρεσσον· ἐκ γὰρ 770
τοῦ κωπηλατεῖσθαι συμβαίνει λευκαίνεσθαι τὸ ὕδωρ. 26
ἀπὸ δὲ συμβόλου τὸ κύριον, οἷον
σκῆπτρον μέντοι δῶκε τετιμῆσθαι περὶ πάντων·
ἀντὶ γὰρ τοῦ εἰπεῖν τὴν βασιλείαν εἶπε τὸ σύμβολον, δεικνὺς ἐκ τούτου τὸ κύριον ἤγουν τὴν βασιλείαν· σύμ- 30
βολον γάρ ἐστι τῆς βασιλείας τὸ σκῆπτρον.

www.libtool.com.cn
Digitized by Google

η'. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

Ὀνοματοποιΐα ἐστὶ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων, οἷον λίγξε βιός· αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα· φωνῆς δὲ τὸ τοιοῦτον, οἷον ἡ ὀλολυγὴ καὶ ὁ μυκηθμός, καὶ

τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας.

www.libtool.com.cn

θ'. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία ἐστὶ μέρος λόγου ἐφ' ἑτέρου μέν τινος κυρίως κείμενον, ἕτερον δὲ σημαῖνον κατὰ τὸ οἰκεῖον, ὑπείρεχον Ἡφαίστοιο· σημαίνει δὲ τοῦ πυρός, ὅπερ ἐστὶν οἰκεῖον τοῦ Ἡφαίστου. καὶ πάλιν

771 ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης·

ἀντὶ τοῦ ὁ σίδηρος, καὶ ὅταν λέγωμεν τὸν οἶνον Διόνυσον, καὶ τὸν σῖτον Δήμητραν, καὶ τὰ παραπλήσια.

ι'. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασίς ἐστι διὰ τῆς αὐτοτελοῦς καὶ κυρίας λέξεως διὰ πλειόνων αὐτὸ τὸ κύριον δηλοῦσα πρὸς αὔξησιν τοῦ σημαινομένου, οἷον βίη Ἡρακληείη, καὶ ἱερὸν μένος Ἀλκινόοιο ἀντὶ τοῦ ὁ Ἡρακλῆς καὶ ὁ Ἀλκίνοος.

ια'. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμός ἐστι φράσις ἐν αὐτῇ πλεονάζουσα, ἢ ὡς ἐνδέχεται κατὰ ἀναλογίαν. τῶν δὲ λεγομένων πλεονασμῶν ἃ μὲν μέτρων ἕνεκα φράζονται, ἃ δὲ ἐμφάσεως· καὶ μέτρων μὲν τὰ τοιαῦτα, οἷον Αἰνείαο, Πριάμοιο, λελόγχασιν, καὶ πᾶν ὃ λέγεται κατὰ παραγωγήν· ἐμφάσεως δὲ σημαντικὰ τὰ τοιαῦτα,

ὠμοφάγοι μιν θῆες ἐν οὔρεσι δαρδάπτουσι.

καὶ

Digitized by Google

ἑρπύζων παρὰ θῖνα.
τὸν νωθρὸν ἐμφαίνει καὶ ἄστατον, καὶ
πόντον ἐπ᾽ ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.

ιβ΄. ΠΑΡΑΠΛΗΡΩΜΑ.

www.ibtoo.com.cn

Παραπλήρωμά ἐστι φράσις ἢ λέξις ἐκ περισσοῦ παραλαμβανομένη, οἷον
ἀρχοὺς αὖ νηῶν ἐρέω νηάς τε προπάσας·
ἡ γὰρ πρὸ παρέλκει. καὶ
ἀστέρ᾽ ὀπωρινῷ ἐναλίγκιος, ὅς τε μάλιστα
ἀντὶ τοῦ ὃς μάλιστα. καὶ ἐπὶ τοῦ
καί κέ τις ὧδ᾽ ἐρέει Τρώων ὑπερηνορεόντων.

ιγ΄. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψίς ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, ἀλλὰ μιᾷ λέξει ἢ πλείοσιν ἐλλείπουσα, οἷον κόπτων ἀμφοτέρῃσιν· ἐλλείπει γὰρ ταῖς χερσίν. ὁμοίως
ἐν καθαρῷ ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
ἄρσαντες κατὰ θυμὸν ὅπως ἀντάξιον ἔσται.
ἐλλείπει γὰρ τὸ καλῶς ἂν ἔχοι· ἀπεκρέματο γὰρ ἡ διάνοια. ἔνιοι δὲ τὸν τρόπον τοῦτον προσυπακούομενον καλοῦσιν.

ιδ΄. ΤΠΕΡΒΟΛΗ.

Ὑπερβολή ἐστι λόγος ὑπεραίρων ἐμφάσεως ἕνεκα τὸ ἀληθές, ὡς τὸ
ἀλλ᾽ ὅτε δὴ σκιρτῷεν ἐπὶ ξείδωρον ἄρουραν,
ἄκρον ἐπ ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων.
καὶ
ἀλλ᾽ ὅτε δὴ σκιρτῷεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης
ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.

Digitized by Google

773 εἰ μὲν οὖν μυθικῶς τις ἀκούει τὸ τοιοῦτον, ἀκυρολογία φανήσεται, εἰ δὲ μή, ὑπαχθήσεται τῇ ὑπερβολῇ, ὡς τὸ λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

ιδ'. ΕΙΡΩΝΕΙΑ.

www.libtool.com.cn

Εἰρωνεία ἐστὶ φράσις τοῖς ῥητοῖς λεγομένη τοὐναντίον μεθ' ὑποκρίσεως, οἷον

Ἀντίνο' ἦ μάλα καλὰ πατὴρ ὣς κήδεαι υἱοῦ.

ιε'. ΣΑΡΚΑΣΜΟΣ.

Σαρκασμός ἐστι φράσις τοῖς ῥητοῖς λεγομένη τοὐναντίον μετὰ χλευασμοῦ, οἷον

νῦν μὲν δὴ μάλα πάγχυ Μελάνθιε νύκτα φυλάξεις εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος.

ιϛ'. ΑΣΤΕΙΣΜΟΣ.

Ἀστεϊσμός ἐστι φράσις διὰ τῶν ἐναντίων τὸ κρεῖττον ἠθικῶς ἐμφαίνουσα, οἷον εἴ τις πλούσιος ὢν εἶναι πένης λέγοι, καὶ ὁ τεχνίτης ἄτεχνος, καὶ ἀγαθὸς φαῦλος. ἔνιοι δὲ τὸν ἀστεϊσμὸν ὡρίσαντο προσποίησιν εἶναι τῆς ἀληθείας.

ιη'. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασίς ἐστι φράσις τοῖς κρείττοσι τοῦ παριστα-
μένου τὴν κακίαν ὅσον ἐφ' ἑαυτῇ περιστέλλουσα, οἷον ὅταν πτωχὸν πλούσιον καλῶμεν, τὴν χολὴν γλυκεῖαν·
774 ἢ ἀντίφρασίς ἐστι λέξις τὸ ἐναντίον διὰ τοῦ ἐναντίου σημαίνουσα χωρὶς ὑποκρίσεως. τίθεται δὲ ἤτοι κατ' εὐ-
φημισμὸν ἢ κατ' ἐναντίωσιν· κατ' εὐφημισμὸν μέν, ὅταν τὴν ἄκανθαν βάτον λέγωμεν, ἧς οὐκ ἔστιν ἐπιβῆναι, καὶ τὴν χολὴν γλυκεῖαν· κατ' ἐναντίωσιν δὲ

οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς·

ἀντὶ τοῦ ἠνιάθη.

Digitized by Google

ιθ'. ΑΝΤΟΝΟΜΑΣΙΑ.

Ἀντονομασία ἐστὶν ὄνομα ἐπιθετικόν, ὃ καὶ μόνον ἀντὶ κυρίου παραλαμβάνεται, οἷον

ὅφρ' εἰδῇ Γλαυκῶπις, ὅταν ᾧ πατρὶ μάχηται,

ἀντὶ τοῦ ἡ Ἀθηνᾶ· καὶ οὕτω γὰρ ὅηλοῖ

Γαιήοχε κυανοχαῖτα,

ἀντὶ τοῦ ὦ Πόσειδον· ἡ ἀντονομασία ἐστὶ λέξις δι' ἐπιθέτων ἢ διὰ συσσήμων ὄνομα ἴδιον ἢ προσηγορικὸν σημαίνουσα· δι' ἐπιθέτων μέν, οἷον Ἀτρείδη κύδιστε, ἀντὶ τοῦ ὦ Ἀγάμεμνον· διὰ δὲ συσσήμων, οἷον

ἐρίγδουπος πόσις Ἥρης.

καὶ

Λητοῦς καὶ Διὸς υἱός.

κ'. ΑΜΦΙΒΟΛΙΑ.

Ἀμφιβολία ἐστὶ φράσις δύο ἢ πλείονας ἐννοίας σημαίνουσα, οἷον

χεῖρας ἐπ' ἀνδροφόνους Θέμενος στήθεσσιν ἑταίρου,

ἄδηλον γάρ, πότερον τὰς τοῦ Πατρόκλου χεῖρας λέγει, ἢ τοῦ Ἀχιλλέως, καὶ τὰ ἐπὶ τοῦ Ἑρμοῦ εἰρημένα·

σεύατ' ἔπειτ' ἐπὶ κῦμα λάρῳ ὄρνιθι ἐοικώς·

ὅστε κατὰ δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο

ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ·

ληπτέον, ἵν ἢ πυκινὰ ἀγρώσσων ἢ πυκινὰ πτερὰ δεύεται ἅλμῃ.

κήρυκες δ' ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστά,

τοῦ θεῶν δυναμένου κεῖσθαι ἐπί τε τῶν κηρύκων καὶ τῆς πόλεως καὶ τῶν ἱερῶν, ἐπεὶ ἡ Ἴλιος τετείχισται ὑπὸ τῶν Θεῶν. διὸ καὶ πολλάκις αὐτὴν λέγει Ἴλιον ἱρήν. καὶ πάλιν

Τρῆχόν τ' αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε·

καὶ ὁμοίως,

Digitized by Google

δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα·
γίνεται δὲ ἡ ἀμφιβολία λέξει, ὡς Αἴας· ἄδηλον γάρ, τίς τῶν δύο. καὶ λόγῳ
δὸς δέ γέ μ' ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν.

www.libtool.com.cn

κα'. ΠΑΡΕΚΒΑΣΙΣ.

Παρέκβασίς ἐστι λόγος χάριν ἱστορίας ἢ γενεαλογίας παραλαμβανόμενος, ὡς τὰ τοῦ Φοίνικος περὶ Κουρήτων
μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε
776 ὡς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενέχαρμοι·
καὶ τὰ ἑξῆς.

κβ'. ΣΥΛΛΗΨΙΣ.

Σύλληψίς ἐστι δυοῖν ὑποκειμένων πραγμάτων τὸ πραχθὲν ἰδίᾳ ὡς κοινῶς παραλαμβάνουσα, οἷον Ὀδυσσεὺς περὶ τῆς ἀναιρέσεως Δόλωνος λέγει Νέστορι,
τὸν τρισκαιδέκατον σκοπὸν εἴλομεν,
καίτοι τοῦ Διομήδους μόνον αὐτὸν ἀνελόντος· τὸ μὲν ὑπόδειγμα τοῦ ἑνὸς ἔχει πρὸς ἕνα τὴν σύλληψιν· ἀλλαχοῦ δέ ἐστιν ἃ συλλαμβάνει ἕνα πρὸς πολλούς, ὡς ἔχει τὰ ὑπὸ Θερσίτου λεγόμενα πρὸς Ἀγαμέμνονα,
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες,
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν εὖτ' ἂν πτολίεθρον ἕλωμεν.
συγκαταριθμεῖ γὰρ ἑαυτὸν τοῖς ἀριστεῦσιν ἀσθενὴς καὶ οὐδαμινὸς τυγχάνων.

κγ'. ΑΙΝΙΓΜΑ.

Αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ τὰ περὶ τῆς κύλικος λεγόμενα,

Digitized by Google

μηδέποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν·
αὐτὰρ ἐπεὶ δ' αὐτοὶ μὲν κνίσσης ἐξ ἔρον ἕντο·

καὶ οὐ μητέρα μητρὸς ἄγοντο αὐαλέην καὶ ὀπταλέην, 777
ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· ἐφ' ἑτέροισι τεκέεσσι, τοῖς ἑαυτοῦ τέκνοις, λέγει δὲ τοῖς ξέ- 5
νοις, τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης εἰλῆφθαι.

www.libtool.com.cn

κδ'. ΕΠΑΥΞΗΣΙΣ.

Ἐπαύξησίς ἐστι φράσις κατὰ πρόσθεσιν αὐξάνουσα τὸ σημαινόμενον, ὡς ἔχει τὰ τοιαῦτα,

τῶν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα· 10

ὠκύπτερον γὰρ παρέστησε τῶν νεῶν τὸ τάχος, ἐπισυνάψας τῷ προτέρῳ τὸ νόημα.

ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο ἴκελος αὐγῇ·
ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος·

ἱκανὸν γὰρ τὸ ἴκελος αὐγῇ, προστιθεὶς δὲ τὸ ἑξῆς 15
ηὔξησε τὸ σημαινόμενον.

κε'. ΕΞΟΧΗ.

Ἐξοχή ἐστιν ὀνόματος διαστολὴ κατὰ διαφορὰν πρὸς τὰ σημαινόμενα, οἷον

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν· 20
ὥσπερ τοῦ Ἕκτορος οὐχὶ ἑνὸς τῶν Τρώων, ἐπὶ τοῦτον ἤνεγκε· κατ' ἐξοχὴν γὰρ αὐτὸν ἐδήλωσε. καὶ ὁμοίως

οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἷες ἦσαν,
οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην· θάνε δὲ ξανθὸς Μελέαγρος.

κς'. ΤΣΤΕΡΟΛΟΓΙΑ. 25

Ὑστερολογία ἐστὶ μέρος λόγου, ὅταν ὃ δεῖ πρῶτον 778
λέγειν ὕστερόν τις ἐπιφέρῃ, οἷον

ἅμα τράφεν ἠδ' ἐγένοντο·

ἀντὶ τοῦ ὁμοῦ ἐγένοντο καὶ ἐτράφησαν, καὶ δούπησε δὲ πεσὼν ἀντὶ τοῦ πεσὼν ἐδούπησε. καὶ 30

Digitized by Google

ἀλλ᾽ ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον· ἀντὶ τοῦ ἄκουσον καὶ ὑπόκριναι. καὶ

εἵματα δ᾽ ἀμφιέσασα θυώδεα καὶ λούσασα. καὶ

λαοὶ δ᾽ ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον.

www.libtool.com.cn

κζ'. ΣΧΗΜΑ.

Σχῆμά ἐστι σολοικισμὸς ἀπολογίαν ἔχων, ὡς ὅταν εἴπωμεν, ὁ Φίλιππος, ὃν πάντες μισοῦσιν, ἀγαθός ἐστι. διαφέρει δὲ σχῆμα σολοικισμοῦ, ἐπειδὴ σχῆμα μέν ἐστι ποιητοῦ ἢ συγγραφέως ἁμάρτημα ἑκούσιον διὰ τέχνην ἢ ξενοφωνίαν ἢ καλλωπισμόν, σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον οὐ διὰ τέχνην, ἀλλὰ δι᾽ ἀμαθίαν γινόμενον.

Digitized by Google

www.libtool.com.cn

XXXI.

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΤΡΟΠΩΝ.

Τρόπος ἐστὶ λέξις ἢ φράσις πεποιημένη ἢ τεταμ- 779
μένη ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον κατά τινα λόγον
εἰς δήλωσιν εὐπρεπεστέραν. τὸ δὲ ὄνομα ῥηματικὸν 5
ὡς παρὰ τὸ λέγω λόγος, καὶ παρὰ τὸ τρέπω τρόπος.
λέγεται δὲ τρόπος ἑξαχῶς, τὸ ἑκάστου ἦθος, καθὸ εὔ-
τροπόν τινα καὶ κακότροπόν φαμεν, καὶ σχῆμα λόγου
τὸ ἐν διαλεκτικῇ, εἰ ἡμέρα ἐστί, φῶς ἐστιν, ἀλλὰ μὴν
ἡμέρα ἐστίν, φῶς ἐστιν ἄρα· καὶ ὁ ἐν μουσικῇ Λύδιος, 10
Φρύγιος, καὶ ἡ ἐπὶ πολλῆς τῆς διανοίας τροπή, καθ'
ὃ σημαινόμενον καὶ ὁ ποιητὴς τὸν Ὀδυσσέα πολύτροπον
εἴρηκεν,

ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον·

καὶ ἡ αἰτία, ὅτε φαμέν, τίνα τρόπον ἀναπνοή, καὶ 780
ὁ ἐν τῇ φράσει, εἰς ὃν ἐμπίπτει ἡ μεταφορὰ καὶ τὰ 16
λοιπὰ τῶν τροπικῶν ὀνομάτων. τρόποι δέ εἰσι πλείο-
νες, γενικώτατοι μέντοι τάξιν ἔχοντες ιέ· μεταφορά,
κατάχρησις, συνεκδοχή, μετωνυμία, ἀλληγορία, ὑπερ-
βολή, εἰρωνεία, αἴνιγμα, ὑπερβατόν, ἀντονομασία, 20
ἀντίφρασις, μετάληψις, πεποιημένον, ὀνοματοποιΐα,
σύλληψις.

Digitized by Google

Εἰσὶ δ' οὗτοι κοινοὶ μὲν καὶ τῆς ἡμετέρας συνηθείας, ἐπιπολάζουσι δὲ ἐν ποιητικῇ, διὸ καὶ ποιητικοὶ κέκληνται· παρελήφθησαν δ' αὐτῶν οἱ μὲν κόσμου χάριν, ὡς ἡ μεταφορά, οἱ δὲ τοῦ ἀναγκαίου, ὡς ἡ κατάχρησις.

www.libtool.com.cn

Μεταφορά ἐστι λέξις ἀπὸ τοῦ κυρίως ὠνομασμένου ἐφ' ἕτερον ὠνομασμένον μετενηνεγμένη [ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον] ἢ ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα· ὁμοιώσεως μὲν

πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης·

ὃν γὰρ ἔχουσιν οἱ πόδες ἐπὶ τοῦ σώματος λόγον, τοῦτον ἐπὶ τοῦ ὄρους ἡ ὑπώρεια. ἐμφάσεως δὲ

τὴν δὲ γυναῖκα
εὗρον ὅσην τ' ὄρεος κορυφήν.

μεταφορικῶς γὰρ ὄρους ἐξοχὴν εἶπε βουλόμενος ἐμφῆναι τὸ μέγεθος τῆς γυναικός.

Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀπὸ πράξεως εἰς πράξιν μεταφέρονται, αἱ δὲ ἀπὸ σώματος ἐπὶ σῶμα· ἀπὸ μὲν οὖν σώματος ἐπὶ σῶμα, ὡς τὸ

Αἴας δὲ πρῶτος Τελαμώνιος ἔρκος Ἀχαιῶν·

ἀπὸ δὲ πράξεως εἰς πρᾶξιν, ὡς τὸ ὑφαίνειν τὸ βουλεύεσθαι. ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀντιστρέφουσιν, αἱ δὲ οὔ· καὶ ἀντιστρέφουσι μὲν αἱ τοιαῦται,

781 φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρῴροιο,

καὶ ἵππων κυβερνητῆρες· ἔχουσι γάρ τι μέσον πρὸς ἀλλήλους· ὁ μὲν γὰρ τὴν τῶν ἵππων ἐξιθύνει πορείαν, ὁ δὲ τὴν τῶν νεῶν. οὐκ ἀντιστρέφουσι δὲ αἱ τοιαῦται,

νῆσος τὴν περὶ πόντος ἀπείριτος ἐστεφάνωται·

ἐστεφανῶσθαι γὰρ εἴρηκε τὴν νῆσον ἀντὶ τοῦ κύκλωθεν περιρρεῖσθαι, ὅπερ οὐκ ἀντιστρέψας εἴποι, ὅτι στέφανος ἡμῶν κύκλῳ τὴν κεφαλὴν περιρρεῖ· τὸ γὰρ

Digitized by Google

τοιοῦτον γελοῖον. ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀπὸ γένους ἐπὶ γένη μεταφέρονται,

νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἶθ' ἁλὸς ἵπποι
ἀνδράσι γίνονται· περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν.

ἵππους μὲν εἴρηκε κατὰ μεταφορὰν τὰς ναῦς· ὥσπερ γὰρ ἐπὶ τῆς γῆς διὰ τῶν ἵππων ὀχούμεθα, οὕτως ἐπὶ τῆς θαλάσσης διὰ τῶν νεῶν κουφιζόμεθα.

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

XXXII.

ΚΟΚΩΝΑΡΙΟΥ

ΠΕΡΙ ΤΡΟΠΩΝ.

---

782 Τρόπος ἐστὶ φράσις ἐκβεβηκυῖα τὴν κοινὴν καὶ πρωτότυπον τοῦ λόγου χρῆσιν ἐπὶ τὸ κρεῖττον, ἢ λέξις ἢ φράσις ἐκ τοῦ συνήθους παρατετραμμένη ὡς ἐπὶ τὸ βέλτιον. εἴρηται δὲ τρόπος ἀπὸ τοῦ τετράφθαι παρὰ τὴν κυρίαν καὶ νενομισμένην τοῦ λόγου φράσιν κατὰ μεταφορὰν τῶν ὁδῶν τῶν μὴ ἐχουσῶν ἐκτροπὰς μηδὲ ἀποκλίσεις· μετατρέποντες γὰρ ἀπὸ τῆς κυρίας καὶ πρωτοτύπου φράσεως ἐγκλίσεις καὶ ἐκτροπὰς μεταφορικῶς κατὰ τὸ ἀρρενικὸν σχηματίσαντες τρόπους ἐκάλεσαν.

Λέγεται δὲ τρόπος κατὰ πρῶτον μὲν σημαινόμενον τὸ ἑνὸς ἑκάστου ἦθος, καθ' ὃν τρόπον κακότροπον καὶ κακοήθη λέγομεν. κατὰ δεύτερον δὲ ὁ ἐν μουσικῇ, οἷον Λύδιος, Φρύγιος, Δώριος. κατὰ τρίτον δὲ τὸ [ἐν μου-
783 σικῇ] σχῆμα λόγου ἴδιον ἢ τὸ πρῶτον ἢ τὸ δεύτερον. καλεῖται δὲ καὶ ἡ αἰτία τρόπος· κατὰ τοῦτο οὖν ζητοῦμεν, τίνι τρόπῳ ἐπιγίνεται ὕπνος ἢ ἀναπνοή, ἀντὶ τοῦ τίνι αἰτίᾳ. λέγεται δὲ τρόπος καὶ ἡ τροπὴ ἐπὶ πολλὰ καὶ ποικίλα τῆς διανοίας, καθ' ὃ σημαινόμενον τρόποι νῦν εἴρηνται.

Τῶν δὲ τρόπων οἱ μὲν περὶ μίαν λέξιν θεωροῦνται, οἱ δὲ περὶ σύνταξιν, οἱ δὲ περὶ ἀμφότερα. περὶ

Digitized by Google

μὲν οὖν μίαν λέξιν ὀνοματοποιΐα, πεποιημένον, κατάχρησις, μεταφορά, μετάληψις, ἀντίφρασις, μετωνυμία, ἀντονομασία· περὶ δὲ σύνταξιν ἀλληγορία καὶ τὰ εἴδη αὐτῆς, καὶ ἡ συνεκδοχὴ καὶ ὑπερβολὴ καὶ περίφρασις καὶ σύλληψις· περὶ δὲ ἀμφότερα ταῦτα ὑπερβατόν, ἀναστροφή, ὥστε εἶναι τοὺς σύμπαντας τρόπους δέκα καὶ πέντε· ὀνοματοποιΐαν, πεποιημένον, κατάχρησιν, μεταφοράν, μετάληψιν, ἀντίφρασιν, μετωνυμίαν, ἀντονομασίαν, ἀλληγορίαν, συνεκδοχήν, ὑπερβολήν, περίφρασιν, σύλληψιν, ὑπερβατόν, ἀναστροφήν. τὴν δὲ εἰρωνείαν καὶ τὸ αἴνιγμα οὐ τακτέον ἐν τοῖς γενικοῖς τρόποις, ὥσπερ οὐδὲ τὴν ἀναστροφήν· ἡ μὲν γὰρ τοῦ ὑπερβατοῦ εἶδος, ἡ δὲ εἰρωνεία καὶ τὸ αἴνιγμα τῆς ἀλληγορίας.

www.libtool.com.cn

α'. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

Ὀνοματοποιΐα ἐστὶ λέξις ὑπὸ τοῦ ποιητοῦ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς κατεσκευασμένη, γίνεται δὲ ἐπὶ ὀνόματος, ἐπὶ πάθους, ἐπὶ φωνῆς. ἐπὶ μὲν ὀνόματος,

σίζ' ὀφθαλμὸς ἐλαΐνεῳ περὶ μοχλῷ·

ἐπὶ δὲ πάθους,

σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν.

ἐπὶ δὲ φωνῆς, ῥοῖζος, βόμβος, κολοσυρτός, ὀρυγμαδός.

β'. ΠΕΠΟΙΗΜΕΝΟΝ.

Πεποιημένον ἐστὶ λέξις ἀπὸ τῶν ἐν βίῳ πεποιημένων ὑπὸ τοῦ ποιητοῦ γεγονυῖα, εἴδη δὲ αὐτῆς εἰσι τρία, μετωνομασία, μετασχηματισμός, μετατύπωσις.

γ'. ΜΕΤΩΝΟΜΑΣΙΑ.

Μετωνομασία μέν ἐστιν, οἷον ὅταν ὁ Εὐριπίδης τὸ στεφανῶσαι καὶ κισσῶσαι λέγῃ, καὶ Σοφοκλῆς ἀπὸ τοῦ παιδαγωγῶ, γεροντα γωγῶ· μετασχηματισμὸς

δέ, ὅταν ἡ Πηνελόπη λέγηται Πηνελόπεια, καὶ ἡ ἑσπέρα ἔσπερος, καὶ ὁ Βριαρὴς Βριάρεως λέγηται· μετατύπωσις δέ, ὅταν ἡ ἀκρόπολις πόλις ἄκρα λέγηται.

δ΄. ΚΑΤΑΧΡΗΣΙΣ.

www.libtool.com.cn

Κατάχρησίς ἐστι μέρος λόγου ἀπὸ τοῦ πρώτως κατωνομασμένου κυρίως καὶ ἐτύμως ἐπί τινος ἀκατονομάστου τασσόμενον κατὰ οἰκεῖον, ὥσπερ ὅταν ὀφθαλμὸν ἀμπέλου λέγωμεν, καὶ πυξίδα, κἂν μὴ ἐκ ξύλου ὑπάρχῃ· ἀνδριάντα κἂν γυναικὸς εἰκών· γαλεάγραν τε καὶ τὴν ἄρκτου καὶ λέοντος· ἁλιέα τε καὶ τὸν κατὰ τὸν ποταμὸν ἰχθύας ἀγρεύοντα· τριήραρχον καὶ τὸν πεντήρους ἢ ἑξήρους νηὸς ἐπιμελητήν· ἀνδροφόνον τε καὶ τὸν γυναικὸς ἢ παιδὸς φονέα.

ε. ΜΕΤΑΦΟΡΑ.

Μεταφορά ἐστι μέρος λόγου ἀπὸ τοῦ κυρίως λεγο-
785 μένου μεταφερόμενον εἰς ἕτερον ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα,

γέλασε δὲ πᾶσα περὶ χθών.

καὶ

τὰ δ' ἐπέρρεεν ἔθνεα πεζῶν.

καὶ τὰ δόρατα λιλαιόμενα χροὸς ἆσαι· γίνεται δὲ ἡ μεταφορὰ κατὰ τρόπους τέσσαρας· ἤτοι γὰρ ἀπὸ ἐμψύχου ἐπὶ ἄψυχον, ἢ ἀπὸ ἀψύχου ἐπὶ ἔμψυχον, ἢ ἀπὸ ἐμψύχου ἐπὶ ἔμψυχον, ἢ ἀπὸ ἀψύχου ἐπὶ ἄψυχον. ἀπὸ μὲν οὖν
25 ἐμψύχου ἐπὶ ἄψυχον, κορυφὴν ὄρεος, πόδας Ἴδης· κυρίως μὲν γὰρ κορυφὴ λέγεται ἐπὶ τῶν ζώων καὶ πόδες, ἐπὶ δὲ ὄρους ἀκρώρεια καὶ ὑπώρεια. ἀπὸ δὲ ἀψύχου ἐπὶ ἔμψυχον,

ἔρκος Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο.

ἔρκος γὰρ εἴρηκε τὸν Ἀχιλλέα μεταφορικῶς τῶν Ἑλλήνων· ἥνπερ γὰρ ἀσφάλειαν παρέχει τὰ τείχη ταῖς πόλε-

Digitized by Google

σιν, ταύτην ὁ Ἀχιλλεὺς τοῖς Ἕλλησιν. ἀπὸ δὲ ἐμψύχου ἐπὶ ἔμψυχον,

βῆ δ' ἄρ' ἐπ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν· κυρίως γὰρ ποιμὴν καλεῖται ὁ νομεὺς τῶν προβάτων, ἔμψυχος δὲ ὁ ποιμὴν καὶ ἔμψυχος ὁ βασιλεύς. ἀπὸ δὲ ἀψύχου ἐπὶ ἄψυχον,

σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι· καὶ γὰρ τὸ σπέρμα τὸ εἰς γῆν βαλλόμενον ἄψυχον, ὁμοίως καὶ ὁ σπινθὴρ τοῦ πυρός.

www.lbtool.com.cn

ς'. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασίς ἐστι λέξις διὰ τῶν ἀντικειμένων τὸ ἐναντίον ἢ παρακειμένων παράγουσα· καὶ διὰ μὲν τῶν 786 ἐναντίων,

οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς·
ἀντὶ τοῦ ἐλυπήθη, καὶ

τὼ δ' οὐκ ἀέκοντε πετέσθην,
ἀντὶ τοῦ ἑκόντες. διὰ δὲ τῶν παρακειμένων, καθάπερ εἰώθαμεν τὰς Ἐριννύας καλεῖν καὶ σεμνὰς θεάς, καὶ Μελιτώνην τὴν Περσεφόνην, καὶ καλιὰν τὸν πίθηκον, καὶ τὰ τούτοις παραπλήσια.

ζ'. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία δέ ἐστι λέξις ἀντὶ ἑτέρας λέξεως παραλαμβανομένη, κατά τινα κοινωνίαν τῶν πραγμάτων· γίνεται δὲ πολλαχῶς· ἢ γὰρ ἀπὸ τοῦ εὑρόντος τὸ εὑρεθέν, ὅταν Δημήτηρ ὁ σῖτος καὶ ὁ οἶνος Διόνυσος, ἐπίσθη δὲ Διονύσῳ κύπελλα. ἢ ἀπὸ τοῦ εὑρεθέντος τὸν εὑρόντα,

οἶνός μ' ἔπεισε δαιμόνων ὑπέρτατος,
ἀντὶ τοῦ Διόνυσος. ἢ ἀπὸ τοῦ κυριεύοντος τὸ κυριευόμενον, ὡς ὅταν σίδηρος ὁ Ἄρης, καὶ τὸ πῦρ Ἥφαιστος λέγωνται. ἢ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς ἔκ-

Digitized by Google

πιε τὸ ποτήριον ἀντὶ τοῦ τὸν ἐκ τοῦ ποτηρίου οἶνον. ἢ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, οἷον ὅταν Ἀμφιτρίτην τις τὴν θάλασσαν λέγῃ, καὶ

787 τοῖον οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων·

5 ἀπὸ γὰρ τῶν ἐπικειμένων ὅπλων ἐπιφέρει.

δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ.

ἀπὸ δὲ τοῦ πάσχοντος τὸ διακρῖναι, ὡς τὸ χλωρὸν δέος καὶ πόλεμον πολύδακρυν, καὶ μαινόμενον Διόνυσον, καθάπερ ἀποσημαίνεται ὁ ποιητὴς λέγων,

10 ὅς τότε μαινομένοισι Διωνύσοιο τιθήνας

σεῦε κατ' ἠγάθεον Νυσήϊον.

ή. ΑΝΤΟΝΟΜΑΣΙΑ.

Ἀντονομασία ἐστὶ λέξις ἀντὶ τοῦ κυρίου ὀνόματος παρειλημμένον ἔχουσα ὁτὲ μὲν τὸ ἐπίθετον, ὁτὲ δὲ τὸ

15 πατρωνυμικόν, ὁτὲ δὲ τὰ παρακολουθοῦντα ἰδίως τῷ κυρίῳ. τὸ μὲν οὖν ἀντίθετον, ἐνοσίχθονι κυανοχαίτῃ ἀντὶ τοῦ τῷ Ποσειδῶνι, καὶ εὐσκόπῳ Ἀργειφόντῃ ἀντὶ τοῦ τῷ Ἑρμῇ· ὁτὲ δὲ τὸ πατρωνυμικόν,

Πηλείδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἴσας

20 ἦϊε, σύν τε Μενοιτιάδῃ·

ἀντὶ τοῦ Ἀχιλλεὺς καὶ Πάτροκλος παρείληπται. ποτὲ δὲ τὰ παρακολουθοῦντα, ὡς Διὸς καὶ Λητοῦς υἱὸς ἀντὶ τοῦ ὁ Ἀπόλλων, καὶ Πριάμοιο πόλιν ἀντὶ τοῦ τὴν Ἴλιον, καὶ παρὰ Εὐφορίωνι,

25 ἠελίους τριακοσίους ἐφόρησα,

ἀντὶ τοῦ ἡμέρας.

θ'. ΑΛΛΗΓΟΡΙΑ.

Ἀλληγορία ἐστὶ φράσις ἕτερον μὲν δηλοῦσα κυρίως, ἑτέραν δὲ ἔννοιαν παριστῶσα, ὡς παρὰ Ἀλκαίῳ·

788 συνίημι τῶν ἀνέμων τὴν στάσιν.

31 τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,

www.libtool.com.cn

Digitized by Google

τὸ δὲ ἔνθεν, ἄμμε δὲ τὸ μέσον
αἰεὶ φορήμεθα· σὺν μέλανι
χειμῶνι μογέοντες μάλα.

διὰ γὰρ τούτων ἑξῆς ἐκ μὲν τοῦ προστυχόντος χειμὼν θαλάσσιος ὑπακούεται, κατὰ δὲ τὴν ἀλήθειαν πολιτικῶν πραγμάτων ταραχή τις ἐκφαίνεται. ἤδη δὲ καὶ παρ' Ὁμήρῳ ἀλληγορίαι μόναι,

εἰ μὴ
λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ', ὅσσα ἔοργας.

καὶ τὸ

καὶ δὴ φυλόπιδος πέλεται κόρος ἀνθρώποισι.

καὶ τὸ

καὶ δὴ χθονὶ χαλκὸς ἔχευε·

καὶ τὸ ἄμητος δ' ὀλίγιστος· καὶ το

ἐπὴν κλίνῃσι τάλαντα

Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται·

εἴδη δὲ τῆς ἀλληγορίας εἰσὶ δύο· εἰρωνεία καὶ τὸ αἴνιγμα.

ι. ΕΙΡΩΝΕΙΑ.

Εἰρωνεία ἐστὶ λόγος διὰ τοῦ ἐναντίου τὸ ἐναντίον μετά τινος ἠθικῆς ὑποκρίσεως δηλῶν, ἔστι δὲ αὐτοῦ τὸ μὲν ἐφ' ἡμῶν, τὸ δὲ ἐπὶ τῶν πλησίον· καὶ τὸ μὲν ἐφ' ἡμῶν ἀστεϊσμὸς καλεῖται καὶ ἀντιμετάθεσις, τὸ δὲ ἐπὶ τῶν πλησίον χλευασμός, μυκτηρισμός, χαριεντισμός, ἐπικερτόμησις, διασυρμός, ἐναντίωσις· ταῦτα γὰρ τῆς εἰρωνείας τὰ εἴδη. ἀστεϊσμὸς μὲν οὖν ἐστι λόγος, ἀφ' ἑαυτοῦ πρὸς ἕτερον ἔχων τὴν διαβολήν, οἷον

Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἱός.

ἀντιμετάθεσις δέ ἐστιν εἰρωνεία προσποίησιν ἐμφαίνουσα ψόγου μὲν εἰς αὐτόν, ἐπαίνου δὲ εἰς πλησίον, οἷον οὐ γὰρ ἐμαχόμην, οὐδ' ἐστρατευόμην, ἀλλ' ἔφευγον, τὸ ἐναντίον δὲ οὗτος ἔδρασε. μυκτηρισμὸς δέ ἐστιν χλευα-

σμὸς μετὰ ποιᾶς κινήσεως καὶ συναγωγῆς τῶν μυκτήρων, σαρκασμὸς δὲ καὶ χλευασμὸς μέχρι τοῦ σεσηρέναι καὶ παρεμφαίνεσθαι τοὺς ὀδόντας, χαριεντισμὸς δὲ μετὰ προσποιήτου φιλοφροσύνης εἰρωνεία ἐπὶ κακῷ καὶ
5 βλάβῃ γινομένη, ἐπικερτόμησις δέ ἐστιν εἰρωνεία ἡδονὴν ἐκφέρουσα τοῦ λέγοντος, ὡς ἔχει

ὦ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ,
εἰ δήπου καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺς ἂν κορέσειεν.

10 διασυρμὸς δὲ εἰρωνεία διασύρουσα τὸ ἔπος, οἷον

Θέρσιτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής.

ἐναντίωσις δέ ἐστι λέξις διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαίνουσα, οἷον οὐ μὴν ἔφευγεν Ὀδυσσεύς, οὐδὲ μανίαν ὑπεκρίνετο. ἅπασι δὲ τούτοις παρακολουθεῖ τὸ
15 σκῶμμα οὐ διακεχωρισμένον. τὸ δὲ εἴκασμά ἐστι σκῶμμα καθ' ὁμοιότητα, ὡς ἔχει τὸ παρ' Εὐπόλιδι,

βολβῷ κατεικάζουσιν ἡμᾶς, ἰσχάδι.

τινὲς δὲ καὶ τὰς παροιμίας τάσσουσιν ὑπὸ τὰς ἀλληγορίας καὶ τοὺς μύθους οὐ πάνυ ἀστείως.

20 ιά. ΑΙΝΙΓΜΑ.

Αἴνιγμά ἐστι λέξις ἢ λόγος ἀποκρύπτων τὸ νοούμενον διὰ τὰ ἀνακεχωρηκότα τῶν συμβεβηκότων, οἷόν ἐστι Χαιρήμονος,

ἔαρος ἡ νύμφη, τέκνον τι μετὰ θέρους ἐς ὕστερον,
790 ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ κεκαρμένη.
26 ἄμπελον γὰρ δηλοῖ διὰ τούτου.

ιβ'. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι λέξις ἢ φράσις ἀπὸ μέρους ὅλην διάνοιαν ἐμφαίνουσα, ἢ διὰ τοῦ παντὸς τὸ μέρος, γί-
30 νονται δὲ αἱ συνεκδοχαὶ κατὰ τρόπους τέσσαρας· ἢ γὰρ ἀπὸ μέρους τὸ ὅλον, ἢ ἀπὸ ὅλου τὸ μέρος, ἢ ἀπὸ ἑπω-

www.libtool.com.cn
Digitized by Google

νύμου τὸ κύριον, ἢ ἀπὸ τοῦ παρεπομένου τὸ κύριον. ἀπὸ μὲν οὖν μέρους τὸ ὅλον,

Ἀτρεῖδαί τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.

ἀπὸ γὰρ τοῦ εὐκνήμιδες συνεκδοχικῶς τὸ ὅλοι εὔοπλοι, καὶ ἔτι λευκώλενος Ἥρη ἀντὶ τοῦ ὅλη λευκή. ἀπὸ δὲ ὅλου τὸ μέρος,

οἱ δ' εὐθὺς πρὸς τεῖχος ἐΰδμητον βόας αὖας·

βόας γὰρ αὖας λέγει τὰς ξηρὰς βύρσας, ἐκ δὲ τῶν βυρσῶν τὰς ἀσπίδας, ὥστε ἀπὸ τοῦ ὅλου τὸ μέρος δεδήλωται. ἀπὸ δὲ ἐπωνύμου τὸ κύριον,

Φοῖβος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα·

ἀπὸ γὰρ τοῦ Φοῖβος ἐπωνύμου τὸν Ἀπόλλωνα δεῖ κυρίως συνεκδέξασθαι, καὶ

ὄρσεο Τριτογένεια, φίλον τέκος·

πάλιν γὰρ ἀπὸ τῆς Τριτογενείας τὴν Ἀθηνᾶν δέον συνεκδέξασθαι. ἀπὸ δὲ τοῦ συμβαίνοντος τὸ προηγούμενον,

οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντα,

ἀντὶ τοῦ ἔτρεχον· πρότερον γὰρ ἔτρεχον οἱ ἵπποι, ἐπὰν οὕτως συνέβαινε σείεσθαι τὸν ζυγόν. καὶ

ἑξόμενοι λεύκαινον ὕδωρ ξεσταῖς ἐλάτῃσιν,

ἀντὶ τοῦ ἐκωπηλάτουν. ἀπὸ δὲ τοῦ παρεπομένου τὸ προηγούμενον·

λῦσε δὲ παρθενίην ζώνην,

ἀντὶ τοῦ διεκόρευσεν.

ιγ'. ΤΠΕΡΒΟΛΗ.

Ὑπερβολή ἐστι λόγος σημαίνων μετὰ πλήθους ἐπιτατικός, ἢ λόγος ὑπεραίρων τὴν ἀλήθειαν, βλέπονται δὲ ἐν τρισὶν αἱ ὑπερβολαί, αἱ μὲν καθ' αὑτάς, αἱ δὲ πρὸς ἕτερον, αἱ δὲ κατ' ἐξίσωσιν. καθ' αὑτὰς μέν, ὡς

σιδήρειόν νύ τοι ἦτορ· πρὸς ἕτερον δὲ

λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

www.libtool.com.cn

Digitized by Google

κατ' ἐξίσωσιν δὲ

ἶσος Ἐνυαλίῳ, κορυθάϊκι πτολεμιστῇ.

ιδ'. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασίς ἐστι φράσις διὰ πλειόνων ὀνομάτων δηλοῦσα τὸ κεφαλαιωδῶς ἐξενεχθῆναι δυνάμενον, βίη Ἡρακληείη ἀντὶ τοῦ Ἡρακλῆς, καὶ ἱερὸν μένος Ἀκινόοιο ἀντὶ τοῦ Ἀλκίνοος, καὶ Πυλαιμενέος λάσιον κῆρ ἀντὶ τοῦ Πυλαιμένης καὶ βοῶν ἴφθιμα κάρηνα ἀντὶ τοῦ τὰς βοῦς.

www.libtool.com.cn

ιέ. ΤΠΕΡΒΑΤΟΝ.

792 Ὑπερβατόν ἐστι πρώτης καὶ συνήθους τάξεως λόγου μετακίνησις· γίνεται δὲ τετραχῶς, ἤτοι ἐν λέξει ἤτοι ἐν λόγῳ, ἢ ἐν νοήματι, ἢ ἐν πράγματι. λέξει μὲν νήπιοι, οἳ κατὰ βοῦς ἠελίοιο ἤσθιον· τὸ γὰρ ἑξῆς κατήσθιον, καὶ

ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν.

τὸ γὰρ ἑξῆς ἐστιν ἀντέσχεν. λόγῳ δὲ

ὣς ἔφατ'· Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

νοήματι δὲ

πάντη γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ λάϊνον·

οὐ γὰρ λέγει τὸ πῦρ λάϊνον, ἀλλὰ τὸ τεῖχος. πράγματι δέ, ὅταν τὸ πρῶτον γινόμενον δεύτερον τάξῃ ὁ ποιητής, οἷον

τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε.

καὶ

ἡ δ' ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβαλε λάϊνον οὐδόν.

ἀντὶ τοῦ πρότερον ὑπέρβη, καὶ τότε εἰσῆλθεν. εἶδος δὲ ὑπερβατοῦ ἐστιν ἡ ἀναστροφή.

Digitized by Google

ις'. ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστροφή ἐστι λέξις, ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας, δευτέραν ἔχουσα τάξιν, οἷον

ὦ ἔπι πόλλ' ἐμόγησα,
ἀντὶ τοῦ ἐφ' ᾧ· καὶ
εἰ μέν κεν λείπω κάτα τεύχεα καλά,
ἀντὶ τοῦ καταλείπω. καὶ νεῶν ἄπο καὶ κλισιάων· ἔστι γὰρ ἀπὸ νεῶν· καὶ ὄρνιθες ὥς, ἀντὶ τοῦ ὡς ὄρνιθες. 793

www.libtool.com.cn

ιζ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι λέξις διὰ τῆς ὁμωνύμου τὴν συνώνυμον δηλοῦσα, ἢ κατὰ συνωνυμίαν μόνον παραλαμβανομένη, οἷον

ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν·
τὰς γὰρ ὀνόματι ἀπὸ τοῦ σχήματος ὀξείας καλουμένας νήσους μεταληπτικῶς θοὰς εἴρηκεν, τὴν ὁμώνυμον εἰς τὴν συνώνυμον μεταβαλών· τῷ γὰρ θοῷ συνωνυμεῖ πᾶν τὸ κατὰ κίνησιν ὀξύ, τούτῳ δὲ ὁμώνυμον πᾶν τὸ ἀκμὴν ἔχον κατὰ τὸ ἄκρον ἠκονημένον· καὶ πάλιν ἐπὶ τοῦ Κύκλωπος, δαλὸν ἀποξῦναι δ' ἐκέλευσεν, ἐγὼ δ' ἐθόωσα παραστάς. κέχρηται δὲ τῷ ἐθόωσα ἀντὶ τοῦ ὤξυνα. τινὲς μέντοι τήν τε ἔλλειψιν καὶ πλεονασμὸν καὶ ἀμφιβολίαν καὶ ὁμοίωσιν καὶ ἀνταπόδοσιν τοῖς τρόποις οὐ θέλουσιν ὑπαγαγεῖν.

ιή. ΟΜΟΙΩΣΙΣ.

Ὁμοίωσίς ἐστι παράθεσις ἢ σώματος ἢ πράγματος εἰς δήλωσιν τοῦ ὑποκειμένου, οἷον

σεύατ' ἔπειθ' οἷός τε πελώριος ἔρχεται Ἄρης.
εἴδη δὲ ὁμοιώσεώς εἰσιν ἕξ· παραβολή, εἰκών, εἰκονογραφία, χαρακτηρισμός, εἰδωλοποιΐα, παράδειγμα.

Digitized by Google

ιθ'. ΠΑΡΑΒΟΛΗ.

Παραβολή ἐστι πράγματος πρὸς τὸ πρᾶγμα παράθεσις κατά τινας ἀναλόγους ὁμοιότητας, οἷον

794 *ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσιν.*

γίνεται δὲ ἢ πρᾶξις πρὸς πρᾶξιν, ἢ πάθος πρὸς πάθος, ἢ διάθεσις πρὸς διάθεσιν, ἢ φύσις πρὸς φύσιν. καὶ ὁτὲ μὲν πρᾶξις πρὸς πρᾶξιν,

οἱ δ' ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν·

ὁτὲ δὲ πάθος πρὸς πάθος,

ὡς δ' ὅταν ἀσπασίως βίοτος παίδεσσι φανείη
πατρός, ὃς ἐν νούσῳ κεῖται κρατερ' ἄλγεα πάσχων.

ἢ διαθέσεως πρὸς διάθεσιν,

ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη·

ἢ φύσεως πρὸς φύσιν,

οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.

εἰσὶ δέ τινες τῶν παραβολῶν, αἵ τινες αὐξήσεις ἡδονῆς καὶ λύπης καὶ πάθους καὶ φόβου καὶ ἐννοίας παρέχουσιν· ἡδονῆς μὲν

ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας·

λύπης δέ,

ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσι.

πάθους δέ,

ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα·

φόβου δέ,

ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη·

ἐννοίας δέ,

ὡς δ' ὅταν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας.

κ'. ΕΙΚΩΝ.

Εἰκών ἐστιν, ὅταν ὅλα σώματα σώμασιν ἀντιπαρα-

τεθῇ, οἷον

795 *ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ·*
Ἄρεϊ τε ζώνην, στέρνον δὲ Ποσειδάωνι.

www.libtool.com.cn

Digitized by Google

κα'. ΕΙΚΟΝΟΓΡΑΦΙΑ.

Εἰκονογραφία ἐστίν, ὅταν τὰ μέρη τοῖς μέρεσιν ἀντιπαρατεθῇ, οἷον

ἦΐε δ' ἐν μεγάροισι περίφρων Πηνελόπεια·
Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ.

www.libtool.com.cn

κγ'. ΧΑΡΑΚΤΗΡΙΣΜΟΣ.

Χαρακτηρισμός ἐστιν, ὅταν ὁ τύπος τοῦ ὑποκειμένου σώματος περιγράφηται, οἷον

γυρὸς ἐν ὤμοισιν, μελανόχροος οὐλοκάρηνος.

κδ'. ΕΙΔΩΛΟΠΟΙΙΑ.

Εἰδωλοποιΐα ἐστὶν ἀνάπλασις προσώπων ἢ ἐπὶ πραγμάτων, ἢ ἐπὶ ζώων λογικῶν μέν, ἀποιχομένων δέ, ἢ ἀλόγων, λογοποιουμένων δέ· πραγμάτων μέν, ὡς ὅταν τὴν ἀρετὴν πρὸς τὴν κακίαν πλάττωμεν διαλεγομένην· ἀνθρώπων δὲ ἀποιχομένων, ὡς ὅταν λέγωμεν ποίους λόγους εἶπεν Ἀχιλλεύς, ἰδὼν τὸν Πάτροκλον ἐν τῷ Ἅιδῃ· ἀλόγων δέ, ὡς ὅταν λέγωμεν, ποίους λόγους εἶπεν ἡ ἀλώπηξ πρὸς τὸν λύκον.

κε'. ΠΑΡΑΔΕΙΓΜΑ.

Παράδειγμά ἐστι παράστασίς τινος πρός τινα, δεικτικῶς, γίνεται δὲ ἢ προτροπῆς ἢ ἀπαγωγῆς ἕνεκα· καὶ προτροπῆς μέν, ὡς ἐπὶ τοῦ Τηλεμάχου

ἦ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης 796
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;
καὶ σύ, φίλος (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)·
ἄλκιμος ἔσσ' ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

ἀποτροπῆς δέ,

ὁρᾷς τὸν Ἀκταίωνος ἄθλιον μόρον,
ὃν ὠμόσιτοι σκύλακες, ἃς ἐθρέψατο,
διεσπάσαντο.

Digitized by Google

ἀπαγωγῆς δὲ ἕνεκα,

μήτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν.

www.libtool.com.cn

κς'. ΑΝΤΑΠΟΔΟΣΙΣ.

Ἀνταπόδοσίς ἐστι φράσις ἀκολούθως ἐκφερομένη ταῖς ὑποκειμέναις ὁμοιώσεσιν καὶ παραβολαῖς, οἷον

ὣς ἐχάρη Μενέλαος·

καὶ

ὣς τῶν ἔθνεα πολλά

καὶ

ὣς δ' αὖτις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων.

κζ'. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψίς ἐστι φράσις μέρει λόγου τινὶ ἐλλείπουσα,

Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς.

ἀντὶ τοῦ περὶ Καλυδῶνος· καὶ

ἕως τὸν πεδίοιο διώκετο πυροφόροιο.

797 ἀντὶ τοῦ διὰ πεδίου· καὶ

χωόμενος κατὰ θυμὸν ἐϋζώνοιο γυναικός.

ἀντὶ τοῦ περὶ γυναικός.

κη'. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμός ἐστι φράσις μέρει λόγου τινὶ περισσεύουσα, οἷον νῆάς τε προπάσας, καὶ βοῶν ἐπιβουκόλος ἀνὴρ ἀντὶ τοῦ βουκόλος.

κθ'. ΕΠΑΝΑΛΗΨΙΣ.

Ἐπανάληψίς ἐστι τῶν προειρημένων πάλιν ἐξ ὑπαρχῆς κατάλογος, οἷον

ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, οἳ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν.

Digitized by Google

καὶ

καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

καὶ

τῷ ὁαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὁαρίζετον ἀλλήλοισιν.

www.libtool.com.cn

λ'. ΑΜΦΙΒΟΛΙΑ.

Ἀμφιβολία ἐστὶ φράσις δύο ἢ καὶ πλείονα σημαίνουσα δι' αὑτῆς, οἷον

ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα·

ἀμφίβολον γάρ, πότερον τὰ ἅρματα εἴρηκεν ἢ τὰ ἐνώπια· καὶ

αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι·

καὶ

χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.

καὶ ζεῦγος βοῶν ἤλαυνεν· ἀμφίβολον γάρ, πότερον βοῶν ἢ τῶν βοῶν.

Digitized by Google

XXXIII.

www.libtool.com.cn

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΧΟΙΡΟΒΟΣΚΟΥ
ΠΕΡΙ ΤΡΟΠΩΝ ΠΟΙΗΤΙΚΩΝ.

---

802 Πάσης παλαιᾶς καὶ νέας γραφῆς ποιητικοὶ τρόποι εἰσὶν κ̄ζ̄. ἀλληγορία, μεταφορά, κατάχρησις, μετάληψις, ὑπερβατόν, ἀναστροφή, συνεκδοχή, σύλληψις, ὀνοματοποιΐα, πεποιημένον, ἀντονομασία, μετωνυμία, ἀντίφρασις, περίφρασις, ἔλλειψις, πλεονασμός, ἐπανάληψις, ἐξοχή, ὑπερβολή, αἴνιγμα, παραβολή, ἀνταπόδοσις, προσωποποιΐα, παράδειγμα, εἰρωνεία, σχῆμα καὶ ὑστε-
10 ρολογία. λέγονται δὲ ποιητικοὶ τρόποι, διότι παρὰ τοῖς
803 ποιηταῖς πλεονάζουσιν τὴν κοινὴν συνήθειαν ὑπερβαίνοντες.

ᾱ. ΑΛΛΗΓΟΡΙΑ.

Ἀλληγορία ἐστὶ λέξις ἕτερόν τι λέγουσα καὶ ἑτέραν
15 ἔννοιαν παριστῶσα, ὡς τὸ λεγόμενον ἐν τῇ θείᾳ γραφῇ, ἐν οἷς πρὸς τὸν ὄφιν φησὶν ὁ Θεός, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν· ὁ γὰρ λόγος πρὸς τὸν ὄφιν ἐστίν, ἐπὶ δὲ τοῦ διαβόλου ἀναλόγως αὐτὸν ἐκλαμβάνομεν, ἤγουν ἀλληγορικῶς. παραλαμβάνεται δὲ
20 αὕτη καὶ διὰ σεμνότητα καὶ δι' εὐλάβειαν· σεμνότητα μέν, ὡς ἔχει τὰ περὶ τῆς Ἥρας, ἐν οἷς φησιν ὁ Ζεὺς πρὸς αὐτήν,

ἦ οὐ μέμνησ' ὅτε ἐκρέμω ὑψόθεν· ἐκ δὲ ποδοῖιν
ἄκμονας ἦκα δύο· περὶ χερσὶ δὲ δεσμὸν ἔηλα
25 χρύσειον·

Digitized by Google

ῆς ἡ ἔννοια αὕτη, τῷ πέρατι τοῦ ἀέρος ἥ τε γῆ καὶ τὸ ὕδωρ συνάπτονται, ἃ καὶ ἄκμονας ὡς βαρύτερα τῶν ἄλλων στοιχείων λέγει, χρύσειον δὲ δεσμὸν τὴν περικεχυμένην τῷ ἀέρι αὐγὴν ἐκ τοῦ ἡλιακοῦ φωτός, ᾧ ἥνωται ὁ ἀήρ. δι' εὐλάβειαν δέ, ὡς τὸ λῦσε δὲ παρθενικὴν 804
ζώνην, ἀντὶ τοῦ ἔφθειρεν· ὡς καὶ παρὰ Καλλιμάχῳ, 6
τὸ πῦρ δέ τ' ἀνέκαυσας, ἕως οὗ πολλῇ κεχώρηκε φλογί, καὶ πάλιν ἴσχε δὲ δρόμου μαργῶντας ἵππους, μὴ δευτέραν κάμψῃς, μήτι παρὰ νύσσῃ δίφρον ἄξωσιν, ἐκ δὲ κύμβαχος κυβιστήσῃς. ταῦτα οὐ κυρίως εἴρηται· οὔτε γὰρ περὶ πυρὸς οὔτε περὶ ἱπποδρομίας ὁ λόγος αὐτῷ, ἀλλ' ὥσπερ αἰδούμενος εἰπεῖν, ὃ ἐβούλετο, τῇ ἀλληγορίᾳ ἐχρήσατο.

β'. ΜΕΤΑΦΟΡΑ.

Μεταφορά ἐστι λέξις ἀφ' ἑτέρου εἰς ἕτερον μεταφερομένη, ἢ ἀπὸ τοῦ κυρίως λεγομένου μεταφερομένη ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα, ἔχει δὲ εἴδη δ'. ἢ γὰρ ἀπὸ ἐμψύχων εἰς ἔμψυχα μετάγεται, ἢ ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα, ἢ ἀπὸ ἀψύχων εἰς ἔμψυχα, ἢ ἀπὸ ἐμψύχων εἰς ἄψυχα. καὶ ἀπὸ μὲν ἐμψύχων ἐπ' ἔμψυχα, ὡς ὅταν τις τὸν βασιλέα λέγῃ ποιμένα λαῶν· τὸ γὰρ ποιμαίνειν ἐμψύχων ὂν πάλιν ἐπ' ἔμψυχα μετενήνεκται, ἐπειδὴ ὥσπερ τοῖς ποιμέσιν ὑποτέτακται τὰ ποίμνια, οὕτω καὶ τοῖς βασιλεῦσιν οἱ ὑπὸ χεῖρα· ποιμὴν γὰρ κυρίως ὁ τῶν προβάτων νομεὺς λέγεται· ἀμφότεροι γοῦν ἔμψυχοι, ὅ 805
τε βασιλεὺς καὶ ὁ τῶν προβάτων νομεύς. ἀπὸ δὲ ἀψύ- 26
χων ἐπὶ ἄψυχα, ὡς ὅταν τις ἄνθρακα πυρὸς ἐν σποδῷ κρύψας λέγῃ σπέρμα πυρὸς διασώσασθαι. τὸ γὰρ σπέρμα κυρίως ἐπὶ τῶν σπειρομένων καρπῶν λεγόμενον νῦν ἐπὶ τῆς ἀνθρακιᾶς ἐλήφθη· ἢ εἴπῃ πολλὴ κέχυται τῇ ὕλῃ φλόξ· τὸ γὰρ χεῖσθαι τοῖς ὑγροῖς συμβέβη-

www.libtool.com.cn
Digitized by Google

κεν. ἀπὸ δὲ ἀψύχων εἰς ἔμψυχα, ὡς ὅταν ὁ Ὀδυσσεὺς λέγῃ πρὸς τὸν Αἴαντα

τοῖος γάρ σφισι πύργος ἀπώλετο·

ὁ γὰρ πύργος ἄψυχος ὢν ἐπὶ τοῦ Αἴαντος ἐμψύχου ὄντος εἴρηται. καὶ ἡ θάλασσα εἶδε καὶ ἔφυγε· τὸ γὰρ ὁρᾶν ἐπὶ ἐμψύχων κυρίως λέγεται, ἡ δὲ θάλασσα ἄψυχός ἐστιν. ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν τις τὴν ἀκρώρειαν τοῦ ὄρους κορυφὴν ἢ κεφαλὴν εἴπῃ· κορυφὴ γὰρ καὶ κεφαλὴ ἐπὶ ἐμψύχων λέγεται. καὶ πάλιν, αἰχμὴ δὲ διέσσυτο μαιμώωσα. καὶ πάλιν,

806 πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα καλὸν ἐπαυρεῖν
ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι·

τὸ γὰρ μαιμώωσα καὶ τὸ λιλαιόμενα καὶ τὸ ἆσαι ἔμψυχα ὄντα ἐπὶ τῶν ἀψύχων λέλεκται δοράτων. ὁμοίως καὶ τὸ οὔρεος ἐν κορυφῇσι, καὶ πόδες πολυπιδάκου Ἴδης, δέον ἀκρώρειαν καὶ ὑπώρειαν εἰπεῖν. ἔστι δὲ καὶ πέμπτον εἶδος μεταφορᾶς ὡς ἀπὸ πράξεως εἰς πρᾶξιν, οἷον

ἤδη πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὕφαινε.

τὸ γὰρ ὑφαίνειν ἐπὶ τῶν ὑφασμάτων λεγόμενον νῦν ἐπὶ τὴν τῆς βουλῆς κατασκευὴν μετενήνεκται.

γ'. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησίς ἐστι φράσις μετενεχθεῖσα ἀπὸ τοῦ πρώτως κατονομασθέντος κυρίως καὶ ἐτύμως ἐπὶ τὸ ἀκατονόμαστον, ὡς ὅταν τὸ ἀπὸ χαλκοῦ ἐπίπεδον πυξίδα εἴπωμεν· πυξὶς γὰρ ἡ ἐκ πύξου γεγονυῖα καλεῖται, ἐπειδὴ δὲ καὶ τὰ ἐξ ἄλλης οἱασοῦν ὕλης κατασκευασθέντα ἀκατονόμαστά εἰσι, πυξίδας καὶ ταῦτα καλοῦμεν καταχρώμενοι τῷ ὀνόματι. καὶ ἀνδροφόνος κυρίως μέν ἐστιν ὁ ἄνδρα φονεύσας, καταχρηστικῶς δὲ καὶ ἐπὶ γυναικὸς λέγεται. καὶ τριήραρχος κυρίως ὁ τριήρους ἄρχων, κα-

Digitized by Google

ταχρηστικῶς δὲ καὶ ὁ διήρους καὶ ὁ πεντήρους. τοιοῦτόν ἐστι καὶ τὸ νέκταρ ᾠνοχόει· τὸ γὰρ οἰνοχοεῖν κυρίως ἐπὶ τοῦ οἴνου λεχθὲν νῦν ἐπὶ τοῦ νέκταρος 807
ἐλέχθη. ὡσαύτως καὶ τράχηλος κεραμίου καὶ γόνυ καλάμου καὶ γαστὴρ νηὸς καὶ γλῶσσα ὑποδήματος καὶ τὰ 5
τοιαῦτα. καὶ ψηφίζειν κυρίως τὸ ταῖς ψήφοις μετρεῖν, καταχρηστικῶς δὲ καὶ τοῖς δακτύλοις. ταῦτα γὰρ ἐπὶ τῶν κυρίως ὀνομασθέντων λεγόμενα καταχρηστικῶς καὶ ἐπὶ τῶν ἀνονομάστων λέγεται. διαφέρει δὲ κατάχρησις μεταφορᾶς, ὅτι ἡ μὲν μεταφορὰ ἀπὸ κατωνομασμένου 10
ἐπὶ κατωνομασμένον πάλιν λέγεται, ἡ δὲ κατάχρησις ἀπὸ κατωνομασμένου ἐπὶ πάντη ἀκατονόμαστον, ὡς ὅταν τὸν ἐν λίμνῃ ἢ ποταμοῖς ἰχθύας ἀγρεύοντα ἁλιέα εἴποι τις· κυρίως γὰρ ἁλιεὺς ὁ ἐπὶ τῆς θαλάσσης λέγεται, ἐπειδὴ δὲ καὶ ὁ ἐν τοῖς ποταμοῖς ἀγρεύων ἀνονόμαστός 15
ἐστι, καλοῦμεν καὶ τοῦτον ἁλιέα καταχρώμενοι τῷ ὀνόματι.

δ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι φράσις μεταλαμβάνουσα τῆς ὁμωνυμίας ἐκ τοῦ κυρίως ὄντος ἢ διὰ τῆς συνωνυμίας τὸ 20
ὁμώνυμον δηλοῦσα, ὡς ὅταν τις τὸν γοργῶς τρέχοντα ὀξὺν παρὰ τὸν δρόμον εἴπῃ, ἢ τὸν ταχυπαθῆ χυμὸν 808
ὀξὺν καλέσῃ χυμόν· ὀξὺ γὰρ κυρίως τὸ ἠκονημένον ξίφος λέγεται, ὅθεν καὶ τὸ ὤξυνεν ἐπὶ μαχαίρας ἢ ἑτέρου τινὸς ξίφους παραλαμβάνεται. ἢ ὡς παρὰ τῷ Ὁμήρῳ 25

ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσιν.

τῷ μὲν γὰρ θοῷ συνωνυμεῖ τὸ ὀξὺ κατὰ τὴν κίνησιν, ὁμωνυμεῖ τὸ ὀξὺ κατὰ τὸ σχῆμα. τοιοῦτόν ἐστι καὶ τὸ

Τεῦκρος δὲ τόξων χρώμενος φειδωλίᾳ·

τουτέστιν ἀκριβείᾳ καὶ εὐστοχίᾳ· τῇ μὲν γὰρ φειδωλίᾳ 30
συνωνυμεῖ καὶ ἡ κατὰ δόσιν ἀκρίβεια, τῇ δὲ ὁμωνυμεῖ ἡ κατὰ τέχνην ἀκρίβεια, ἤγουν ἡ εὐστοχία.

Digitized by Google

ε'. ΤΠΕΡΒΑΤΟΝ.

Ὑπερβατόν ἐστι λέξις ὑπερβαίνουσα ἐκ τοῦ προηγουμένου εἰς αὐτὸ τὸ ἑπόμενον, οἷον ὡς ὅταν τις ἀντὶ τοῦ εἰπεῖν ἐπικαλοῦμαι τὸν κύριον, εἴποι ἐπὶ τὸν κύριον καλοῦμαι.

www.libtool.com.cn

ς'. ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστροφή ἐστι λέξις ἀναστρέφουσα ἐκ τοῦ ὑποκειμένου εἰς τὸ προκείμενον, μηδενὸς μέρους λόγου μεταξὺ πίπτοντος, οἷον ὅταν τις ἀντὶ τοῦ εἰπεῖν ἕως ἡμῶν ἐλθεῖν εἴπῃ ἡμῶν ἕως ἐλθεῖν.

ζ'. ΣΥΝΕΚΔΟΧΗ.

809 Συνεκδοχή ἐστι λέξις δι' ἑτέρου καὶ ἕτερον συνεκδηλοῦσα νόημα, ὡς ὅταν εἰρήνης οὔσης ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔστι πόλεμος εἴπῃ, οὐκ ἔνι ὅπλα νῦν, ἢ ἀργοῦσιν ὅπλα νῦν. ἢ συνεκδοχή ἐστι λέξις ἢ φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν διανοίας, ἔχει δὲ διαφορὰς τέσσαρας· ἢ γὰρ ἀπὸ ὅλου δηλοῖ τὸ μέρος, οἷον βόας αὖας ἀντὶ τοῦ ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν, μέρος δὲ τοῦ ὅλου βύρσα· καὶ χάλκεον ἔγχος· μέρος γὰρ τοῦ ὅλου ἔγχους ὁ χαλκός. ἢ ἀπὸ μέρους τὸ πᾶν, οἷον θεὰ λευκώλενος Ἥρη· αἰνίττεται γὰρ ἀπὸ μέρους τῶν χειρῶν τὴν ὅλην λευκὴν εἶναι. καὶ ἀργυρόπεζα Θέτις. ἢ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, οἷον

χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ·

ἀντὶ τοῦ χρυσῆν πανοπλίαν. ἢ ἀπὸ τοῦ συμβόλου τὸ κύριον, οἷον

σκῆπτρον μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων.

ἀντὶ τοῦ βασιλείαν, ἧς τὸ σκῆπτρον σύμβολον.

η'. ΣΥΛΛΗΨΙΣ.

Σύλληψίς ἐστι φράσις ἀφ' ἑνός τινος κυρίου κατὰ

Digitized by Google

δύο ἢ καὶ πλειόνων λαμβανομένη· ἢ φράσις τὸ ἄλλῳ πραχθὲν ἐφ' ἕτερον ἕλκουσα, οἷον

Βορέης καὶ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον·

μόνος γὰρ ὁ Βορρᾶς ἀπὸ Θρᾴκης πνεῖ, συλληπτικῶς δὲ λέγει καὶ τὸν Ζέφυρον ἐκεῖθεν πνεῖν· καὶ πάλιν

τὼ δὲ δύο σκάζοντε βάτην Ἄρεως θεράποντε·

Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς·

καὶ γὰρ Διομήδης μόνος ἔσκαζε τρωθεὶς τὸν ταρσὸν τοῦ ποδός, Ὀδυσσεὺς δὲ τὴν πλευρὰν ἐβέβλητο. συλληπτικῶς δὲ λέγει καὶ τοῦτον σκάζειν.

θ'. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

Ὀνοματοποιΐα ἐστὶ λέξις κατὰ μίμησιν καὶ ὁμοιότητά τινα τοῦ σημαινομένου γεγονυῖα, ὡς ὅταν τις τοὺς ἀσήμους κτύπους φωνὰς ὀνομάζῃ, αἵ εἰσι πυρός, ξύλου, λίθου καὶ τῶν ὁμοίων· καὶ ὡς ἡ θεία λέγει γραφή, φωνὴν ἔδωκαν αἱ νεφέλαι, δηλοῦσα τὴν βροντήν, φωνὴν ταύτην ὀνομάζουσα διὰ τὴν ὑπὲρ ἡμᾶς περιηχήν. φωνὴ δὲ κυρίως ἡ ἐκ νοῦ προερχομένη λέγεται, ἐπεὶ καὶ φῶς νοῦ ἐτυμολογεῖται ἡ φωνή. ἢ ὀνοματοποιΐα ἐστὶ λέξις ἢ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων ἢ φωνῆς· ἤχων μέν, οἷον

αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.

καὶ πάλιν

ὣς τοῦ σίζ' ὀφθαλμὸς ἐλαΐνεῳ περὶ μοχλῷ.

φωνῆς δὲ ταῦτα,

αἳ δ' ὁλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον·

καὶ πάλιν

μυκηθμοῦ δ' ἤκουσα βοῶν αὐλιζομενάων.

ι'. ΠΕΠΟΙΗΜΕΝΟΝ.

Πεποιημένον ἐστὶ λέξις λεγομένη κατά τινα τοῦ ἐξ οὗ λέγεται ὁμοιότητα, οἷον ὡς ὅταν τὸν μετὰ θυμοῦ

www.libtool.com.cn
Digitized by Google

ἡμᾶς ὑποβλεψάμενον εἴποιμεν, ὡς λέων ὑπεβλέψατο ἡμᾶς ὁ δεῖνα.

ια'. ΑΝΤΟΝΟΜΑΣΙΑ.

Ἀντονομασία ἐστὶ λέξις δι' ἐπιθέτων ἢ συσσήμων αὐτὸ τὸ κύριον ὄνομα δηλοῦσα, ὡς ὅταν δύο ἢ καὶ πλείονες ἡμῖν ἐγνωσμένων ἀνθρώπων καὶ τὸ αὐτὸ κύριον ὄνομα ἐχόντων, θελήσωμεν ἐξ αὐτῶν ἑνὸς τὴν μνήμην ποιήσασθαι πρὸς ἀλλήλους, καὶ μὴ εἴπωμεν τὸ κύριον ὄνομα διὰ τὴν ὁμωνυμίαν, ἀλλ' ἐκ τῶν συμβεβηκότων αὐτὸν ὀνομάσωμεν, τὸν χαλκέα τυχὸν λέγοντες ἢ τὸν τέκτονα, εἰ δὲ καὶ σωματικὰ ἔχει πάθη, τὸν χωλόν, εἰ τύχοι, ἢ τὸν φαλακρὸν λέγοντες.

ιβ'. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία ἐστίν, ὅταν ἐκ τῶν περιεχόντων τὰ περιεχόμενα μετονομάσωμεν κατὰ τὴν θείαν γραφήν, ἥ φησι, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν, ἀντὶ τοῦ ἐν τῇ γῇ· ἢ ἐκ τῶν οἰκούντων τὰ οἰκούμενα, ὡς ὅταν τὴν ἀσέλγειαν Σοδομιτικὴν ἐργασίαν εἴποιμεν· καὶ γὰρ ἐκ τῶν οἰκούντων τηνικαῦτα ἀσελγῶν τὰ Σόδομα τὸν σχετλιασμὸν ἐπιφέρεται· ἢ μετωνυμία ἐστὶ λέξις διὰ τῆς ὁμωνυμίας τὸ συνώνυμον δηλοῦσα, οἷον

σπλάγχνα γὰρ ἐμπείραντες ὑπείρεχον Ἡφαίστοιο·

Ἥφαιστος μὲν γὰρ παρὰ τοῖς Ἕλλησιν ὁ δαίμων καὶ τὸ πῦρ, ἅπερ καθὸ ἀμυδράν τινα διαφορὰν ἔχειν δοκοῦσιν, ὁμώνυμά ἐστιν· ἀϋλότερον γὰρ καὶ θειότερον τὸν δαίμονα λέγουσιν, καθὸ δὲ οὐδέν τι ἄλλο ἐστὶ κυρίως ὁ μυθικὸς οὗτος Ἥφαιστος ἢ τὸ πῦρ, συνώνυμα λέγεται. τοιοῦτόν ἐστι καὶ τὸ

ἐνθάδ' ἔπειτ' ἀφίη μένος ὄβριμος Ἄρης.

www.libtool.com.cn

Digitized by Google

ἀντὶ τοῦ ὁ σίδηρος. καὶ ὅταν λέγηται ὁ οἶνος Διόνυσος, ὡς τὸ

οἶνός μ' ἔπεισε, δαιμόνων ὑπέρτατος.

ιγ'. ΑΝΤΙΦΡΑΣΙΣ.

www.tiboo.com.cn

Ἀντίφρασίς ἐστι λέξις δι' ἐναντίων τὸ ἐναντίον σημαίνουσα, ὡς ὅταν τις τὸν τυφλὸν πολὺ βλέποντα εἴποι, ἢ τὸ ὄξος γλυκάδιον, ἢ τὸ λευκός ἐστιν ὡς Αἰθίοψ.

ιδ'. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασίς ἐστι περισσὴ φράσις διὰ πλειόνων λέξεων ἕν τι σημαίνουσα, ὡς ὅταν ἀντὶ τοῦ εἰπεῖν μὰ τὸν Θεὸν εἴπῃ τις μὰ τὴν φοβερὰν ἡμέραν τοῦ Θεοῦ. οὐδὲ γὰρ πλέον τι ἐσήμαινε διὰ τῶν πολλῶν τούτων λέξεων εἰ μὴ τὸν Θεόν. διαφέρει δὲ φράσις, περίφρασις, μετάφρασις, ἔκφρασις, ἀντίφρασις καὶ σύμφρασις. φράσις μὲν γὰρ ἡ ἁπλῶς λέξις λέγεται, περίφρασις δὲ ἡ περισσὴ φράσις, ὡς τὸ κάλεσόν μοι τὴν βίην τοῦ Ἡρακλέους, ἀντὶ τοῦ τὸν Ἡρακλῆν, μετάφρασις δὲ ἡ ἐναλλαγὴ τῶν λέξεων κατὰ τὸ ποσὸν ἢ πλειόνων ἢ ἐλαττόνων μετὰ ῥητορικοῦ κάλλους γινομένη, ὡς ὁ Μεταφρα- 813
στὴς ἡμῖν δείκνυσιν ἐν ταῖς μεταφράσεσι· παράφρασις δὲ ἡ ἐναλλαγὴ τῶν λέξεων κατὰ τὸ ποσὸν τῶν αὐτῶν, ὡς τὸ

μῆνιν ἄειδε Θεά,

παραφράξων εἶπε, τὴν ὀργὴν εἰπὲ ὦ Μοῦσα. ἔκφρασις δὲ ἡ λεπτομερὴς διήγησις, ἡ ἐνεργῶς καὶ σχεδὸν εἰς ὄψιν φέρουσα ἡμῖν τὸ διηγούμενον, ὅπως ἔχει θέσεως καὶ κάλλους, ὡς ἡ ἔκφρασις τοῦ ἱεροῦ Ἀλεξανδρείας ἢ πόλεων ἑτέρων τινῶν. ἀντίφρασις δὲ ἡ δι' ἐναντίων λέξεων τὸ ἐναντίον σημαίνουσα, ὡς ἀργυροῦς Αἰθίοψ. σύμφρασις δὲ ἡ συνακολούθησις τοῦ λόγου ἢ λέξεων σύνθεσις, ὡς νωβελήσιμος ὑπέρτατος.

Digitized by Google

ιε'. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψίς ἐστι λόγος ὁμὴ κατὰ τὸ πλῆρες ἐκφερόμενος, παρέχων δὲ ἡμῖν νοεῖν τὸ ἐπόμενον, ὡς ὅταν τις πενθῶν καὶ ὀδυρόμενος εἴπῃ, τὸ στῆθός μου ἔτυπτον ἀμφοτέραις, δηλονότι χερσίν, ἢ ὡς παρὰ τῷ ποιητῇ κόπτων ἀμφοτέραις, τουτέστι χερσίν.

ις'. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμός ἐστιν, ὅταν πλεονάζῃ λέξις μηδέν τι 814
πλέον σημαίνουσα, εἰ μὴ τὸ αὐτό, ὡς ἔχει τὸ ἀντίος ἐναντίος, καὶ ἔναντι κατέναντι.

ιζ'. ΕΠΑΝΑΛΗΨΙΣ.

Ἐπανάληψίς ἐστι λέξις δὶς παραλαμβανομένη ἐπιτάσεως εἵτουν αὐξήσεως χάριν, ὡς ὅταν τις τοῦ ἐγνωσμένου πράγματος τὴν εἴδησιν ἡμῖν διαβεβαιούμενος εἴπῃ, οἶδα τὸ πρᾶγμα, οἶδα, δὶς τὸ οἶδα λέγων· ἢ εἴπῃ κακὸν τὸ ἁμαρτάνειν, κακόν.

ιη'. ΕΞΟΧΗ.

Ἐξοχή ἐστιν ἡ μετὰ τὴν κοινην σημασίαν ἰδικῶς καθ' ὑπεροχὴν τῷ ὀφείλοντι προσνεμομένη, ὡς τὸ ἐν τῷ εὐαγγελίῳ ῥηθὲν ὑπὸ τοῦ Κυρίου, εἴπατε τοῖς μαθηταῖς μου καὶ τῷ Πέτρῳ. κατ' ἐξοχὴν γὰρ τὸ ὄνομα τοῦ Πέτρου ἐνταῦθα εἴληπται, ἐπεὶ καὶ διὰ τοῦ εἴπατε τοῖς μαθηταῖς μου συμπεριελήφθη· εἷς γὰρ τῶν μαθητῶν καὶ αὐτός.

ιθ'. ΤΠΕΡΒΟΛΗ.

Ὑπερβολή ἐστι φράσις ὑπερβαίνουσα τὴν ἀλήθειαν αὐξήσεως χάριν, ὡς ὅταν τις τὸν γοργῶς τρέχοντα εἴπῃ, ὅτι τρέχει, ὡς ὁ ἄνεμος· ἢ ὑπερβολή ἐστι λόγος ὑπεραίρων τὴν ἀλήθειαν ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα. ἐμφάσεως, οἷον

ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·

Digitized by Google

καὶ φαεινότεροι πυρὸς αὐγῆς, καὶ λευκότεροι χιόνος· ἐμφαίνουσι γὰρ τὸ λίαν ἐν τῷ τρέχειν μετέωρον καὶ τὸ πάνυ φωτεινὸν καὶ τὸ λίαν λευκόν. ὁμοιώσεως δέ, ὡς τὸ θείειν δ' ἀνέμοισιν ὁμοῖοι, καὶ ἀδαμάντινος ἦν τὸ σῶμα, φοινιξ τὴν εὐθύτητα τοῦ σώματος καὶ εἴ τι ὅμοιον.

κ'. ΑΙΝΙΓΜΑ.

Αἴνιγμά ἐστι λόγος σκοτεινὸν καὶ κεκαλυμμένον ἔχων ἐν ἑαυτῷ τὸ νοούμενον, ὡς τὸ προβληθὲν ζήτημα παρὰ τοῦ Σαμψὼν τοῖς ἀλλοφύλοις, ἐν ᾧ φησιν, ἐκ τοῦ ἐσθίοντος ἐξῆλθε βρῶσις, σημάναντος τὸν λέοντα ὃν περ ἀνεῖλε, καὶ τὸ εὑρεθὲν ἐν τῷ στόματι αὐτοῦ ἀπὸ μελισσείου κηρίου· καὶ ὡς ἐκεῖνο τὸ λέγον, ζυγὸν μὴ ὑπερβαίνειν, ἀντὶ τοῦ δίκαιον, καὶ γαμψώνυχας μὴ τρέφειν, ἤγουν ἅρπαγας φεύγειν· μελάνουρον μὴ ἐσθίειν, ἤτοι ψεῦδος μὴ προΐεσθαι· τοῦτο γὰρ ὕστερον ἀμαυροῦται· μαχαίρᾳ τὸ πῦρ μὴ σκαλεύειν, ἀντὶ τοῦ θυμούμενον μὴ προσερεθίζειν. λέγεται δὲ καὶ αἴνιγμα καὶ ἀπὸ τοῦ ἐναντίου, οἷον ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, ὡς ὁ εὐνοῦχος διὰ τὸ μὴ δύνασθαι γεννᾶν ὅμοιον αὐτῷ, καὶ τὸ ὄρνις καὶ οὐκ ὄρνις, ἡ νυκτερὶς διὰ τὸ δερμόπτερον καὶ ὠδοντωμένον· καθημένη καὶ οὐ καθημένη· ὑπτία γὰρ ἦν· λίθος καὶ οὐ λίθος, ἡ κίσσηρις δηλονότι, διὰ τὸ ἐπὶ τοῦ ὕδατος πλέειν· ἔβαλε κοὐκ ἔβαλε, διὰ τὸ βαλεῖν μέν, ἀστοχῆσαι δέ. γίνεται δὲ καὶ κατὰ συμβεβηκός, ὡς τὸ εἰσὶ κασίγνητοι δύο, ὧν ἡ ἑτέρα τίκτει τὴν ἑτέραν, αὕτη δὲ ἡ τεκοῦσα ταύτην ὑπὸ τῆσδε τεκνοῦται· λέγονται δὲ οὕτως ἡ ἡμέρα καὶ ἡ νύξ. διαφέρει δὲ τὸ αἴνιγμα τῆς ἀλληγορίας, ὅτι ἐκείνη προτροπῆς ἢ ἀποτροπῆς ἢ σεμνότητος ἕνεκεν ἢ εὐλαβείας λαμβάνεται, τοῦτο δὲ χάριν ἀσαφείας μόνης, καὶ ὅτι ἐκείνη σαφεστέρα τούτου πολλῷ.

www.libtool.com.cn
Digitized by Google

κα'. ΠΑΡΑΒΟΛΗ.

Παραβολή ἐστι φράσις δι' ὁμοίων καὶ γινωσκομένων ἐπ' ὄψιν ἄγουσα τὸ νοούμενον, ὡς ἔχει ἡ τοῦ Κυρίου περὶ τοῦ ἀσώτου παραβολή, ἐν ᾗ δείκνυσι τὴν τοῦ θεοῦ φιλανθρωπίαν καὶ τὴν τοῦ ἑαυτοῦ πατρὸς ἀγαθότητα, καὶ πῶς προσίεται τοὺς μετανοοῦντας.

κβ'. ΑΝΤΑΠΟΔΟΣΙΣ.

Ἀνταπόδοσίς ἐστιν ἐπεκδιδαχὴ τῶν ἐν τῇ παραβολῇ ὑποκειμένων πραγμάτων, ὡς ἵνα εἴπωμεν, ᾧ λόγῳ ἐχρήσατο ὁ πατὴρ τοῦ ἀσώτου, τοιούτῳ καὶ ὁ θεὸς προσαρμόζεται τοῖς ἀνθρώποις, καὶ δείξωμεν συγκρίνοντες τὰ πράγματα τῆς παραβολῆς, τὴν ὁμοίωσιν.

κγ'. ΠΡΟΣΩΠΟΠΟΙΙΑ.

Προσωποποιΐα ἐστίν, ὡς ὅταν τις τοῖς ἀψύχοις πρόσωπα ἔσθ' ὅτε καὶ λόγους ἁρμοδίους προσάπτῃ, ὡς τὸ οἱ οἰωνοὶ διηγοῦνται δόξαν θεοῦ.

κδ'. ΠΑΡΑΔΕΙΓΜΑ.

817 Παράδειγμά ἐστι λόγος πρὸς ἕτερόν τι συγκριτικῆς δείξεως ἔμφασιν ἔχων, ὡς τὸ Σολομῶντι ῥηθὲν μίμησαι τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, τὸ πονικὸν αὐτοῦ ζηλοῦν ἡμᾶς παρακελευόμενος, οὐ τὴν φύσιν.

κε'. ΕΙΡΩΝΕΙΑ.

Εἰρωνεία ἐστὶ λόγος ὑποκοριστικὸς δι' ἐναντίου τὸ ἐναντίον δηλῶν. τῆς δὲ εἰρωνείας εἴδη δ', χλευασμός, μυκτηρισμός, σαρκασμός, ἀστεϊσμός. χλευασμὸς λόγος μετὰ μειδιάματος ἐξερχόμενος, ὡς ὅταν τις τὸν ῥιψάσπιδα γελῶν ἀνδρεῖον πολεμιστὴν εἴποι. μυκτηρισμὸς δὲ λόγος διασυρτικὸς μετὰ τῆς τῶν ῥινῶν ἐπιμύξεως γινόμενος, ὡς ὅταν τὸν ἐπὶ κακῷ ἁλόντα ὀνειδίζοντες εἴπωμεν, πνεῦμα διὰ τῶν ῥινῶν ἐκφέροντες, καλὸν ἔργον

Digitized by Google

ἐποίησας, ὦ ἑταῖρε, καὶ ἀναγκαῖον καὶ φρονίμου ἀνδρός. σαρκασμὸς δὲ λόγος τὴν ἀλήθειαν διὰ χρηστῶν ῥημάτων ἐκφέρων, ὡς ὅταν τὸν ἐν προλήψει τιμῆς περιπεσόντα κακοῖς καὶ διὰ τοῦτο ἀτιμαζόμενον ἐπεγγελῶντες εἴπωμεν, εἰς μεγάλην δόξαν καὶ τιμὴν ἦγαγες σεαυτόν, ὦ ἑταῖρε. ἀστεϊσμὸς δὲ λόγος ἀφ' ἑαυτοῦ διασυρτικός, ὡς ὅταν τῷ μηδὲν ἐπισταμένῳ εἴποιμεν, σὺ εἶ ὦ ἑταῖρε τῶν λόγων τὸ κλέος.

www.libtool.com.cn

κς'. ΣΧΗΜΑ.

Σχῆμά ἐστιν ἀπολογίαν ἔχων σολοικισμός, ὡς ἵνα εἴπωμεν, ὁ κύριος Ἰωάννης, ὃν ὁ θεὸς ἐλεήσει, καλὸς 818 ἄνθρωπός ἐστιν.

κζ'. ΤΣΤΕΡΟΛΟΓΙΑ.

Ὑστερολογία ἐστὶ λόγος πρῶτος ὕστερος λεγόμενος καὶ διὰ τοῦτο πρωθύστερος ὀνομαζόμενος, ὡς ὅταν εἴποιμεν, καλῶς ἐτελειώθη ὁ δεῖνα καὶ καλῶς ἐβίωσεν, ἀντὶ τοῦ εἰπεῖν καλῶς ἐβίωσε καὶ καλῶς ἐτελειώθη· πρῶτον γὰρ βιοῖ τις καὶ ὕστερον τελειοῦται.

[ΠΑΡΑΠΛΗΡΩΜΑ.

Παραπλήρωμά ἐστι λέξις ἐκ περισσοῦ λαμβανομένη κόσμου χάριν ἢ μέτρου. κόσμου μέν, οἷον καί κέ τις ὥδ' ἐρέει· περισσεύει γὰρ τὸ κὲ, οὗ καὶ χωρὶς σώζεται τὸ μέτρον· μέτρου δέ, οἷον

ἀρχοὺς αὖ νηῶν ἐρέω νηάς τε προπάσας.

ἀναγκαία γὰρ ἐνταυθοῖ ἡ πρὸ πρόθεσις ἐγίνετο διὰ τὸ μέτρον. καὶ αὖθις

Πάνδαρος ᾧ καὶ τὸ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε.

τοῦ καὶ συνδέσμου καὶ ἐνταυθοῖ διὰ τὸ μέτρον ληφθέντος. τούτων τῶν συνδέσμων καὶ ἐνταυθοῖ περισσῶν ὄντων ὅμως διὰ τὸ σωθῆναι τὸ μέτρον ἐλήφθησαν.

Digitized by Google

ΧΑΡΙΕΝΤΙΣΜΟΣ.

Τί ἐστι χαριεντισμός; λόγος εὐτράπελος, ἐν ᾧ διαχεῖται ὅ τε λέγων καὶ ὁ ἀκούων.

ΕΠΕΞΗΓΗΣΙΣ.

www.libtool.com.cn

Ἐπεξήγησίς ἐστιν ἀσαφοῦς λέξεως ἢ λόγου σαφηνισμός, λέξεως μέν, ὡς τὸ λάβετε ἀκινάκην, ὅ ἐστι Περσικὸν ξίφος· λόγου δέ, ὡς τὸ ὁ οἶκος βεβαίως οὐκ οἰκειοῦται· λέγω δέ, ὡς οἱ μένοντες ἐν τούτῳ ταχέως μετέρχονται.

ΑΠΟ ΚΟΙΝΟΥ.

Ἀπὸ κοινοῦ ἐστι λέξις ἅπαξ μὲν λεγομένη, καὶ ἔξωθεν λαμβανομένη, οἷον ἀπελθὼν ἤτησε τοὺς ἄνδρας, μάλιστα δὲ Χαρίδημον καὶ Ἵππαρχον· καὶ Ὅμηρος

ἐλίσσετο πάντας Ἀχαιούς,

Ἀτρείδα δὲ μάλιστα.

ἀπὸ κοινοῦ γὰρ ἐπ' ἐκείνους μὲν τὸ ἤτησεν, ἐπὶ τούτου δὲ τὸ ἐλίσσετο.

ΕΤΕΡΟΓΕΝΕΣ.

Ἑτερογενές ἐστι μετάβασις ἀπὸ γένους εἰς γένος πρὸς τὸ νοούμενον, οἷον τὰ περὶ θαλάσσης φοβερά εἰσιν ἐρημίαι οὖσαι· καὶ ὁ Θεολόγος, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς, ὃ δὴ νοερὰν ψυχὴν οἶδεν ὁ λόγος.

ΕΤΕΡΟΠΡΟΣΩΠΟΝ.

Ἑτεροπρόσωπόν ἐστιν, ὅταν ἕτερον πρόσωπον ὑποβάλλωμεν λέγον, ἃ ἡμεῖς ἐμέλλομεν λέγειν, οἷον πάντες οἱ Αἰγύπτιοι βοῶσι τὴν ἀδικίαν ἡμῶν· ἢ ὅταν αὐτοὶ μὲν λέγωμεν, πρὸς ἕτερον δὲ ἀποτεινώμεθα καὶ οὐ πρὸς τὸν ἀδικήσαντα, οἷον ἐγὼ δὲ εἰδώς τινα βλάπτοντα τὸν πέλας εἶπον πρὸς αὐτόν, ὡς ἀδικεῖς τὸν πέλας.]

Digitized by Google

www.libtool.com.cn

XXXIV.

ΔΗΜΗΤΡΙΟΥ

ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

ΔΗΜΗΤΡΙΟΥ

Tom. IX. p. 1. Walz.

www.libtool.com.cn

[ΦΑΛΗΡΕΩΣ]

ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ

[Ο ΕΣΤΙ ΠΕΡΙ ΦΡΑΣΕΩΣ.]

Ὥσπερ ἡ ποίησις διαιρεῖται τοῖς μέτροις, οἷον ἡμι- 5
μέτροις ἢ ἑξαμέτροις ἢ τοῖς ἄλλοις, οὕτω καὶ τὴν ἑρμη-
νείαν τὴν λογικὴν διαιρεῖ καὶ διακρίνει τὰ καλούμενα
κῶλα, καθάπερ ἀναπαύοντα τὸν λέγοντά τε καὶ τὰ λεγό-
μενα αὐτά, καὶ ἐν πολλοῖς ὅροις ὁρίζοντα τὸν λόγον, ἐπεί
τοι μακρὸς ἂν εἴη καὶ ἄπειρος καὶ ἀτεχνῶς πνίγων τὸν 10
λέγοντα.

Βούλεται μέντοι διάνοιαν ἀπαρτίζειν τὰ κῶλα ταῦτα, 2
ποτὲ μὲν ὅλην διάνοιαν, οἷον ὡς Ἑκαταῖος φησιν ἐν τῇ
ἀρχῇ τῆς ἱστορίας, Ἑκαταῖος Μιλήσιος ὧδε μυ-
θεῖται· συνείληπται γὰρ διάνοια τῷ κώλῳ ὅλῳ ὅλη, 2
καὶ ἄμφω συγκαταλήγουσιν· ἐνίοτε μέντοι τὸ κῶλον 16
ὅλην μὲν οὐ συμπεραιοῖ διάνοιαν, μέρος δὲ ὅλης ὅλου·
ὡς γὰρ τῆς χειρὸς οὔσης ὅλου τινὸς μέρη αὐτῆς ὅλα ὅλης
ἐστίν, οἷον δάκτυλοι καὶ πῆχυς· ἰδίαν γὰρ περιγραφὴν
ἔχει τούτων τῶν μερῶν ἕκαστον, καὶ ἴδια μέρη, οὕτω καὶ 20
διανοίας τινὸς ὅλης οὔσης μεγάλης ἐμπεριλαμβάνοιτ'
ἂν μέρη τινὰ αὐτῆς ὁλόκληρα ὄντα καὶ αὐτά.

Ὥσπερ ἐν τῇ ἀρχῇ τῆς Ἀναβάσεως τῆς Ξενοφῶντος 3
τὸ τοιοῦτον, Δαρείου καὶ Παρυσάτιδος μέχρι τοῦ
νεώτερος δὲ Κῦρος, συντετελεσμένη πᾶσα διανοιά 25

Digitized by Google

ἐστι· τὰ δ' ἐν αὐτῇ κῶλα δύο μέρη μὲν αὐτῆς ἑκάτερόν
3 ἐστι, διάνοια δὲ ἐν ἑκατέρῳ πληροῦταί τις, ἴδιον ἔχουσα
πέρας, οἷον *Λαρείου καὶ Παρυσάτιδος γίνονται παῖδες*. ἔχει γάρ τινα ὁλοκληρίαν ἡ διάνοια αὐτὴ
5 καθ' αὑτήν, ὅτι ἐγένοντο Λαρείῳ καὶ Παρυσάτιδι παῖδες. καὶ ὡσαύτως τὸ ἕτερον κῶλον, ὅτι *πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος*. ὥστε τὸ μὲν κῶλον, ὥς φημι, διάνοιαν περιέξει τινὰ πάντη πάντως, ἤτοι ὅλην ἢ μέρος ὅλης ὅλον.

4 *Δεῖ δὲ οὔτε πάνυ μακρὰ ποιεῖν τὰ κῶλα, ἐπεί τοι*
11 *γίνεται ἄμετρος ἡ σύνθεσις ἢ δυσπαρακολούθητος. οὐδὲ γὰρ ἡ ποιητικὴ ὑπὲρ ἑξάμετρον ἦλθεν, εἰ μή που ἐν ὀλίγοις· γελοῖον γὰρ τὸ μέτρον ἄμετρον εἶναι, καὶ καταλήγοντος τοῦ μέτρου ἐπιλελῆσθαι ἡμᾶς πότε ἤρξατο. οὔ-*
15 *τε δὲ τὸ μῆκος τῶν κώλων πρέπον τοῖς λόγοις διὰ τὴν ἀμετρίαν, οὔτε ἡ μικρότης, ἐπεί τοι γίνοιτ' ἂν ἡ λεγομένη ξηρὰ σύνθεσις, οἷον ἡ τοιάδε ὁ βίος βραχύς, ἡ τέχνη μακρά, ὁ καιρὸς ὀξύς. κατακεκομμένη γὰρ ἔοικεν ἡ σύνθεσις καὶ κεκερματισμένη, καὶ εὐκαταφρό-*
20 *νητος διὰ τὸ μικρὰ σύμπαντα ἔχειν.*

4
5 *Γίνεται μὲν οὖν ποτε καὶ μακροῦ κώλου καιρός,*
οἷον ἐν τοῖς μεγέθεσιν, ὡς ὁ Πλάτων φησί, τὸ γὰρ δὴ πᾶν τόδε ποτὲ μὲν αὐτὸς ὁ θεὸς πορευόμενον ποδηγεῖ καὶ συγκυκλεῖ. σχεδὸν γὰρ τῷ μεγέθει
25 *τοῦ κώλου συνεξῆρται καὶ ὁ λόγος. διὰ τοῦτο καὶ ἑξάμετρον ἡρῷόν τε ὀνομάζεται ὑπὸ τοῦ μήκους καὶ πρέπον ἥρωσιν, καὶ οὐκ ἂν τὴν Ὁμήρου Ἰλιάδα πρεπόντως τις γράψειεν τοῖς Ἀρχιλόχου βραχέσιν, οἷον*

ἀχνυμένη σκυτάλη

30 *καὶ*

τίς σὰς παρήειρε φρένας,

www.libnol.com.cn

Digitized by Google

οὐδὲ τοῖς Ἀνακρέοντος [τὸ]

φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ·

μεθύοντος γὰρ ὁ ῥυθμὸς ἀτεχνῶς γέροντος, οὐ μαχομένου ἥρωος.

Μακροῦ μὲν δὴ κώλου καιρὸς γίνοιτ' ἄν ποτε διὰ 6
ταῦτα· γίνοιτο δ' ἄν ποτε καὶ βραχέος, οἷον ἤτοι μι- 6
κρόν τι ἡμῶν λεγόντων, ὡς ὁ Ξενοφῶν φησιν, ὅτι ἀφί-
κοντο οἱ Ἕλληνες ἐπὶ τὸν Τηλεβόαν ποταμόν· οὗτος
δὲ ἦν μέγας μὲν οὔ, καλὸς δέ. τῇ γὰρ μικρότητι
καὶ ἀποκοπῇ τοῦ ῥυθμοῦ συνανεφάνη καὶ ἡ μικρότης 5
τοῦ ποταμοῦ καὶ ἡ χάρις· εἰ δὲ οὕτως ἐκτείνας αὐτὸ εἶ- 11
πεν, οὗτος δὲ μεγέθει μὲν ἦν ἐλάττων τῶν πολλῶν, κάλ-
λει δὲ ὑπερεβάλλετο πάντας, τοῦ πρέποντος ἀπετύγχα-
νεν ἄν, καὶ ἐγίγνετο ὁ λεγόμενος ψυχρός· ἀλλὰ περὶ
ψυχρότητος μὲν ὕστερον λεκτέον. 15

Τῶν δὲ μικρῶν κώλων κἂν δεινότητι χρῆσίς ἐστι· 7
δεινότερον γὰρ τὸ ἐν ὀλίγῳ πολὺ ἐμφαινόμενον καὶ
σφοδρότερον, διὸ καὶ οἱ *Λάκωνες* βραχυλόγοι ὑπὸ δει-
νότητος· καὶ τὸ μὲν ἐπιτάσσειν σύντομον καὶ βραχύ,
καὶ πᾶς δεσπότης δούλῳ μονοσύλλαβος, τὸ δὲ ἱκετεύειν 20
μακρὸν καὶ τὸ ὀδύρεσθαι. αἱ *Λιταὶ* καθ' Ὅμηρον καὶ
χωλαὶ καὶ ῥυσσαὶ ὑπὸ βραδυτῆτος, τουτέστιν ὑπὸ μα-
κρολογίας, καὶ οἱ γέροντες μακρολόγοι διὰ τὴν ἀσθέ-
νειαν.

Παράδειγμα δὲ βραχείας συνθέσεως τὸ *Λακεδαι-* 8
μόνιοι Φιλίππῳ· Διονύσιος ἐν Κορίνθῳ. πο- 26
λὺ γὰρ δεινότερον φαίνεται ῥηθὲν οὕτω βραχέως, ἢ εἴ-
περ αὐτὸ μακρῶς ἐκτείναντες εἶπον, ὅτι ὁ Διονύσιός
ποτε μέγας ὢν τύραννος ὥσπερ σὺ ὅμως νῦν ἰδιω- 6
τεύων οἰκεῖ Κόρινθον. οὐ γὰρ ἔτι διὰ πολλῶν ῥηθὲν 30
ἐπιπλήξει ἐῴκει, ἀλλὰ διηγήματι, καὶ μᾶλλόν τινι δι-
δάσκοντι, οὐκ ἐκφοβοῦντι· οὕτως ἐκτεινόμενον ἐκλύε-

www.libtool.com.cn

Digitized by Google

ται τοῦ λόγου τὸ θυμικὸν καὶ σφοδρόν. ὥσπερ τὰ θηρία συστρέψαντα ἑαυτὰ μάχεται, τοιαύτη τις ἂν εἴη συστροφὴ καὶ λόγου καθάπερ ἐσπειραμένου πρὸς δεινότητα.

9 Ἡ δὲ τοιαύτη βραχύτης κατὰ τὴν σύνθεσιν κόμμα
6 ὀνομάζεται. ὁρίζονται δ' αὐτὸ ὧδε, κόμμα ἐστὶ τὸ κῶλου ἔλαττον, οἷον τὸ προειρημένον, τό τε Διονύσιος ἐν Κορίνθῳ, καὶ τὸ γνῶθι σεαυτόν, καὶ τὸ ἕπου θεῷ, τὰ τῶν σοφῶν. ἔστι γὰρ καὶ ἀποφθεγματικὸν ἡ
10 βραχύτης καὶ γνωμολογικόν, καὶ σοφώτερον τὸ ἐν ὀλίγῳ πολλὴν διάνοιαν ἠθροῖσθαι, καθάπερ ἐν τοῖς σπέρ-
7 μασι δένδρων ὅλων δυνάμεις· εἰ δὲ ἐκτείνοι τις τὴν γνώμην ἐν μακροῖς, διδασκαλία γίνεταί τις καὶ ῥητορεία ἀντὶ γνώμης.

15 ΠΕΡΙ ΠΕΡΙΟΔΩΝ.

10 Τῶν μέντοι κώλων καὶ κομμάτων τοιούτων συντιθεμένων πρὸς ἄλληλα συνίστανται αἱ περίοδοι ὀνομαζόμεναι. ἔστι γὰρ περίοδος σύστημα ἐκ κώλων ἢ κομμάτων εὐκαταστρόφων πρὸς τὴν διάνοιαν τὴν ὑποκει-
20 μένην ἀπηρτισμένον, οἷον μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν· αὕτη γὰρ ἡ περίοδος ἐκ τριῶν κώλων
25 οὖσα καμπήν τέ τινα καὶ συστροφὴν ἔχει κατὰ τὸ τέλος.

11 Ἀριστοτέλης δὲ ὁρίζεται τὴν περίοδον οὕτως, περίοδός ἐστι λέξις ἀρχὴν ἔχουσα καὶ τελευτήν, μάλα καλῶς καὶ πρεπόντως ὁρισάμενος· εὐθὺς
8 γὰρ ὁ τὴν περίοδον λέγων ἐμφαίνει, ὅτι ἦρκταί ποθεν
31 καὶ ἀποτελευτήσει ποι καὶ ἐπείγεται εἴς τι τέλος, ὥσπερ οἱ δρομεῖς ἀφεθέντες· καὶ γὰρ ἐκείνων συνεμφαίνεται

www.libtool.com.cn
Digitized by Google

τῇ ἀρχῇ τοῦ δρόμου τὸ τέλος. ἔνθεν καὶ περίοδος ὠνομάσθη, ἀπεικασθεῖσα ταῖς ὁδοῖς ταῖς κυκλοειδέσι καὶ περιωδευμέναις· καθόλου [γὰρ] οὐδὲν ἡ περίοδός ἐστι πλὴν ποιὰ σύνθεσις. εἰ γοῦν λυθείη αὐτῆς τὸ περιωδευμένον καὶ μετασυντεθείη, τὰ μὲν πράγματα μένει τὰ αὐτά, περίοδος δὲ οὐκ ἔσται, οἷον εἰ τὴν προειρημένην τις τοῦ Δημοσθένους περίοδον ἀναστρέψας εἴποι ὧδέ πως, συνερῶ τούτοις, ὦ ἄνδρες Ἀθηναῖοι· φίλος γάρ μοί ἐστιν ὁ υἱὸς Χαβρίου, πολὺ δὲ μᾶλλον τούτου ἡ πόλις, ἦ συνειπεῖν με δίκαιόν ἐστιν. οὐ γὰρ ἔτι οὐδαμοῦ ἡ περίοδος εὑρίσκεται.

Γένεσις δ' αὐτῆς ἥδε. τῆς ἑρμηνείας ἡ μὲν ὀνομάζεται κατεστραμμένη, οἷον ἡ κατὰ περιόδους, ἔχουσα ὡς ἡ τῶν Ἰσοκρατείων ῥητῶν καὶ Γοργίου καὶ Ἀλκιδάμαντος· ὅλαι γὰρ διὰ περιόδων εἰσὶ συνεχῶν οὐδέν τι ἔλαττον, ἥπερ ἡ Ὁμήρου ποίησις δι' ἑξαμέτρων· ἡ δέ τις διηρημένη ἑρμηνεία καλεῖται, ἡ εἰς κῶλα λελυμένη οὐ μάλα ἀλλήλοις συνηρτημένα, ὡς ἡ Ἑκαταίου, καὶ τὰ πλεῖστα τῶν Ἡροδότου, καὶ ὅλως ἡ ἀρχαία πᾶσα. παράδειγμα αὐτῆς, Ἑκαταῖος Μιλήσιος ὧδε μυθεῖται· τὰ δὲ γράφω, ὥς μοι δοκεῖ ἀληθέα εἶναι· οἱ γὰρ Ἑλλήνων λόγοι πολλοί τε καὶ γελοῖοι, ὡς ἐμοὶ φαίνονται, εἰσίν. ὥσπερ γὰρ σεσωρευμένοις ἐπ' ἀλλήλοις τὰ κῶλα ἔοικε καὶ ἐπερριμμένοις, καὶ οὐκ ἔχουσι σύνδεσιν οὐδ' ἀντέρεισιν, οὐδὲ βοηθοῦντα ἀλλήλοις, ὥσπερ ἐν ταῖς περιόδοις.

Ἔοικε γοῦν τὰ μὲν περιοδικὰ κῶλα τοῖς λίθοις τοῖς ἀντερείδουσι τὰς περιφερεῖς στέγας καὶ συνέχουσι, τὰ δὲ τῆς διαλελυμένης ἑρμηνείας διερριμμένοις πλησίον λίθοις μόνον καὶ οὐ συγκειμένοις.

Διὸ καὶ περιεξεσμένον ἔχει τι ἡ ἑρμηνεία ἡ πρὶν καὶ εὐσταλές, ὥσπερ καὶ τὰ ἀρχαῖα ἀγάλματα, ὧν τέχνη

ἐδόκει ἡ συστολὴ καὶ ἰσχνότης, ἡ δὲ τῶν μετὰ ταῦτα ἑρμηνεία τοῖς Φειδίου ἔργοις ἤδη ἔοικεν ἔχουσά τι καὶ μεγαλεῖον καὶ ἀκριβὲς ἅμα.

15 Δοκιμάζω γὰρ δὴ ἔγωγε μήτε περιόδους ὅλον τὸν
5 λόγον συνείρεσθαι, ὡς ὁ Γοργίου, μήτε διαλελύσθαι ὅλον, ὡς τὰ ἀρχαῖα, ἀλλὰ μεμῖχθαι μᾶλλον δι' ἀμφοτέρων· οὕτω γὰρ καὶ ἐγκατάσκευος ἔσται καὶ ἁπλοῦς ἅμα, καὶ ἐξ ἀμφοῖν ἡδύς, καὶ οὔτε μάλα ἰδιωτικός, οὔτε μάλα σοφιστικός. τῶν δὲ τὰς πυκνὰς περιόδους
11 λεγόντων οὔθ' αἱ κεφαλαὶ ῥᾳδίως ἑστᾶσιν, ὡς ἐπὶ τῶν
11 οἰνωμένων, οἵ τε ἀκούοντες ναυτιῶσι διὰ τὸ ἀπίθανον, τοτὲ δὲ καὶ ἐκφωνοῦσι τὰ τέλη τῶν περιόδων προειδότες καὶ προαναβοῶσι.

16 Τῶν δὲ περιόδων αἱ μικρότεραι μὲν ἐκ δυοῖν κώλοιν
15 συντίθενται, αἱ μέγισται δὲ ἐκ τεττάρων· τὸ δ' ὑπὲρ τέτταρα οὐκέτ' ἂν ἐντὸς εἴη περιοδικῆς συμμετρίας.

17 Γίνονται δὲ καὶ τρίκωλοί τινες, καὶ μονόκωλοι ἃς καλοῦσιν ἁπλᾶς περιόδους. ὅταν γὰρ τὸ κῶλον μῆκός
12 τε ἔχῃ καὶ καμπὴν κατὰ τὸ τέλος, τότε μονόκωλος πε-
20 ρίοδος γίνεται, καθάπερ ἡ τοιάδε, Ἡροδότου Ἁλικαρνασσῆος ἱστορίης ἀπόδεξις ἥδε. καὶ πάλιν, ἡ γὰρ σαφὴς φράσις πολὺ φῶς παρέχεται ταῖς τῶν ἀκουόντων διανοίαις· ὑπ' ἀμφοῖν μέντοι συνίσταται ἡ ἁπλῆ περίοδος, καὶ ὑπὸ τοῦ
25 μήκους καὶ ὑπὸ τῆς καμπῆς τῆς περὶ τὸ τέλος, ὑπὸ δὲ θατέρου οὐδέ ποτε.

18 Ἐν δὲ ταῖς συνθέτοις περιόδοις τὸ τελευταῖον κῶλον μακρότερον χρὴ εἶναι, καὶ ὥσπερ περιέχον καὶ περιειληφὸς τἄλλα. οὕτω γὰρ μεγαλοπρεπὴς ἔσται καὶ
30 σεμνὴ περίοδος, εἰς σεμνὸν καὶ μακρὸν λήγουσα κῶλον· εἰ δὲ μή, ἀποκεκομμένη καὶ χωλῇ ὁμοία. παράδειγμα δ' αὐτῆς τὸ τοιοῦτον, οὐ γὰρ τὸ εἰπεῖν καλῶς

Digitized by Google

καλόν, ἀλλὰ τὸ εἰπόντα δρᾶσαι τὰ εἰρημένα.

Τρία δὲ γένη περιόδων ἐστίν, ἱστορική, διαλογική, ῥητορική. ἱστορικὴ μὲν ἡ μήτε περιηγμένη, μήτ' ἀνειμένη σφόδρα, ἀλλὰ μεταξὺ ἀμφοῖν, ὡς μήτε ῥητορικὴ δόξειεν καὶ ἀπίθανος διὰ τὴν περιαγωγήν, τὸ σεμνόν τε ἔχουσα καὶ ἱστορικὸν ἐκ τῆς ἁπλότητος, οἷον ἡ τοιάδε, Δαρείου καὶ Παρυσάτιδος γίγνονται μέχρι τοῦ νεώτερος δὲ Κῦρος. ἑδραίᾳ γάρ τινι καὶ ἀσφαλεῖ καταλήξει ἔοικεν αὐτῆς ἡ ἀπόθεσις. 19

Τῆς δὲ ῥητορικῆς περιόδου συνεστραμμένον τὸ εἶδος καὶ κυκλικὸν καὶ δεόμενον στρογγύλου στόματος καὶ χειρὸς συμπεριαγομένης τῷ ῥυθμῷ, οἷον τῆς μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν. σχεδὸν γὰρ εὐθὺς ἐκ τῆς ἀρχῆς ἡ περίοδος ἡ τοιάδε συνεστραμμένον τι ἔχει καὶ ἐμφαῖνον, ὅτι οὐκ ἂν ἀπολήξειεν εἰς ἁπλοῦν τέλος. 20

Διαλογικὴ δέ ἐστι περίοδος ἡ ἔτι ἀνειμένη καὶ ἁπλουστέρα τῆς ἱστορικῆς, καὶ μόλις ἐμφαίνουσα, ὅτι περίοδός ἐστιν, ὥσπερ ἡ τοιάδε, κατέβην χθὲς εἰς τὸν Πειραιᾶ μέχρι τοῦ ἅτε νῦν πρῶτον ἄγοντες. ἐπέρριπται γὰρ ἀλλήλοις τὰ κῶλα ἐφ' ἑτέρῳ ἕτερον, ὥσπερ ἐν τοῖς διαλελυμένοις λόγοις, καὶ ἀπολήξαντες μόλις ἂν ἐννοηθεῖμεν κατὰ τὸ τέλος, ὅτι τὸ λεγόμενον περίοδος ἦν. δεῖ γὰρ μεταξὺ διηρημένης τε καὶ κατεστραμμένης λέξεως τὴν διαλογικὴν περίοδον γράφεσθαι, καὶ μεμιγμένην ὁμοίαν ἀμφοτέροις. περιόδων μὲν εἴδη τοσάδε. 21

14

Γίνονται δὲ καὶ ἐξ ἀντικειμένων κώλων περίοδοι, 22

www.libtool.com.cn

Digitized by Google

ἀντικειμένων δὲ ἤτοι τοῖς πράγμασιν, οἷον πλέων μὲν διὰ τῆς ἠπείρου, πεζεύων δὲ διὰ τῆς θαλάσσης, ἢ ἀμφοτέροις, τῇ τε λέξει καὶ τοῖς πράγμασιν, ὥσπερ ἡ αὐτὴ περίοδος ὧδε ἔχει.

www.libtool.com.cn

23 Κατὰ δὲ τὰ ὀνόματα μόνον ἀντικείμενα κῶλα τοιάδε
6 ἐστίν, οἷον ὡς ὁ τὴν Ἑλένην παραβαλὼν τῷ Ἡρακλεῖ φησιν, ὅτι τῷ μὲν ἐπίπονον καὶ πολυκίνδυνον τὸν βίον ἐποίησεν, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν κατέστησεν.
10 ἀντίκειται γὰρ καὶ ἄρθρον ἄρθρῳ, καὶ σύνδεσμος συνδέσμῳ, ὅμοια ὁμοίοις, καὶ τἆλλα δὲ κατὰ τὸν αὐτὸν τρόπον, τῷ μὲν ἐποίησεν τὸ κατέστησεν, τῷ δὲ ἐπίπονον τὸ περίβλεπτον, τῷ δὲ πολυκίνδυ-
15 νον τὸ περιμάχητον, καὶ ὅλως ἓν πρὸς ἕν, ὅμοιον
15 παρ' ὅμοιον, ἡ ἀνταπόδοσις.

24 Ἔστι δὲ κῶλα, ἃ μὴ ἀντικείμενα ἐμφαίνει τινὰ ἀντίθεσιν διὰ τὸ τῷ σχήματι ἀντιθέτως γεγράφθαι, καθάπερ τὸ παρ' Ἐπιχάρμῳ τῷ ποιητῇ πεπαιγμένον, ὅτι τόκα μὲν ἐν τήνοις ἐγὼν ἦν, τόκα δὲ παρὰ
20 τήνοις ἐγών. τὸ αὐτὸ μὲν γὰρ εἴρηται, καὶ οὐδὲν ἐναντίον· ὁ δὲ τρόπος τῆς ἑρμηνείας μεμιμημένος ἀντίθεσίν τινα πλανῶντι ἔοικεν· ἀλλ' οὗτος μὲν ἴσως γελωτοποιῶν οὕτως ἀντέθηκεν, καὶ ἅμα σκώπτων τοὺς ῥήτορας.

25 ΠΕΡΙ ΠΑΡΟΜΟΙΩΝ ΚΩΛΩΝ.

25 Ἔστι δὲ καὶ παρόμοια κῶλα, ἅτινα παρόμοια ἢ τοῖς ἐπ' ἀρχῆς, οἷον

δωρητοί τε πέλοντο, παράρρητοί τ' ἐπέεσσιν·

ἢ τοῖς ἐπὶ τέλους, ὡς ἡ τοῦ Πανηγυρικοῦ ἀρχή, πολ-
30 λάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας κα-

Digitized by Google

ταστησάντων. εἶδος δὲ τοῦ παρομοίου τὸ ἰσόκωλον, ἐπὰν ἴσας ἔχῃ τὰ κῶλα τὰς συλλαβάς, ὡς παρὰ Θουκυδίδῃ, ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τε ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων ἰσόκωλον μὲν δὴ τοῦτο.

www.libtool.com.cn

ΠΕΡΙ ΟΜΟΙΟΤΕΛΕΥΤΩΝ.

Ὁμοιοτέλευτα δέ ἐστι τὰ εἰς ὅμοια καταλήγοντα, ἤτοι εἰς ὀνόματα ταὐτά, ὥσπερ ἔχει ἐπὶ τοῦ, σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς, καὶ νῦν θανόντα γράφεις κακῶς· ἢ ὅταν εἰς συλλαβὴν καταλήγῃ τὴν αὐτήν, ὥσπερ τὰ ἐκ τοῦ Πανηγυρικοῦ προειρημένα.

Χρῆσις δὲ τῶν τοιούτων κώλων ἐπισφαλής. οὔτε γὰρ δεινῶς λέγοντι ἐπιτήδεια· ἐκλύει γὰρ τὴν δεινότητα ἡ περὶ αὐτὰ τερθρία καὶ φροντίς. δῆλον δ' ἡμῖν τοῦτο ποιεῖ Θεόπομπος. κατηγορῶν γὰρ τῶν τοῦ Φιλίππου φίλων φησίν, ἀνδροφόνοι δὲ τὴν φύσιν ὄντες, ἀνδροπόρνοι τὸν τρόπον ἦσαν· καὶ ἐκαλοῦντο μὲν ἑταῖροι, ἦσαν δὲ ἑταῖραι. ἡ γὰρ ὁμοιότης ἡ περὶ τὰ κῶλα καὶ ἀντίθεσις ἐκλύει τὴν δεινότητα διὰ τὴν κακοτεχνίαν. θυμὸς γὰρ τέχνης οὐ δεῖται, ἀλλὰ δεῖ τρόπον τινὰ αὐτοφυᾶ εἶναι ἐπὶ τῶν τοιούτων κατηγοριῶν καὶ ἁπλᾶ τὰ λεγόμενα.

Οὔτε δῆτα ἐν δεινότητι χρήσιμα τὰ τοιαῦτα, ὡς ἔδειξα, οὔτε ἐν πάθεσι καὶ ἤθεσιν· ἁπλοῦν γὰρ εἶναι βούλεται καὶ ἀποίητον τὸ πάθος, ὁμοίως δὲ καὶ τὸ ἦθος. ἐν γοῦν τοῖς Ἀριστοτέλους περὶ δικαιοσύνης ὁ τὴν Ἀθηναίων πόλιν ὀδυρόμενος, εἰ μὲν οὕτως εἶπε ὅτι ποίαν τοιαύτην πόλιν εἶλον τῶν ἐχθρῶν, οἵαν τὴν ἰδίαν πόλιν ἀπώλεσαν, ἐμπαθῶς ἂν εἰρηκὼς εἴη καὶ ὀδυρτικῶς· εἰ δὲ παρόμοιον αὐτὸ ποιήσει· ποίαν

Digitized by Google

γὰρ πόλιν τῶν ἐχθρῶν τοιαύτην ἔλαβον, ὁποίαν τὴν ἰδίαν ἀπέβαλον, οὐ μὰ τὸν Δία πάθος κινήσει οὐδὲ
18 ἔλεον, ἀλλὰ τὸν καλούμενον κλαυσιγέλωτα. τὸ γὰρ ἐν πενθοῦσι παίζειν, κατὰ τὴν παροιμίαν, τὸ τὰ τοιαῦτα
5 ἐν τοῖς πάθεσι κακοτεχνεῖν ἐστι.

29 Γίνεται μέντοι γε χρήσιμά ποτε, ὡς Ἀριστοτέλης φησίν, ἐγὼ ἐκ μὲν Ἀθηνῶν εἰς Στάγειρα ἦλθον διὰ τὸν βασιλέα τὸν μέγαν, ἐκ δὲ Σταγείρων εἰς Ἀθήνας διὰ τὸν χειμῶνα τὸν
10 μέγαν· εἰ γοῦν ἀφέλοις τὸ ἕτερον μέγαν, συναφαιρήσῃ καὶ τὴν χάριν· τῇ γὰρ μεγαληγορίᾳ συνεργοῖεν τὰ τοιαῦτα κῶλα, ὁποῖα τῶν Γοργίου τὰ πολλὰ ἀντίθετα καὶ τῶν Ἰσοκράτους. περὶ μὲν δὴ τῶν παρομοίων ταῦτα.

15 ΤΙΝΙ ΔΙΑΦΕΡΕΙ ΕΝΘΥΜΗΜΑ ΠΕΡΙΟΔΟΥ.

30 Διαφέρει δὲ ἐνθύμημα περιόδου τῇδε, ὅτι ἡ μὲν περίοδος σύνθεσίς τίς ἐστι περιηγμένη, ἀφ' ἧς καὶ ὠνόμασται, τὸ δὲ ἐνθύμημα ἐν τῷ διανοήματι ἔχει τὴν δύναμιν καὶ σύστασιν. καὶ ἔστιν ἡ μὲν περίοδος κύκλος
20 τοῦ ἐνθυμήματος, ὥσπερ καὶ τῶν ἄλλων πραγμάτων, τὸ δ' ἐνθύμημα διάνοιά τις ἤτοι ἐκ μάχης λεγομένη ἢ ἐν ἀκολουθίας σχήματι.

31 Σημεῖον δέ· εἰ γὰρ διαλύσειας τὴν σύνθεσιν τοῦ ἐνθυμήματος, τὴν μὲν περίοδον ἠφάνισας, τὸ δ' �εν-
19 θύμημα ταὐτὸν μένει, οἷον εἴ τις τὸ παρὰ Δημοσθένει
26 διαλύσειεν ἐνθύμημα τὸ τοιοῦτον, ὥσπερ γὰρ εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας· οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει· διαλύσειε δὲ οὕτω· μὴ ἐπιτρέπετε τοῖς τὰ παράνομα
30 γράφουσιν· εἰ γὰρ ἐκωλύοντο, οὐκ ἂν νῦν οὗτος ταῦτα ἔγραφεν, οὐδ' ἕτερος ἔτι γράψει τούτου νῦν ἁλόντος·

www.libtool.com.cn
Digitized by Google

ἐνταῦθα τῆς περιόδου μὲν ὁ κύκλος ἐκλέλυται, τὸ δ' ἐνθύμημα ἐν ταὐτῷ μένει.

Καὶ καθόλου δὲ τὸ μὲν ἐνθύμημα συλλογισμός τίς 32
ἐστι ῥητορικός, ἡ περίοδος δὲ συλλογίζεται μὲν οὐδέν,
σύγκειται δὲ μόνον· καὶ περιόδους μὲν ἐν παντὶ μέρει
τοῦ λόγου τίθεμεν, οἷον ἐν τοῖς προοιμίοις, ἐνθυμήματα δὲ οὐκ ἐν παντί· καὶ τὸ μὲν ὥσπερ ἐπιλέγεται, τὸ ἐνθύμημα, ἡ περίοδος δὲ αὐτόθεν λέγεται· καὶ τὸ μὲν οἷον συλλογισμός ἐστιν ἀτελής, ἡ δὲ οὔτε ὅλον τι οὔτε ἀτελὲς συλλογίζεται.

Συμβέβηκε μὲν οὖν τῷ ἐνθυμήματι καὶ περιόδῳ 33
εἶναι, διότι περιοδικῶς σύγκειται, περίοδος δ' οὐκ ἔστιν,
ὥσπερ τῷ οἰκοδομουμένῳ συμβέβηκε μὲν καὶ λευκῷ
εἶναι, ἂν λευκὸν ᾖ, τὸ οἰκοδομούμενον δ' οὐκ ἔστι λευκόν. περὶ μὲν δὴ διαφορᾶς ἐνθυμήματος καὶ περιόδου εἴρηται.

Τὸ δὲ κῶλον Ἀριστοτέλης οὕτως ὁρίζεται, κῶλόν 34
ἐστι τὸ ἕτερον μέρος περιόδου· εἶτα ἐπιφέρει· γίνεται δὲ καὶ ἁπλῆ περίοδος. οὕτως ὁρισάμενος, τὸ ἕτερον μέρος, δίκωλον ἐβούλετο εἶναι τὴν περίοδον δηλονότι. ὁ δὲ Ἀρχέδημος συλλαβὼν τὸν 21
ὅρον τοῦ Ἀριστοτέλους, καὶ τὸ ἐπιφερόμενον τῷ ὅρῳ σαφέστερον καὶ τελεώτερον οὕτως ὡρίσατο, κῶλόν ἐστιν ἤτοι ἁπλῆ περίοδος, ἢ συνθέτου περιόδου μέρος.

Τί μὲν οὖν ἁπλῆ περίοδος, εἴρηται· συνθέτου δὲ 35
φήσας αὐτὸ περιόδου μέρος, οὐ δυσὶ κώλοις τὴν περίοδον ὁρίζειν ἔοικεν, ἀλλὰ καὶ τρισὶ καὶ πλείοσιν· ἡμεῖς δὲ μέτρον μὲν περιόδου ἐκτεθείμεθα, νῦν δὲ περὶ τῶν χαρακτήρων τῆς ἑρμηνείας λέγωμεν.

www.tibtool.com.cn
Digitized by Google

ΠΕΡΙ ΧΑΡΑΚΤΗΡΩΝ.

36 Εἰσὶ δὲ τέτταρες οἱ ἁπλοῖ χαρακτῆρες, ἰσχνός, μεγαλοπρεπής, γλαφυρός, δεινός, καὶ λοιποὶ οἱ ἐκ τούτων μιγνύμενοι. μίγνυνται δὲ οὐ πᾶς παντί, ἀλλ' ὁ γλαφυρὸς μὲν καὶ τῷ ἰσχνῷ καὶ τῷ μεγαλοπρεπεῖ, καὶ ὁ δεινὸς δὲ ὁμοίως ἀμφοτέροις· μόνος δὲ ὁ μεγαλοπρεπὴς τῷ ἰσχνῷ οὐ μίγνυται, ἀλλ' ὥσπερ ἀνθέστατον, καὶ ἀντίκεισθον ἐναντιωτάτω. διὸ δὴ καὶ μόνους δύο χαρακτῆράς τινες ἀξιοῦσιν εἶναι τούτους, τοὺς δὲ λοιποὺς δύο μεταξὺ τούτων, τὸν μὲν γλαφυρὸν τῷ ἰσχνῷ προσνέμοντες μᾶλλον, τῷ δὲ μεγαλοπρεπεῖ τὸν δεινόν, ὡς τοῦ γλαφυροῦ μὲν μικρότητά τινα καὶ κομψείαν ἔχοντος, τοῦ δεινοῦ δὲ ὄγκον καὶ μέγεθος.

37 Γελοῖος δ' ὁ τοιοῦτος λόγος. ὁρῶμεν γὰρ πλὴν τῶν εἰρημένων χαρακτήρων ἐναντίων, πάντας μιγνυμένους πᾶσιν, οἷον τὰ Ὁμήρου τε ἔπη καὶ τοὺς Πλάτωνος λόγους καὶ Ξενοφῶντος καὶ Ἡροδότου καὶ ἄλλων πολλῶν πολλὴν μὲν μεγαλοπρέπειαν καταμεμιγμένην ἔχοντας, πολλὴν δὲ δεινότητά τε καὶ χάριν, ὥστε τὸ μὲν πλῆθος τῶν χαρακτήρων τοσοῦτον ἂν εἴη, ὅσον λέλεκται, ἑρμηνεία δ' ἑκάστῳ πρέπουσα γένοιτ' ἂν τοιάδε τις.

ΠΕΡΙ ΜΕΓΑΛΟΠΡΕΠΟΥΣ.

23
38 Ἄρξομαι δὲ ἀπὸ τοῦ μεγαλοπρεποῦς, ὅνπερ νῦν λόγιον ὀνομάζουσιν. ἐν τρισὶ δὴ τὸ μεγαλοπρεπές, διανοίᾳ, λέξει, τῷ συγκεῖσθαι προσφόρως. σύνθεσις δὲ μεγαλοπρεπής, ὥς φησιν Ἀριστοτέλης, ἡ παιωνική. παίωνος δὲ εἴδη δύο, τὸ μὲν προκαταρκτικόν, οὗ ἄρχει μὲν μακρά, λήγουσι δὲ τρεῖς βραχεῖαι, οἷον τὸ τοιόνδε, ἤρξατο δέ, τὸ δὲ καταληκτικὸν θατέρῳ ἀντίστροφον, οὗ τρεῖς μὲν βραχεῖαι ἄρχουσι, λήγει δὲ μία μακρά, ὥσπερ τὸ Ἀραβία.

Digitized by Google

Δεῖ δὲ ἐν τοῖς κώλοις τοῦ μεγαλοπρεποῦς λόγου τὸν προκαταρκτικὸν μὲν παίωνα ἄρχειν τῶν κώλων, τὸν καταληκτικὸν δὲ ἔπεσθαι. παράδειγμα δ' αὐτῶν τὸ Θουκυδίδειον τόδε, ἤρξατο δὲ τὸ κακὸν ἐξ Αἰθιοπίας. τί ποτ' οὖν Ἀριστοτέλης οὕτω διετάξατο; ὅτι δεῖ καὶ τὴν ἐμβολὴν τοῦ κώλου καὶ ἀρχὴν μεγαλοπρεπῆ εὐθὺς εἶναι καὶ τέλος, τοῦτο δ' ἔσται, ἐὰν ἀπὸ μακρᾶς ἀρχώμεθα καὶ εἰς μακρὰν λήγωμεν. φύσει γὰρ μεγαλεῖον ἡ μακρά, καὶ προλεγομένη τε πλήσσει εὐθὺς καὶ ἀπολήγουσα ἐν μεγάλῳ τινὶ καταλείπει τὸν ἀκούοντα. πάντες γοῦν ἰδίως τῶν τε πρώτων μνημονεύομεν καὶ τῶν ὑστάτων, καὶ ὑπὸ τούτων κινούμεθα, ὑπὸ δὲ τῶν μεταξὺ ἔλαττον ὥσπερ ἐγκρυπτομένων ἢ ἐναφανιζομένων.

Δῆλον δὲ τοῦτο ἐν τοῖς Θουκυδίδου· σχεδὸν γὰρ ὅλως τὸ μεγαλοπρεπὲς ἐν πᾶσιν αὐτῷ ποιεῖ ἡ τοῦ ῥυθμοῦ μακρότης, καὶ κινδυνεύει τῷ ἀνδρὶ τούτῳ παντοδαποῦ ὄντος τοῦ μεγαλοπρεποῦς αὕτη ἡ σύνθεσις μόνη ἢ μάλιστα περιποιεῖν τὸ μέγιστον.

Δεῖ μέντοι λογίζεσθαι, ὅτι κἂν μὴ ἀκριβῶς δυνώμεθα τοῖς κώλοις περιτιθέναι τοὺς παίωνας ἔνθεν καὶ ἔνθεν ἀμφοτέρους, παιωνικήν γε πάντως ποιησόμεθα τὴν σύνθεσιν, οἷον ἐκ μακρῶν ἀρχόμενοι καὶ εἰς μακρὰς καταλήγοντες. τοῦτο γὰρ καὶ Ἀριστοτέλης παραγγέλλειν ἔοικεν, ἄλλως δὲ τὸ διττὸν τοῦ παίωνος τετεχνολογηκέναι ἀκριβείας ἕνεκα. διόπερ Θεόφραστος παράδειγμα ἐκτίθεται μεγαλοπρεπείας τὸ τοιοῦτον κῶλον, τῶν μὲν περὶ τὰ μηδενὸς ἄξια φιλοσοφούντων· οὐ γὰρ ἐκ παιώνων ἀκριβῶς, ἀλλὰ παιωνικόν τί ἐστι, παραλαβὼν μέντοι τὸν παίωνα εἰς τοὺς λόγους, ἐπειδὴ μικτός τίς ἐστι καὶ ἀσφαλέστερος, τὸ μεγαλοπρε-

39 40 16 41 21 25 30 35

www.libtool.com.cn

Digitized by Google

πὲς μὲν ἐκ τῆς μακρᾶς λαμβάνων, τὸ λογικὸν δὲ ἐκ τῶν βραχειῶν,

42 οἱ δ' ἄλλοι, ὁ μὲν ἡρῷος σεμνὸς καὶ οὐ λογικός, ἀλλ' ἠχώδης· οὐδὲ εὔρυθμος, ἀλλ' ἄρυθμος. ὥσπερ
5 ὁ τοιόσδε, ἥκειν ἡμῶν εἰς τὴν χώραν· ἡ γὰρ πυκνότης τῶν μακρῶν ὑπερπίπτει τοῦ λογικοῦ μέτρου.

43 ὁ δὲ ἴαμβος εὐτελὴς καὶ τῇ τῶν πολλῶν λέξει ὅμοιος. πολλοὶ γοῦν μέτρα ἰαμβικὰ λαλοῦσιν οὐκ εἰδότες. ὁ δὲ παίων ἀμφοῖν μέσος καὶ μέτριος, καὶ ὁποῖος συγκεκρα-
10 μένος. ἡ μὲν δὴ παιωνικὴ ἐν τοῖς μεγαλοπρεπέσι σύνθεσις ὧδ' ἄν πως λαμβάνοιτο.

44 Ποιεῖ δὲ καὶ τὰ μήκη τῶν κώλων μέγεθος, οἷον Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων,
15 καὶ Ἡροδότου Ἁλικαρνασσῆος ἱστορίης ἀπόδεξις ἥδε. τὸ γὰρ ταχέως ἀποσιωπᾶν εἰς κῶλον βραχὺ κατασμικρύνει τὴν τοῦ λόγου σεμνότητα, κἂν ἡ ὑποκειμένη διάνοια μεγαλοπρεπὴς ᾖ, κἂν τὰ ὀνόματα.
26
45 Μεγαλοπρεπὲς δὲ καὶ τὸ ἐκ περιαγωγῆς τῇ συνθέσει
20 λέγειν, οἷον ὡς Θουκυδίδης· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγριανῶν καὶ Ἀμφιλόχων, ἄνωθεν παρὰ Στράτον πόλιν ἐς θάλασσαν διεξιεὶς παρ' Οἰνιάδας, καὶ τὴν πόλιν αὐτοῖς περιλιμνά-
25 ξων ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύεσθαι. σύμπασα γὰρ ἡ τοιαύτη μεγαλοπρέπεια ἐκ τῆς περιαγωγῆς γέγονεν, καὶ ἐκ τοῦ μόγις ἀναπαῦσαι αὐτόν τε καὶ τὸν ἀκούοντα.

46 Εἰ δ' οὕτω διαλύσας αὐτὸ εἴποι τις· ὁ γὰρ Ἀχελῷος
30 ποταμὸς ῥεῖ μὲν ἐκ Πίνδου ὄρους, ἐκβάλλει δὲ παρ' Οἰνιάδας ἐς θάλασσαν· πρὸ δὲ τῆς ἐκβολῆς τὸ Οἰνιαδῶν πεδίον λίμνην ποιεῖ, ὥστ' αὐτοῖς πρὸς τὰς χειμερι-

www.libtool.com.cn
Digitized by Google

νὰς ἐφόδους τῶν πολεμίων ἔρυμα καὶ πρόβλημα γίνεσθαι τὸ ὕδωρ· εἰ δή τις οὕτω μεταβαλὼν ἑρμηνεύσειεν αὐτό, πολλὰς μὲν ἀναπαύλας παρέξει τῷ λόγῳ, τὸ μέγεθος δ' ἀφαιρήσεται.

Καθάπερ γὰρ τὰς μακρὰς ὁδοὺς αἱ συνεχεῖς κατα- 47
γωγαὶ μικρὰς ποιοῦσιν, αἱ δὲ ἐρημίαι κἂν ταῖς μικραῖς 6
ὁδοῖς ἔμφασίν τινα ἔχουσι μήκους, ταὐτὸ δὴ κἀπὶ τῶν κώλων ἂν γίγνοιτο.

27
Ποιεῖ δὲ καὶ δυσφωνία συνθέσεως ἐν πολλοῖς μέγε- 48
θος, οἷον τὸ 10

Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ.

ἄλλως μὲν γὰρ ἴσως δυσήκους ἡ τῶν γραμμάτων σύμπληξις, ὑπερβολὴ δ' ἐμφαίνουσα τὸ μέγεθος τοῦ ἥρωος· λειότης γὰρ καὶ τὸ εὐήκοον οὐ πάνυ ἐν μεγαλοπρεπείᾳ χώραν ἔχουσιν, εἰ μή που ἐν ὀλίγοις. καὶ ὁ Θουκυδί- 15
δης δὲ πανταχοῦ σχεδὸν φεύγει τὸ λεῖον καὶ ὁμαλὲς τῆς συνθέσεως, καὶ ἀεὶ μᾶλλόν τι προσκρούοντι ἔοικεν, ὥσπερ οἱ τὰς τραχείας ὁδοὺς πορευόμενοι, ἐπὰν λέγῃ, ὅτι τὸ μὲν δὴ ἔτος, ὡς ὡμολόγητο, ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν. ῥᾷον 20
μὲν γὰρ καὶ ἥδιον ὧδ' ἄν τις εἶπεν, ὅτι ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ὂν ἐτύγχανεν, ἀφῄρητο δ' αὐτοῦ τὴν μεγαλοπρέπειαν.

Ὥσπερ γὰρ ὄνομα τραχὺ μέγεθος ἐργάζεται, οὕτω 49
σύνθεσις. ὀνόματα δὲ τραχέα τό τε κεκραγὼς ἀντὶ 25
τοῦ βοῶν, καὶ τὸ ῥηγνύμενον ἀντὶ τοῦ φερόμενον, οἷς πᾶσιν ὁ Θουκυδίδης χρῆται, ὅμοια λαμβάνων τά τε ὀνόματα τῇ συνθέσει, τοῖς τε ὀνόμασι τὴν σύνθεσιν.

ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΛΟΓΟΥ.

Τάσσειν δὲ τὰ ὀνόματα χρὴ τόνδε τὸν τρόπον. 50
πρῶτα μὲν τιθέναι τὰ μὴ μάλα ἐναργῆ, δεύτερα δὲ καὶ 31

Digitized by Google

28 ὕστατα τὰ ἐναργέστερα. οὕτω γὰρ καὶ τοῦ πρώτου ἀκουσόμεθα ὡς ἐναργοῦς, καὶ τοῦ μετ' αὐτὸ ὡς ἐναργεστέρου. εἰ δὲ μή, δόξομεν ἐξησθενηκέναι, καὶ οἷον καταπεπτωκέναι ἀπὸ ἰσχυροτέρου ἐπὶ ἀσθενές.

51 Παράδειγμα δὲ τὸ παρὰ τῷ Πλάτωνι λεγόμενον, ὅτι
6 ἐπὰν μέν τις μουσικῇ παρέχῃ καταυλεῖν καὶ καταχεῖν διὰ τῶν ὤτων· πολὺ γὰρ τὸ δεύτερον ἐναργέστερον τοῦ προτέρου. καὶ πάλιν προϊὼν φησιν, ὅταν δὲ καταχέων μὴ ἀνῇ, ἀλλὰ κηλῇ, τὸ δὴ
10 μετὰ τοῦτο ἤδη τήκει καὶ λείβει. τὸ γὰρ λείβει τοῦ τήκει ἐμφατικώτερον καὶ ἐγγυτέρω ποιήματος. εἰ δὲ προεξήνεγκεν αὐτό, ἀσθενέστερον ἂν τὸ τήκει ἐπιφερόμενον ἐφάνη.

52 Καὶ Ὅμηρος δὲ ἐπὶ τοῦ Κύκλωπος ἀεὶ ἐπαύξει τὴν
15 ὑπερβολήν, καὶ ἐπανιόντι ἐπ' αὐτῆς ἔοικεν, οἷον

οὐ γὰρ ἐώκει
ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι,

καὶ προσέτι ὑψηλοῦ ὄρους καὶ ὑπερφαινομένου τῶν ἄλλων ὀρῶν. ἀεὶ γὰρ καίτοι μεγάλα ὄντα τὰ πρότερον
29 ἥττονα φαίνεται, μειζόνων αὐτοῖς τῶν μετὰ ταῦτα ἐπι-
21 φερομένων.

53 Χρὴ δὲ καὶ τοὺς συνδέσμους μὴ πάλα ἀνταποδίδοσθαι ἀκριβῶς, οἷον τῷ μὲν συνδέσμῳ τὸν δέ. μικροπρεπὲς γὰρ ἡ ἀκρίβεια, ἀλλὰ καὶ ἀτακτοτέρως πως χρῆ-
25 σθαι, καθάπερ που ὁ Ἀντιφῶν λέγει· ἡ γὰρ νῆσος ἣν ἔχομεν, δήλη μὲν καὶ πόρρωθέν ἐστιν ὑψηλὴ καὶ τραχεῖα· καὶ τὰ μὲν χρήσιμα καὶ ἐργάσιμα μικρὰ αὐτῆς ἐστι, τὰ δ' ἀργὰ πολλὰ σμικρᾶς αὐτῆς οὔσης. τρισὶ γὰρ τοῖς μὲν
30 συνδέσμοις εἷς ὁ δὲ ἀνταποδίδοται.

54 Πολλάκις μέντοι τεθέντες πως ἐφεξῆς σύνδεσμοι καὶ τὰ μικρὰ μεγάλα ποιοῦσιν, ὡς παρ' Ὁμήρῳ τῶν

www.libnah.com

Digitized by Google

Βοιωτικῶν πόλεων τὰ ὀνόματα εὐτελῆ ὄντα καὶ μικρὰ ὄγκον τινὰ ἔχει καὶ μέγεθος διὰ τοὺς συνδέσμους ἐφεξῆς 30
τοσούτους τεθέντας, οἷον ἐν τῷ

Σχοῖνόν τε Σκῶλόν τε, πολύκνημόν τ' Ἐτεωνόν.

Τοῖς δὲ παραπληρωματικοῖς συνδέσμοις χρηστέον, 55
οὐχ ὡς προσθήκαις κεναῖς καὶ οἷον προσφύμασιν ἢ 6
παραξύσμασιν, ὥσπερ τινὲς τῷ δὴ χρῶνται πρὸς οὐδὲν καὶ τῷ νυ καὶ τῷ πρότερον, ἀλλ' ἐὰν συμβάλλωνταί τι τῷ μεγέθει τοῦ λόγου,

καθάπερ παρὰ Πλάτωνι, ὁ μὲν δὴ μέγας ἐν 56
οὐρανῷ Ζεύς, καὶ παρ' Ὁμήρῳ 11

ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο.

ἀρκτικὸς γὰρ τεθεὶς ὁ σύνδεσμος καὶ ἀποσπάσας τῶν προτέρων τὰ ἐχόμενα, μεγαλεῖόν τι εἰργάσατο. αἱ γὰρ πολλαὶ ἀρχαὶ σεμνότητα ἐργάζονται. εἰ δ' ὧδε εἶπεν, 15
ἀλλ' ὅτε ἐπὶ τὸν πόρον ἀφίκοντο τοῦ ποταμοῦ, μικρολο- 31
γοῦντι ἐῴκει καὶ ἔτι ὡς περὶ ἑνὸς πράγματος λέγοντι.

Λαμβάνεται δὲ καὶ παθητικῶς πολλάκις ὁ σύνδεσμος 57
οὗτος, ὥσπερ ἐπὶ τῆς Καλυψοῦς πρὸς τὸν Ὀδυσσέα,

Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ, 20

οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν.

εἰ γοῦν τὸν σύνδεσμον ἐξέλοις, συνεξαιρήσεις καὶ τὸ πάθος. καθόλου γάρ, ὥσπερ ὁ Πραξιφάνης φησίν, ἀντὶ μυγμῶν παρελαμβάνοντο οἱ τοιοῦτοι σύνδεσμοι καὶ στεναγμῶν, ὥσπερ τὸ αἲ αἲ, καὶ τὸ φεῦ, καὶ ποῖόν τί 25
ἐστιν, ὡς αὐτός φησι, τὸ καί νύ κ' ὀδυρομένοισιν· ἔπρεψεν ἐμφασίν τινα ἔχον οἰκτροῦ ὀνόματος.

Οἱ δὲ πρὸς οὐδὲν ἀναπληροῦντες, φησί, τὸν σύν- 58
δεσμον ἐοίκασι τοῖς ὑποκριταῖς τοῖς τὸ καὶ τὸ πρὸς οὐδὲν ἔπος λέγουσιν, οἷον εἴ τις ὧδε λέγοι, 30

Καλυδὼν μὲν ἥδε γαῖα Πελοπείας χθονός, 32

φεῦ.

www.libtool.com.cn
Digitized by Google

ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα,
αἴ, αἴ.
ὡς γὰρ παρέλκει τὸ αἴ αἴ καὶ τὸ φεῦ ἐνθάδε, οὕτω καὶ ὁ πανταχοῦ μάτην ἐμβαλλόμενος σύνδεσμος.

www.libtool.com.cn

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΛΕΞΕΩΣ.

59 *Οἱ μὲν δὴ σύνδεσμοι τὴν σύνθεσιν μεγαλοπρεπῆ ποιοῦσιν, ὡς εἴρηται, τὰ δὲ σχήματα τῆς λέξεώς ἐστι μὲν καὶ αὐτὰ συνθέσεώς τι εἶδος· τὸ γὰρ δὴ τὰ αὐτὰ λέγειν δὶς διπλοῦντα ἢ ἐπαναφέροντα ἢ ἀνθυπαλλάσσοντα διατταμένῳ καὶ μετασυντιθέντι ἔοικεν. διατακτέον δὲ τὰ πρόσφορα αὐτῶν χαρακτῆρι ἑκάστῳ, οἷον τῷ μεγαλοπρεπεῖ μὲν περὶ οὗ πρόκειται, ταῦτα.*

60 *Πρῶτον μὲν τὴν ἀνθυπαλλαγήν, ὡς Ὅμηρος,*
οἱ δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει·
πολὺ γὰρ οὕτω μεγαλειότερον ἐναλλαγείσης πτώσεως, ἢ εἴπερ οὕτως ἔφη,
τῶν δὲ δύο σκοπέλων ὁ μὲν οὐρανὸν εὐρύν·
συνήθως γὰρ ἐλέγετο. πᾶν δὲ τὸ σύνηθες μικροπρεπές, διὸ καὶ ἀθαύμαστον.

61 *Τὸν δὲ Νιρέα, αὐτόν τε ὄντα μικρὸν καὶ τὰ πράγματα αὐτοῦ μικρότερα, τρεῖς ναῦς καὶ ὀλίγους ἄνδρας, μέγαν καὶ μεγάλα ἐποίησεν καὶ πολλὰ ἀντ' ὀλίγων, τῷ σχήματι διπλῷ καὶ μικτῷ χρησάμενος ἔξ ἐπαναφορᾶς τε καὶ διαλύσεως. Νιρεὺς γάρ φησι τρεῖς νῆας ἄγεν, Νιρεὺς Ἀγλαΐης θ' υἱός, Νιρεύς, ὃς κάλλιστος ἀνήρ· ἥ τε γὰρ ἐπαναφορὰ τῆς λέξεως ἐπὶ τὸ αὐτὸ ὄνομα τὸν Νιρέα, καὶ ἡ διάλυσις πλῆθός τι ἐμφαίνει πραγμάτων, καίτοι δύο ἢ τριῶν ὄντων.*

62 *Καὶ σχεδὸν ἅπαξ τοῦ Νιρέως ὀνομασθέντος ἐν τῷ δράματι μεμνήμεθα οὐδὲν ἧττον ἢ τοῦ Ἀχιλλέως καὶ τοῦ Ὀδυσσέως, καίτοι κατ' ἔπος ἕκαστον καλουμένων σχε-*

Digitized by Google

δόν. αἰτία δ' ἡ τοῦ σχήματος δύναμις· εἰ δ' οὕτως εἶπεν, Νιρεὺς ὁ Ἀγλαΐας υἱὸς ἐκ Σύμης τρεῖς νῆας ἦγεν, παρασεσιωπηκότι ἐῴκει τὸν Νιρέα· ὥσπερ γὰρ ἐν ταῖς ἑστιάσεσι τὰ ὀλίγα διαταχθέντα πως πολλὰ φαίνεται, οὕτω κἀν τοῖς λόγοις.

www.libtool.com.cn

Πολλαχοῦ μέντοι τὸ ἐναντίον τῇ λύσει, ἡ συνάφεια, 63
μεγέθους αἴτιον γίνεται μᾶλλον, οἷον ὅτι ἐστρατεύοντο Ἕλληνές τε καὶ Κᾶρες καὶ Λύκιοι καὶ Πάμφυλοι καὶ Φρύγες. ἡ γὰρ τοῦ αὐτοῦ συνδέσμου θέσις ἐμφαίνει τι ἄπειρον πλῆθος.

Τὸ δὲ τοιοῦτο κυρτά, φαληριόωντα, τῇ ἐξαι- 64
ρέσει τοῦ καὶ συνδέσμου μεγαλειότερον ἀπέβη μᾶλλον, 34
ἢ εἰ εἶπεν, κυρτὰ καὶ φαληριόωντα.

Τὸ μεγαλεῖον μέντοι ἐν τοῖς σχήμασι τὸ μηδὲ ἐπὶ 65
τῆς αὐτῆς μένειν πτώσεως, ὡς Θουκυδίδης, καὶ πρῶ- 15
τος ἀποβαίνων ἐπὶ τὴν ἀποβάθραν ἐλειποψύχησέ τε, καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν· πολὺ γὰρ οὕτω μεγαλειότερον, ἢ εἴπερ ἐπὶ τῆς αὐτῆς πτώσεως οὕτως ἔφη, ὅτι ἔπεσεν εἰς τὴν παρεξειρεσίαν καὶ ἀπέβαλε τὴν ἀσπίδα.

Καὶ ἀναδίπλωσις δέ που εἰργάσατο μέγεθος, ὡς 66
Ἡρόδοτος δράκοντες δέ που, φησίν, ἦσαν ἐν τῷ Καυκάσῳ μέγεθος, καὶ μέγεθος καὶ πλῆθος. δὶς ῥηθὲν τὸ μέγεθος ὄγκον τινὰ τῇ ἑρμηνείᾳ παρέσχεν.

Χρῆσθαι μέντοι τοῖς σχήμασι μὴ πυκνοῖς· ἀπειρό- 67
καλον γὰρ καὶ παρεμφαῖνόν τινα τοῦ λόγου ἀνωμαλίαν. οἱ γοῦν ἀρχαῖοι πολλὰ σχήματα ἐν τοῖς λόγοις τιθέντες συνηθέστεροι τῶν ἀσχηματίστων εἰσί, διὰ τὸ ἐντέχνως τιθέναι.

ΠΕΡΙ ΣΥΓΚΡΟΥΣΕΩΣ.

Περὶ δὲ συγκρούσεως φωνηέντων ὑπέλαβον ἄλλοι 68

Digitized by Google

ἄλλως. Ἰσοκράτης μὲν γὰρ ἐφυλάττετο συμπλήσσειν αὐτά, καὶ οἱ ἀπ' αὐτοῦ, ἄλλοι δέ τινες ὡς ἔτυχε συνέκρουσαν καὶ παντάπασι· δεῖ δὲ οὔτε ἠχώδη ποιεῖν τὴν σύνθεσιν, ἀτεχνῶς αὐτὰ συμπλήσσοντα καὶ ὡς ἔτυχε· διασπασμῷ γὰρ τοῦ λόγου τὸ τοιοῦτον καὶ διαρρίψει ἔοικεν, οὔτε μὴν παντελῶς φυλάσσεσθαι τὴν συνέχειαν τῶν γραμμάτων· λειοτέρα μὲν γὰρ οὕτως ἔσται ἴσως ἡ σύνθεσις, ἀμουσοτέρα δὲ καὶ κωφὴ ἀτεχνῶς, πολλὴν εὐφωνίαν ἀφαιρεθεῖσα τὴν γινομένην ἐκ τῆς συγκρούσεως.

69 Σκεπτέον δὲ πρῶτον μέν, ὅτι καὶ ἡ συνήθεια αὐτὴ συμπλήττει τὰ γράμματα ταῦτα τοῖς ὀνόμασι, καίτοι στοχαζομένη μάλιστα εὐφωνίας, οἷον ἐν τῷ Αἰακὸς καὶ χιών. πολλὰ δὲ καὶ διὰ μόνων τῶν φωνηέντων συντίθησιν ὀνόματα, οἷον Αἰαίη καὶ Εὔιος, οὐδέν τε δυσφωνότερα τῶν ἄλλων ἐστὶ ταῦτα, ἀλλ' ἴσως καὶ μουσικώτερα.

70 Τά γε μὴν ποιητικά, οἷον τὸ ἠέλιος, διῃρημένον καὶ συγκρουόμενον ἐπίτηδες, εὐφωνότερόν ἐστι τοῦ ἥλιος καὶ τὸ ὀρέων τοῦ ὀρῶν. ἔχει γάρ τινα ἡ λύσις καὶ ἡ σύγκρουσις οἷον ᾠδὴν ἐπιγινομένην. πολλὰ δὲ καὶ ἄλλα ἐν συναλοιφῇ μὲν λεγόμενα δύσφωνα ἦν, διαιρεθέντα δὲ καὶ συγκρουσθέντα εὐφωνότερα, ὡς τὸ *πάντα μὲν τὰ νέα καὶ καλά ἐστιν*. εἰ δὲ συναλείψας εἴποις καλά 'στιν, δυσφωνότερον ἔσται τὸ λεγόμενον καὶ εὐτελέστερον.

71 Ἐν Αἰγύπτῳ δὲ καὶ τοὺς θεοὺς ὑμνοῦσι διὰ τῶν [36] ἑπτὰ φωνηέντων οἱ ἱερεῖς, ἐφεξῆς ἠχοῦντες αὐτά, καὶ ἀντὶ αὐλοῦ καὶ ἀντὶ κιθάρας τῶν γραμμάτων τούτων ὁ ἦχος ἀκούεται ὑπ' εὐφωνίας, ὥστε ὁ ἐξαιρῶν τὴν σύγκρουσιν οὐδὲν ἄλλο ἢ μέλος ἀτεχνῶς ἐξαιρεῖ τοῦ λόγου καὶ μοῦσαν. ἀλλὰ περὶ τούτων μὲν οὐ καιρὸς μηκύνειν ἴσως.

www.libpol.com.cn

Digitized by Google

Ἐν δὲ τῷ μεγαλοπρεπεῖ χαρακτῆρι σύγκρουσις παραλαμβάνοιτ' ἂν πρέπουσα ἤτοι διὰ μακρῶν, ὡς τὸ λᾶαν ἄνω ὤθεσκε· καὶ γὰρ ὁ στίχος μῆκός τι ἔσχεν ἐκ τῆς συγκρούσεως, καὶ μεμίμηται τοῦ λίθου τὴν ἀναφορὰν καὶ βίαν. ὡσαύτως καὶ τὸ μὴ ἤπειρος εἶναι τὸ Θουκυδίδειον. συγκρούονται καὶ δίφθογγοι διφθόγγοις, ταύτην κατῴκησαν μὲν Κερκυραῖοι· οἰκιστὴς δὲ ἐγένετο. 72

Ποιεῖ μὲν οὖν καὶ τὰ αὐτὰ μακρὰ συγκρουόμενα μέγεθος, καὶ αἱ αὐταὶ δίφθογγοι. αἱ δ' ἐκ διαφερόντων συγκρούσεις ὁμοῦ καὶ μέγεθος ποιοῦσι καὶ ποικιλίαν ἐκ τῆς πολυηχίας, οἷον ἠώς, ἐν δὲ τῷ οἶην οὐ μόνον διαφέροντα τὰ γράμματά ἐστιν, ἀλλὰ καὶ οἱ ἦχοι ὁ μὲν δασύς, ὁ δὲ ψιλός, ὥστε πολλὰ ἀνόμοια εἶναι. 73

Καὶ ἐν ᾠδαῖς δὲ τὰ μελίσματα ἐπὶ ἑνὸς γίνεται τοῦ αὐτοῦ μακροῦ γράμματος, οἷον ᾠδῶν ἐπεμβαλλομένων ᾠδαῖς, ὥστε ἡ τῶν ὁμοίων σύγκρουσις μικρὸν ἔσται τι ᾠδῆς μέρος καὶ μέλισμα. περὶ μὲν δὴ συγκρούσεως, καὶ ὡς γίνοιτ' ἂν μεγαλοπρεπὴς σύνθεσις, λελέχθω τοσαῦτα. 74

Ἔστι δὲ καὶ ἐν πράγμασι τὸ μεγαλοπρεπές, ἂν μεγάλη καὶ διαπρεπὴς πεζομαχία ἢ ναυμαχία, ἢ περὶ οὐρανοῦ ἢ περὶ γῆς λόγος· ὁ γὰρ τοῦ μεγάλου ἀκούων πράγματος εὐθὺς καὶ τὸν λέγοντα οἴεται μεγάλως ἔγειν πλανώμενος· δεῖ γὰρ οὐ τὰ λεγόμενα σκοπεῖν, ἀλλὰ πῶς λέγεται· ἔστι γὰρ καὶ μεγάλα μικρῶς λέγοντα ἀπρεπὲς πριεῖν τῷ πράγματι. διὸ καὶ δεινούς τινάς φασιν, ὥσπερ καὶ Θεόπομπον, δεινὰ οὐ δεινῶς λέγοντα. 75

Νικίας δ' ὁ ζωγράφος καὶ τοῦτο εὐθὺς ἔλεγεν εἶναι τῆς γραφικῆς τέχνης οὐ μικρὸν μέρος τὸ λαβόντα ὕλην εὐμεγέθη γράφειν, καὶ μὴ κατακερματίζειν τὴν τέχνην εἰς μικρά, οἷον ὀρνίθια ἢ ἄνθη, ἀλλ' ἱππομαχίας καὶ 76

Digitized by Google

ναυμαχίας, ἔνθα πολλὰ μὲν σχήματα δείξειεν ἄν τις ἵππων τῶν μὲν θεόντων, τῶν δὲ ἀνθισταμένων ὀρθῶν, ἄλλων δὲ ὀκλαζόντων, πολλοὺς δ' ἀκοντίζοντας, πολλοὺς δὲ καταπίπτοντας τῶν ἱππέων· ᾤετο γὰρ καὶ τὴν ὑπόθεσιν αὐτὴν μέρος εἶναι τῆς ζωγραφικῆς τέχνης, ὥσπερ τοὺς μύθους τῶν ποιητῶν. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ ἐν τοῖς λόγοις [καὶ] ἐκ πραγμάτων [μεγάλη] μεγαλοπρέπεια γίνεται.

77 Τὴν δὲ λέξιν ἐν τῷ χαρακτῆρι τούτῳ περιττὴν εἶναι δεῖ καὶ ἐξηλλαγμένην καὶ ἀσυνήθη μᾶλλον· οὕτω γὰρ ἕξει τὸν ὄγκον, ἡ δὲ κυρία καὶ συνήθης σαφὴς μέν, λειτὴ δὲ καὶ εὐκαταφρόνητος.

ΠΕΡΙ ΜΕΤΑΦΟΡΑΣ ΚΑΙ ΠΑΡΑΒΟΛΗΣ.

78
39 Πρῶτα μὲν οὖν μεταφοραῖς χρηστέον· αὗται γὰρ μάλιστα καὶ ἡδονὴν συμβάλλονται τοῖς λόγοις καὶ μέγεθος, μὴ μέντοι πυκναῖς, ἐπεί τοι διθύραμβον ἀντὶ λόγου γράψομεν· μήτε μὴν πόρρωθεν μετενηνεγμέναις, ἀλλ' αὐτόθεν, καὶ ἐκ τοῦ ὁμοίου, οἷον ἔοικεν ἀλλήλοις στρατηγός, κυβερνήτης, ἡνίοχος· πάντες γὰρ οὗτοι ἄρχοντές εἰσιν. ἀσφαλῶς οὖν ἐρεῖ καὶ ὁ τὸν στρατηγὸν κυβερνήτην λέγων τῆς πόλεως, καὶ ἀνάπαλιν ὁ τὸν κυβερνήτην ἄρχοντα τῆς νηός.

79 Οὐ πᾶσαι μέντοι ἀνταποδίδονται, ὥσπερ αἱ προειρημέναι, ἐπεὶ τὴν ὑπώρειαν μὲν τῆς Ἴδης πόδα ἐξὴν εἰπεῖν τὸν ποιητήν, τὸν δὲ τοῦ ἀνθρώπου πόδα οὐκέτι ὑπώρειαν εἰπεῖν.

80 Ἐπὰν μέντοι κινδυνώδης ἡ μεταφορὰ δοκῇ, μεταλαμβανέσθω εἰς εἰκασίαν· οὕτω γὰρ ἀσφαλεστέρα γίνοιτ' ἄν. εἰκασία δ' ἔστι μεταφορὰ πλεονάζουσα, οἷον εἴ τις τῷ τότε τῷ Πύθωνι τῷ ῥήτορι ῥέοντι καθ' ὑμῶν προσθεὶς εἴποι, ὥσπερ ῥέοντι καθ' ὑμῶν. οὕτω

Digitized by Google

μὲν γὰρ εἰκασία γέγονε καὶ ἀσφαλέστερος ὁ λόγος, ἐκείνως δὲ μεταφορὰ καὶ κινδυνωδέστερος. διὸ καὶ Πλάτων ἐπισφαλές τι δοκεῖ ποιεῖν μεταφοραῖς μᾶλλον χρώμενος ἢ εἰκασίαις, ὁ μέντοι Ξενοφῶν εἰκασίαις μᾶλλον.

www.libtool.com.cn

Ἀρίστη δὲ δοκεῖ μεταφορὰ τῷ Ἀριστοτέλει ἡ κατ' ἐνέργειαν καλουμένη, ὅταν τὰ ἄψυχα ἐνεργοῦντα εἰσάγηται καθάπερ ἔμψυχα, ὡς τὸ ἐπὶ τοῦ βέλους·

ὀξυβελὴς καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων,

καὶ τὸ

κυρτὰ φαληριόωντα.

πάντα γὰρ ταῦτα, τὸ φαληριόωντα καὶ τὸ μενεαίνων, ζωτικαῖς ἐνεργείαις ἔοικεν.

Ἔνια μέντοι σαφέστερον ἐν ταῖς μεταφοραῖς λέγεται καὶ κυριώτερον, ἤπερ ἐν αὐτοῖς τοῖς κυρίοις, ὡς τὸ ἔφριξεν δὲ μάχη. οὐ γὰρ ἄν τις αὐτὸ μεταβαλὼν διὰ κυρίων οὔτ' ἀληθέστερον εἴποι οὔτε σαφέστερον. τὸν γὰρ ἐκ τῶν δοράτων κλόνον καὶ τὸν γινόμενον τούτοις ἠρέμα ἦχον συνεχῶς φρίσσουσαν μάχην προσηγόρευσεν, καὶ ἅμα ἐπείληπταί πως τῆς κατ' ἐνέργειαν μεταφορᾶς τῆς προειρημένης, τὴν μάχην φρίσσειν εἰπὼν ὥσπερ ζῶον.

Δεῖ μέντοι μὴ λανθάνειν, ὅτι ἔνιαι μεταφοραὶ μικροπρέπειαν ποιοῦσι μᾶλλον ἢ μέγεθος, καίτοι τῆς μεταφορᾶς πρὸς ὄγκον λαμβανομένης, ὡς τὸ

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός·

οὐρανὸν γὰρ ὅλον ἠχοῦντα οὐκ ἐχρῆν προσεικάσαι ἠχούσῃ σάλπιγγι, πλὴν εἰ μή τις ἄρα ἀπολογοῖτο ὑπὲρ [τοῦ] Ὁμήρου λέγων, ὡς οὕτως ἤχησε μέγας οὐρανός, ὡς ἂν ἠχήσειε σαλπίζων ὅλος οὐρανός.

Digitized by Google

84 Ἑτέραν οὖν ἐπινοήσωμεν μεταφορὰν μὴ μικρότητος αἰτίαν γινομένην μᾶλλον ἢ μεγέθους· δεῖ γὰρ ἐκ τῶν μειζόνων μεταφέρειν εἰς τὰ μικρά, οὐ τὸ ἐναντίον, οἷον ὡς ὁ Ξενοφῶν φησιν, ἐπεὶ δὲ πορευομένων ἐξεκύμηνέ τι τῆς φάλαγγος. τὴν γὰρ τῆς τάξεως παρεκτροπὴν ἐκκυμαινούσῃ θαλάσσῃ εἴκασε καὶ προσωνόμασεν. εἰ δέ τις μεταβαλὼν εἴποι ἐκφαλαγγίσασαν τὴν θάλασσαν, τάχα μὲν οὐδὲ οἰκείως μετοίσει, πάντη δὲ πάντως μικροπρεπῶς.

85 Ἔνιοι δὲ καὶ ἀσφαλίζονται τὰς μεταφορὰς ἐπιθέτοις ἐπιφερομένοις, ὅταν αὐτοῖς κινδυνώδεις δοκῶσιν, ὡς ὁ Θέογνις παρατίθεται τὸ [τόξον]. φόρμιγγα ἄχορδον ἐπὶ τοῦ τῷ τόξῳ βάλλοντος· ἡ μὲν γὰρ φόρμιγξ κινδυνῶδες ἐπὶ τοῦ τόξου, τῷ δὲ ἀχόρδῳ ἠσφάλισται.

86 Πάντων δὲ καὶ τῶν ἄλλων ἡ συνήθεια καὶ μάλιστα μεταφορῶν διδάσκαλος· μικροῦ γὰρ σχεδὸν πάντα μεταφέρουσα λανθάνει διὰ τὸ ἀσφαλῶς μεταφέρειν, λευκήν τε φωνὴν λέγουσα καὶ ὀξὺν ἄνθρωπον καὶ τραχὺ ἦθος καὶ μακρὸν ῥήτορα καὶ τἆλλα, ὅσα οὕτω μεταφέρεται μουσικῶς, ὥστε ὅμοια δοκεῖν τοῖς κυρίοις.

87 Τοῦτον ἐγὼ κανόνα τίθεμαι τῆς ἐν λόγοις μεταφορᾶς, τὴν τῆς συνηθείας τέχνην εἴτε φύσιν. οὕτω γοῦν ἔνια μετήνεγκεν ἡ συνήθεια καλῶς, ὥστε οὐδὲ κυρίων ἔτι ἐδεήθημεν, ἀλλὰ μεμένηκεν ἡ μεταφορὰ κατέχουσα τὸν τοῦ κυρίου τόπον, ὡς ὁ τῆς ἀμπέλου ὀφθαλμὸς καὶ εἴ τι ἕτερον τοιοῦτον.

88 Σφόνδυλος μέντοι καὶ κλεὶς τὰ ἐπὶ τοῦ σώματος, καὶ κτένες, οὐ κατὰ μεταφορὰν ὠνόμασται, ἀλλὰ καθ' ὁμοιότητα διὰ τὸ ἐοικέναι τὸ μὲν κτενὶ μέρος, τὸ δὲ κλειδί, τὸ δὲ σφονδύλῳ.

89 Ἐπὰν μέντοι εἰκασίαν ποιῶμεν τὴν μεταφοράν, ὡς προλέλεκται, στοχαστέον τοῦ συντόμου, καὶ τοῦ μηδὲν

Digitized by Google

πλέον τοῦ ὥσπερ προτιθέναι, ἐπεί τοι ἀντ' εἰκασίας παραβολὴ ἔσται ποιητική, οἷον τὸ τοῦ Ξενοφῶντος, ὥσπερ δὲ κύων γενναῖος ἀπρονοήτως ἐπὶ κάπρον φέρεται, καὶ ὥσπερ ἵππος λυθεὶς διὰ πεδίου γαυριῶν καὶ ἀπολακτίζων· ταῦτα γὰρ οὐκ εἰκασίαις ἔτι ἔοικεν, ἀλλὰ παραβολαῖς ποιητικαῖς. 44 5

Τὰς δὲ παραβολὰς ταύτας οὔτε ῥᾳδίως ἐν τοῖς πεζοῖς λόγοις τιθέναι δεῖ, οὔτε ἄνευ πλείστης φυλακῆς. καὶ περὶ μεταφορᾶς μὲν ὡς τύπῳ εἴρηται. 90

ΠΕΡΙ ΣΥΝΘΕΤΩΝ ΟΝΟΜΑΤΩΝ. 5

Ληπτέον δὲ καὶ σύνθετα ὀνόματα, οὐ τὰ διθυραμβικῶς συγκείμενα, οἷον θεοτεράτους πλάνας, οὐδὲ ἄστρων δορύπυρον στρατόν, ἀλλ' ἐοικότα τοῖς ὑπὸ τῆς συνηθείας συγκειμένοις· καθόλου γὰρ ταύτην κανόνα ποιοῦμαι πάσης ὀνομασίας, νομοθέτας λέγουσαν καὶ ἀρχιτέκτονας, καὶ τοιάδε πολλὰ ἕτερα ἀσφαλῶς συντιθεῖσαν. 91 12 15

Ἔξει μέντοι τὸ σύνθετον ὄνομα ὁμοῦ καὶ ποικιλίαν τινὰ ἐκ τῆς συνθέσεως καὶ μέγεθος, καὶ ἅμα καὶ συντομίαν τινά. ὄνομα γὰρ τεθήσεται ἀντὶ ὅλου τοῦ λόγου, οἷον ἂν τὴν τοῦ σίτου κομιδὴν σιτοπομπίαν λέγῃς· πολὺ γὰρ οὕτω μεῖζον. τάχα δ' ἂν καὶ λυθέντος ὀνόματος εἰς λόγον ἕτερον τρόπον μεῖζον γένοιτο, οἷον σίτου πομπὴ ἀντὶ σιτοπομπίας. 92 20

Ὄνομα δ' ἀντὶ λόγου τίθεται, οἷον ὡς ὁ Ξενοφῶν φησιν ὅτι οὐκ ἦν λαβεῖν ὄνον ἄγριον, εἰ μὴ οἱ ἱππεῖς διαστάντες θηρῷεν διαδεχόμενοι· ὀνόματι, οἷον ὅτι οἱ μὲν ὄπισθεν ἐδίωκον, οἱ δ' ἀπήντων ὑπελαύνοντες πρόσω, ὥστε τὸν ὄνον ἐν μέσῳ ἀπολαμβάνεσθαι. φυλάττεσθαι μέντοι διπλᾶ τιθέναι τὰ διπλᾶ ὀνόματα· τοῦτο γὰρ ἕξεισι λόγου πεζοῦ τὸ εἶδος. 93 26 46 31

www.libtool.com.cn

Digitized by Google

94 Τὰ δὲ πεποιημένα ὀνόματα ὁρίζονται μὲν τὰ κατὰ μίμησιν ἐκφερόμενα πάθους ἢ πράγματος, οἷον ὡς τὸ
95 σίζε καὶ τὸ λάπτοντες, ποιεῖ δὲ μάλιστα μεγαλοπρέπειαν διὰ τὸ οἷον ψόφοις ἐοικέναι καὶ μάλιστα τῷ ξένῳ·
5 οὐ γὰρ ὄντα ὀνόματα λέγει, ἀλλὰ τότε γινόμενα, καὶ ἅμα σοφόν τι φαίνεται ὀνόματος καινοῦ γένεσις, οἷον συνηθείας· ἔοικε γοῦν ὀνοματουργῶν τοῖς πρώτοις θεμένοις τὰ ὀνόματα.

96 Στοχαστέον πρῶτον μὲν τοῦ σαφοῦς ἐν τῷ ποιου-
10 μένῳ ὀνόματι καὶ συνήθους, ἔπειτα τῆς ὁμοιότητος πρὸς τὰ κείμενα ὀνόματα, ὡς μὴ φρυγίζειν ἢ σκυθίζειν τις δόξει μεταξὺ Ἑλληνικῶν ὀνομάτων.

97 Ποιητέον μέντοι ἤτοι τὰ μὴ ὠνομασμένα, οἷον ὁ τὰ τύμπανα καὶ τὰ ἄλλα τῶν μαλθακῶν ὄργανα κιναιδείας
15 εἰπὼν καὶ Ἀριστοτέλης τὸν ἐλεφαντιστήν· ἢ παρὰ τὰ
47 κείμενα παρονομάζοντα αὐτόν, οἷον ὡς τὸν σκαφίτην τις ἔφη τὸν τὴν σκάφην ἐρέσσοντα, καὶ Ἀριστοτέλης τὸν αὐτίτην οἷον τὸν μόνον αὐτὸν ὄντα.

98 Ξενοφῶν δὲ ἠλέλιξέ φησιν ὁ στρατὸς τὴν τοῦ ἐλελεῦ
20 ἀναβόησιν, ἣν ἀνεβόα ὁ στρατὸς συνεχῶς, παραποιήσας ὀνόματι. ἐπισφαλὲς μέντοι τοὔργον [καί], ὡς ἔφην, καὶ αὐτοῖς τοῖς ποιηταῖς. καὶ τὸ διπλοῦν μέντοι ὄνομα εἶδος ἂν εἴη πεποιημένου ὀνόματος· πᾶν γὰρ τὸ συντιθέμενον ἔκ τινων γέγονεν δηλονότι.

99 Μεγαλεῖον δέ τί ἐστι καὶ ἡ ἀλληγορία, καὶ μάλιστα
26 ἐν ταῖς ἀπειλαῖς, οἷον ὡς ὁ Διονύσιος, ὅτι οἱ τέττιγες αὐτοῖς ᾄσονται χαμόθεν.

100 Εἰ δ' οὕτως ἁπλῶς εἶπεν, ὅτι τεμεῖ τὴν Λοκρίδα χώραν, καὶ ὀργιλώτερος ἂν ἐφάνη καὶ εὐτελέστερος.
30 νῦν δὲ ὥσπερ συγκαλύμματι τοῦ λόγου τῇ ἀλληγορίᾳ κέχρηται· πᾶν γὰρ τὸ ὑπονοούμενον φοβερώτερον, καὶ

Digitized by Google

ἄλλος εἰκάζει ἄλλο τι· ὃ δὲ σαφὲς καὶ φανερόν, καταφρονεῖσθαι εἰκός, ὥσπερ τοὺς ἀποδεδυμένους.

Διὸ καὶ τὰ μυστήρια ἐν ἀλληγορίαις λέγεται πρὸς 101
ἔκπληξιν καὶ φρίκην, ὥσπερ ἐν σκότῳ καὶ νυκτί. ἔοικε
δὲ καὶ ἡ ἀλληγορία τῷ σκότῳ καὶ τῇ νυκτί.

Φυλάττεσθαι μέντοι κἀπὶ ταύτης τὸ συνεχές, ὡς 102
μὴ αἴνιγμα ὁ λόγος ἡμῖν γένηται, οἷον τὸ ἐπὶ τῆς σικύας τῆς ἰατρικῆς·

ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα.

καὶ οἱ Λάκωνες πολλὰ ἐν ἀλληγορίαις ἔλεγον ἐκφοβοῦντες, οἷον τὸ Διονύσιος ἐν Κορίνθῳ πρὸς Φίλιππον, καὶ ἄλλα τοιαῦτα οὐκ ὀλίγα.

Ἡ συντομία δὲ πῇ μὲν μεγαλοπρεπής, καὶ μάλιστα 103
ἡ ἀποσιώπησις· ἔνια γὰρ μὴ ῥηθέντα μείζονα φαίνεται
καὶ ὑπονοηθέντα μᾶλλον, πῇ δὲ μικροπρεπής. καὶ γὰρ
ἐν διλογίαις γίνεται μέγεθος, οἷον ὡς Ξενοφῶν, τὰ δὲ
ἅρματα ἐφέρετο, φησί, τὰ μὲν δι' αὐτῶν τῶν
φιλίων, τὰ δὲ καὶ δι' αὐτῶν τῶν πολεμίων.
πολὺ γὰρ οὕτω μεῖζον, ἢ εἴπερ ὧδ' εἶπε, καὶ διὰ τῶν
φιλίων, καὶ διὰ τῶν πολεμίων αὐτῶν.

Πολλαχοῦ δὲ καὶ τὸ πλάγιον μεῖζον τοῦ εὐθέος, οἷον 104
ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων
ἐλῶντων καὶ διακοψόντων ἀντὶ τοῦ διενοοῦντο
ἐλάσαι καὶ διακόψαι.

Συμβέβληται δὲ καὶ ἡ ὁμοιότης τῶν ὀνομάτων καὶ 105
ἡ δυσφωνία ἡ φαινομένη· καὶ γὰρ τὸ δύσφωνον πολ-
λαχοῦ ὀγκηρόν, ὥσπερ

Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι.

πολὺ γὰρ μᾶλλον τὸν Αἴαντα μέγαν ἐνέφηνεν ἡ τῶν
δύο σύμπληξις τῆς ἑπταβοείου ἀσπίδος.

Τὸ δὲ ἐπιφώνημα καλούμενον ὁρίζοιτο μὲν ἄν τις 106
λέξιν ἐπικοσμοῦσαν, ἔστι δὲ τὸ μεγαλοπρεπέστατον ἐν

www.tibtool.com.cn

50 τοῖς λόγοις. τῆς γὰρ λέξεως ἡ μὲν ὑπηρετεῖ, ἡ δὲ ἐπικοσμεῖ. ὑπηρετεῖ μὲν ἡ τοιάδε,

οἵαν τὰν ὑάκινθον ἐν οὔρεσι ποιμένες ἄνδρες
ποσσὶ καταστείβουσι,

5 ἐπικοσμεῖ δὲ τὸ ἐπιφερόμενον τὸ

χαμαὶ δέ τε πορφύρου ἄνθος·

www.libook.com.cn

ἐπενήνεκται γὰρ τοῦτο τοῖς προενηνεγμένοις κόσμος σαφῶς καὶ κάλλος.

107 Μεστὴ δὲ τούτων καὶ ἡ Ὁμήρου ποίησις, οἷον

10 ἐκ κάπνου κατέθηκ', ἐπεὶ οὐκ ἔτι τοῖσιν ἐώκει,
οἷς τὸ πάρος Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐπὶ φρεσὶν ἔμβαλε δαίμων,
μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε.

15 εἶτα ἐπιφωνεῖ,

αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.

108 Καὶ καθόλου τὸ ἐπιφώνημα τοῖς τῶν πλουσίων ἔοικεν ἐπιδείγμασι, γείσοις λέγω καὶ τριγλύφοις καὶ πορφύραις πλατείαις· οἷον γάρ τι καὶ αὐτὸ τοῦ ἐν λόγοις

20 πλούτου σημεῖόν ἐστιν.

51
109 Δόξειε δ' ἂν καὶ τὸ ἐνθύμημα ἐπιφωνήματος εἶδός τι εἶναι, οὐκ ὂν μέν· οὐ γὰρ κόσμου ἕνεκεν, ἀλλὰ ἀποδείξεως παραλαμβάνεται, πλὴν ἐπιλεγόμενόν γε ἐπιφωνηματικῶς.

110 Ὡσαύτως δὲ καὶ ἡ γνώμη ἐπιφωνουμένῳ τινὶ ἔοικεν

26 ἐπὶ προειρημένοις, ἀλλ' οὐδ' αὕτη ἐπιφώνημά ἐστι· καὶ γὰρ προλέγεται πολλάκις, λαμβάνει μέντοι χώραν ποτὲ ἐπιφωνήματος.

111 Τὸ δέ,

30 νήπιος οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξειν,
οὐδ' αὐτὸ ἐπιφώνημα ἂν εἴη· οὐ γὰρ ἐπιλέγεται οὐδὲ

Digitized by Google

ἐπικοσμεῖ, οὐδ' ὅλως ἐπιφωνήματι ἔοικεν, ἀλλὰ προσφωνήματι ἢ ἐπικερτομήματι.

Τὸ δὲ ποιητικὸν ἐν λόγοις ὅτι μὲν μεγαλοπρεπές, 112
καὶ τυφλῷ δῆλόν φασι, πλὴν οἱ μὲν γυμνῇ πάνυ χρῶνται τῇ μιμήσει τῶν ποιητῶν, μᾶλλον δὲ οὐ μιμήσει, ἀλλὰ 5
μεταθέσει, καθάπερ Ἡρόδοτος.

Θουκυδίδης μέντοι κἂν λάβῃ παρὰ ποιητοῦ τι, ἰδίως 113
αὐτῷ χρώμενος ἴδιον τὸ ληφθὲν ποιεῖ, οἷον ὁ μὲν ποιητὴς ἐπὶ τῆς Κρήτης ἔφη,

Κρήτη τις γαῖ' ἐστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ, 52
καλὴ καὶ πίειρα, περίρρυτος. 11

ὁ μὲν δὴ ἐπὶ τοῦ μεγέθους ἐχρήσατο τῷ περίρρυτος, ὁ δὲ Θουκυδίδης ὁμονοεῖν τοὺς Σικελιώτας καλὸν οἴεται εἶναι, γῆς ὄντας μιᾶς καὶ περιρρύτου, καὶ ταὐτὰ πάντα εἰπών, γῆν τε ἀντὶ νήσου καὶ περίρρυτον ὡσαύτως, 15
ὅμως ἕτερον λέγειν δοκεῖ. διότι οὐχ ὡς πρὸς μέγεθος, ἀλλὰ πρὸς ὁμόνοιαν αὐτοῖς ἐχρήσατο. περὶ μὲν δὴ μεγαλοπρεπείας τοσαῦτα.

ΠΕΡΙ ΨΥΧΡΟΥ ΤΟΥ ΑΝΤΙΚΕΙΜΕΝΟΥ ΤΩι ΜΕΓΑΛΟΠΡΕΠΕΙ. 20

Ὥσπερ δὲ παράκειται φαῦλά τινα ἀστείοις τισίν, 114
οἷον θάρρει μὲν τὸ θράσος, ἡ δ' αἰσχύνη τῇ αἰδοῖ, τὸν αὐτὸν τρόπον καὶ τῆς ἑρμηνείας τοῖς χαρακτῆρσι παράκεινται διημαρτημένοι τινές. πρῶτα δὲ περὶ τοῦ γειτνιῶντος τῷ μεγαλοπρεπεῖ λέξομεν. ὄνομα μὲν οὖν αὐτῷ 25
ψυχρόν, ὁρίζεται δὲ τὸ ψυχρὸν Θεόφραστος οὕτω, ψυχρόν ἐστι τὸ ὑπερβάλλον τὴν οἰκείαν ἀπαγγελίαν, οἷον

ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ,

ἀντὶ τοῦ ἀπύθμενος ἐπὶ τραπέζης κύλιξ οὐ τίθεται. τὸ 53
γὰρ πρᾶγμα σμικρὸν ὂν οὐ δέχεται ὄγκον τοσοῦτον λέ- 30
ξεως.

Digitized by Google

115 Γίνεται μέντοι καὶ τὸ ψυχρὸν ἐν τρισίν, ὥσπερ καὶ τὸ μεγαλοπρεπές. ἢ γὰρ ἐν διανοίᾳ, καθάπερ ἐπὶ τοῦ Κύκλωπος λιθοβολοῦντος τὴν ναῦν τοῦ Ὀδυσσέως ἔφη τις, φερομένου τοῦ λίθου αἶγες ἐνέμοντο ἐν αὐτῷ. ἐκ γὰρ τοῦ ὑπερβεβλημένου τῆς διανοίας καὶ ἀδυνάτου ἡ ψυχρότης.

116 Ἐν δὲ λέξει ὁ Ἀριστοτέλης φησὶ γίνεσθαι τετραχῶς, ** ὡς Ἀλκιδάμας ὑγρὸν ἱδρῶτα. ἢ ἐν συνθέτῳ, ὅταν διθυραμβώδης συντεθῇ ἡ δίπλωσις τοῦ ὀνόματος, ὡς τὸ ἐρημόπλανος ἔφη τις, καὶ εἴ τι ἄλλο οὕτως 54 ὑπέρογκον. γίνεται δὲ καὶ ἐν μεταφορᾷ τὸ ψυχρόν, τρέμοντα καὶ ὠχρὰ τὰ πράγματα. τετραχῶς μὲν οὖν κατὰ τὴν λέξιν οὕτως ἂν γίγνοιτο.

117 Σύνθεσις δὲ ψυχρὰ ἡ μὴ εὔρυθμος, ἀλλ' ἄρυθμος οὖσα καὶ διὰ πάντων μακρὰν ἔχουσα, ὥσπερ ἡ τοιάδε, ἦκων ἡμῶν ἐς τὴν χώραν, πάσης ἡμῶν ὀρθῆς οὔσης. οὐδὲν γὰρ ἔχει λογικὸν οὐδὲ ἀσφαλὲς διὰ τὴν συνέχειαν τῶν μακρῶν συλλαβῶν.

118 Ψυχρὸν δὲ καὶ τὸ μέτρα τιθέναι συνεχῆ, καθάπερ τινές, καὶ μὴ κλεπτόμενα ὑπὸ τῆς συνεχείας· ποίημα γὰρ ἄκαιρον ψυχρόν, ὥσπερ καὶ τὸ ὑπέρμετρον.

119 Καὶ καθόλου ὁποῖόν τί ἐστιν ἡ ἀλαζονεία, τοιοῦτον καὶ ἡ ψυχρότης· ὅ τε γὰρ ἀλαζὼν τὰ μὴ προσόντα αὐτῷ αὐχεῖ ὅμως ὡς προσόντα, ὅ τε μικροῖς πράγμασι περι-βάλλων ὄγκον, καὶ αὐτὸς ἐν μικροῖς ἀλαζονευομένῳ ἔοικε. καὶ ὁποῖόν τι τὸ ἐν τῇ παροιμίᾳ κοσμούμενον ὕπερον, τοιοῦτόν τί ἐστι καὶ τὸ ἐν τῇ ἑρμηνείᾳ ἐξηρμένον ἐν μικροῖς πράγμασι.

120 Καίτοι τινές φασι δεῖν τὰ μικρὰ μεγάλως λέγειν, καὶ σημεῖον τοῦτο ἡγοῦνται ὑπερβαλλούσης δυνάμεως. ἐγὼ δὲ Πολυκράτει μὲν τῷ ῥήτορι συγχωρῶ ἐγκωμιά-55 ζοντι ** ὡς Ἀγαμέμνονα ἐν ἀντιθέτοις καὶ μεταφοραῖς

www.libtool.com.cn

καὶ πᾶσι τοῖς ἐγκωμιαστικοῖς τρόποις· ἔπαιζε γάρ, οὐκ ἐσπούδαζε, καὶ αὐτὸς τῆς γραφῆς ὁ ὄγκος παίγνιόν ἐστι. παίζειν μὲν δὴ ἐξέστω, ὥς φημι, τὸ δὲ πρέπον ἐν παντὶ πράγματι φυλακτέον, τουτέστι, προσφόρως ἑρμηνευτέον, τὰ μὲν μικρὰ μικρῶς, τὰ μεγάλα δὲ μεγάλως.

Καθάπερ Ξενοφῶν ἐπὶ τοῦ Τηλεβόα ποταμοῦ μικροῦ 121
ὄντος καὶ καλοῦ φησιν, οὗτος δὲ ποταμὸς ἦν μέγας μὲν οὔ, καλὸς δέ· τῇ γὰρ βραχύτητι τῆς συνθέσεως καὶ τῇ ἀπολήξει τῇ εἰς τὸ δὲ μόνον οὐκ ἐπέδειξεν ἡμῖν μικρὸν ποταμόν. ἕτερος δέ τις ἑρμηνεύων ὅμοιον τῷ Τηλεβόᾳ ποταμῷ ἔφη, ὡς ἀπὸ τῶν Λαυρικῶν ὀρέων ὁρμώμενος ἐκδιδοῖ ἐς θάλασσαν, καθάπερ τὸν Νεῖλον ἑρμηνεύων κατακρημνιζόμενον ἢ τὸν Ἴστρον ἐκβάλλοντα. πάντα οὖν τὰ τοιαῦτα ψυχρότης καλεῖται.

Γίνεται μέντοι τὰ μικρὰ μεγάλα ἕτερον τρόπον, οὐ 122
διὰ τοῦ ἀπρεποῦς, ἀλλ' ἐνίοτε ὑπ' ἀνάγκης, οἷον ὅταν 56
μικρὰ κατορθώσαντά τινα στρατηγὸν ἐξαίρειν βουλώ- 17
μεθα ὡς μεγάλα κατωρθωκότα, οἷον ὅτι ἔφορος ἐν Λακεδαίμονι τὸν περιέργως καὶ οὐκ ἐπιχωρίως σφαιρίσαντα ἐμαστίγωσεν· τούτῳ γὰρ αὐτόθεν μικρῷ ἀκουσθῆναι ὄντι ἐπιτραγῳδοῦμεν, ὡς οἱ τὰ μικρὰ πονηρὰ ἔθη ἐῶντες ὁδὸν τοῖς μείζοσι πονηροῖς ἀνοιγνύουσιν, καὶ ὅτι ἐπὶ τοῖς μικροῖς παρανομήμασι χρὴ κολάζειν μᾶλλον, οὐκ ἐπὶ τοῖς μεγάλοις. καὶ τὴν παροιμίαν ἐποίσομεν, ἀρχὴ δέ τοι ἥμισυ παντός, ὡς ἐοικυῖαν τούτῳ τῷ σμικρῷ κακῷ, ἢ καὶ ὅτι οὐδὲν κακὸν μικρόν ἐστιν.

Οὕτω μὲν δὴ ἐξέστω καὶ τὸ μικρὸν κατόρθωμα 123
ἐξαίρειν μέγα, οὐ μὴν ὥστε ἀπρεπές τι ποιεῖν, ἀλλ' ὥσπερ καὶ τὸ μέγα κατασμικρύνεται χρησίμως πολλάκις, οὕτως ἂν καὶ τὸ μικρὸν ἐξαίροιτο.

Μάλιστα δὲ ἡ ὑπερβολὴ ψυχρότατον πάντων. τριττὴ 124
δέ ἐστιν, ἢ γὰρ καθ' ὁμοιότητα ἐκφέρεται, ὡς τὸ θεῖον

Digitized by Google

δ' ἀνέμοισιν ὁμοῖοι, ἢ καθ' ὑπεροχήν, ὡς τὸ λευκότεροι χιόνος, ἢ κατὰ τὸ ἀδύνατον, ὡς τὸ οὐρανῷ ἐστήριξε κάρη.

125 Πᾶσα μὲν οὖν ὑπερβολὴ ἀδύνατός ἐστιν. οὔτε γὰρ
5 ἂν χιόνος λευκότερον γένοιτο, οὔτ' ἂν ἀνέμῳ θέειν
57 ὅμοιον. αὕτη μέντοι ἡ ὑπερβολή, ἡ εἰρημένη, ἐξαιρέτως ὀνομάζεται ἀδύνατος. διὸ δὴ καὶ μάλιστα ψυχρὰ δοκεῖ πᾶσα ὑπερβολή, διότι ἀδυνάτῳ ἔοικε.

126 Διὰ τοῦτο δὲ μάλιστα καὶ οἱ κωμῳδοποιοὶ χρῶνται
10 αὐτῇ, ὅτι ἐκ τοῦ ἀδυνάτου ἐφέλκονται τὸ γελοῖον, ὥσπερ ἐπὶ τῶν Περσῶν τῆς ἁπλησίας ὑπερβαλλόμενός τις ἔφη, ὅτι πεδία ἐξέχεζον ὅλα, καὶ ὅτι βοῦς ἐν ταῖς γνάθοις ἔφερον.

127 Τοῦ δὲ αὐτοῦ εἴδους ἐστὶ καὶ τὸ φαλακρώτερος
15 εὐδίας, καὶ τὸ κολοκύντης ὑγιέστερος. τὸ δὲ χρυσῷ χρυσοτέρα τὸ Σαπφικὸν ἐν ὑπερβολῇ λέγεται
58 καὶ αὐτὸ καὶ ἀδυνάτως, πλὴν αὐτῷ γε τῷ ἀδυνάτῳ χάριν ἔχει, οὐ ψυχρότητα. ὃ δὴ καὶ μάλιστα θαυμάσειεν ἄν τις Σαπφοῦς τῆς θείας, ὅτι φύσει κινδυνώδει πράγ-
20 ματι καὶ δυσκατορθώτῳ ἐχρήσατο ἐπιχαρίτως. καὶ περὶ μὲν ψυχρότητος καὶ ὑπερβολῆς τοσαῦτα. νῦν δὲ περὶ τοῦ γλαφυροῦ χαρακτῆρος λέξομεν.

ΠΕΡΙ ΓΛΑΦΥΡΟΥ.

128 Ὁ γλαφυρὸς λόγος χαριεντισμὸς καὶ ἱλαρὸς λόγος
25 ἐστί. τῶν δὲ χαρίτων αἱ μέν εἰσι μείζονες καὶ σεμνότεραι, αἱ τῶν ποιητῶν, αἱ δὲ εὐτελεῖς μᾶλλον καὶ κωμικώτεραι, σκώμμασιν ἐοικυῖαι, οἷον αἱ Ἀριστοτέλους χάριτες καὶ Σώφρονος καὶ Λυσίου· τὸ γὰρ ἧς ῥᾷον ἄν τις ἀριθμήσειε τοὺς ὀδόντας ἢ τοὺς δακτύ-
30 λους, τὸ ἐπὶ τῆς πρεσβύτιδος, καὶ τὸ ὅσας ἄξιος ἦν λαβεῖν πληγάς, τοσαύτας εἴληφε δραχμάς, οἱ

Digitized by Google

τοιοῦτοι ἀστεῖσμοὶ οὐδὲν διαφέρουσι σκωμμάτων, οὐδὲ πόρρω γελωτοποιΐας εἰσί.

Τὸ δὲ 129
59
τῇ δέ θ' ἅμα Νύμφαι
παίζουσι· γέγηθε δέ τε φρένα Λητώ· 5

καὶ

ῥεῖα δ' ἀριγνώτη πέλεται· καλαὶ δέ τε πᾶσαι·

[καὶ] αὗταί εἰσιν αἱ λεγόμεναι σεμναὶ χάριτες καὶ μεγάλαι.

Χρῆται δὲ αὐταῖς Ὅμηρος καὶ πρὸς δείνωσιν ἐνίοτε 130
καὶ ἔμφασιν, καὶ παίζων φοβερώτερός ἐστι, πρῶτός τε 11
εὑρηκέναι δοκεῖ φοβερὰς χάριτας, ὥσπερ τὸ ἐπὶ τοῦ ἀχαριστοτάτου προσώπου, τὸ ἐπὶ τοῦ Κύκλωπος, τὸ [οὖν] Οὔτιν ἐγὼ πύματον ἕδομαι, τοὺς δὲ λοιποὺς πρώτους, τὸ τοῦ Κύκλωπος ξένιον· οὐ γὰρ οὕτως αὐ- 15
τὸν ἐνέφηνεν δεινὸν ἐκ τῶν ἄλλων, ὅταν δύο δειπνῇ ἑταίρους, οὐδ' ἀπὸ τοῦ θυρεοῦ ἢ ἐκ τοῦ ῥοπάλου, ὡς ἐκ τούτου τοῦ ἀστεϊσμοῦ.

Χρῆται δὲ τῷ τοιούτῳ εἴδει καὶ Ξενοφῶν, καὶ αὐ- 131
τος δεινότητας εἰσάγει ἐκ χαρίτων, οἷον ἐπὶ τῆς ἐνόπλου 60
ὀρχηστρίδος, ἐρωτηθεὶς ὑπὸ τοῦ Παφλαγόνος, 21
εἰ καὶ αἱ γυναῖκες αὐτοῖς συνεπολέμουν, ἔφη· αὗται γὰρ καὶ ἔτρεψαν τὸν βασιλέα. διττὴ γὰρ ἐμφαίνεται ἡ δεινότης ἐκ τῆς χάριτος, ἡ μὲν ὅτι οὐ γυναῖκες αὐτοῖς εἵποντο, ἀλλ' Ἀμαζόνες, ἡ δὲ κατὰ βασι- 25
λέως, εἰ οὕτως ἦν ἀσθενής, ὡς ὑπὸ γυναικῶν φυγεῖν.

ΠΕΡΙ ΧΑΡΙΤΟΣ ΛΟΓΟΥ.

Τὰ μὲν οὖν εἴδη τῶν χαρίτων τοσάδε καὶ τοιάδε. 132
εἰσὶ δὲ αἱ μὲν ἐν τοῖς πράγμασι χάριτες, οἷον νυμφαῖοι κῆποι, ὑμέναιοι, ἔρωτες, ὅλη ἡ Σαπφοῦς ποίησις. τὰ 30
γὰρ τοιαῦτα, κἂν ὑπὸ Ἱππώνακτος λέγηται, χαριεντά

ἐστι, καὶ αὐτὸ ἱλαρὸν τὸ πρᾶγμα ἐξ ἑαυτοῦ· οὐδεὶς γὰρ ἂν ὑμέναιον ᾄδοι ὀργιζόμενος, οὐδὲ τὸν Ἔρωτα Ἐρινυὺν ποιήσει ἐν τῇ ἑρμηνείᾳ ἢ γίγαντα, οὐδὲ τὸ γελᾶν κλαίειν.

133 Ὥστε ἡ μέν τις ἐν πράγμασι χάρις ἐστί, τὰ δὲ καὶ ἡ
6 λέξις ποιεῖ ἐπιχαριτώτερα, οἷον

61 ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηΐς ἀηδών,
καλὸν ἀείδησιν, ἔαρος νέον ἱσταμένοιο·

ἐνταῦθα γὰρ καὶ ἡ ἀηδὼν χάριεν ὀρνίθιον, καὶ τὸ ἔαρ
10 φύσει χάριεν, πολὺ δὲ ἐπικεκόσμηται τῇ ἑρμηνείᾳ, καὶ ἔστι χαριέστερα τῷ τε χλωρηΐς καὶ τῷ Πανδαρέου κούρη εἰπεῖν ἐπὶ ὄρνιθος, ἅπερ τοῦ ποιητοῦ ἴδιά ἐστι.

134 Πολλάκις δὲ καὶ τὰ μὲν πράγματα ἀτερπῆ ἐστι φύ-
σει καὶ στυγνά, ὑπὸ δὲ τοῦ λέγοντος γίνεται ἱλαρά.
15 τοῦτο δὲ παρὰ Ξενοφῶντι δοκεῖ πρώτῳ εὑρῆσθαι· λα-
βὼν γὰρ ἀγέλαστον πρόσωπον καὶ στυγνόν, τὸν Ἀγλαϊτάδαν, τὸν Πέρσην, γέλωτα εὗρεν ἐξ αὐτοῦ χαρίεντα, ὅτι ῥᾷόν ἐστι πῦρ ἐκτρῖψαι ἀπὸ σοῦ ἢ γέλωτα.

135 Αὕτη δέ ἐστι καὶ ἡ δυνατωτάτη χάρις, καὶ μάλιστα
20 ἐν τῷ λέγοντι. τὸ μὲν γὰρ πρᾶγμα καὶ φύσει στυγνὸν ἦν καὶ πολέμιον χάριτι, ὥσπερ καὶ Ἀγλαϊτάδας. ὁ δ' [ὥσπερ] ἐνδείκνυται, ὅτι καὶ ἀπὸ τῶν τοιούτων παίζειν ἐστίν, ὡσπερεὶ καὶ ὑπὸ θερμοῦ ψύχεσθαι, θερμαίνεσθαι δὲ ὑπὸ τῶν ψυχρῶν.

136 Ἐπεὶ δὲ τὰ εἴδη τῶν χαρίτων δέδεικται, τίνα ἐστὶ
26 καὶ ἐν τίσι, νῦν καὶ τοὺς τόπους παραδείξομεν, ἐφ' ὧν
62 αἱ χάριτες. ἦσαν δὲ ἡμῖν αἱ μὲν ἐν τῇ λέξει, αἱ δὲ ἐν
63 τοῖς πράγμασι. παραδείξομεν οὖν καὶ τοὺς τόπους καθ' ἑκάτερα· πρώτους δὲ τοὺς τῆς λέξεως.

137 Εὐθὺς οὖν πρώτη ἐστὶ χάρις ἡ ἐκ συντομίας, ὅταν
31 τὸ αὐτὸ μηκυνόμενον ἄχαρι γένηται, ὑπὸ δὲ τάχους χάριεν, ὥσπερ παρὰ Ξενοφῶντι, τῷ ὄντι τούτῳ οὐ-

Digitized by Google

δὲν μέτεστι τῆς Ἑλλάδος, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον, ὥσπερεὶ Λυδόν, ἀμφότερα τὰ ὦτα τετρυπημένον· καὶ εἶχεν οὕτως. τὸ γὰρ ἐπιλεγόμενον τὸ εἶχεν οὕτως ὑπὸ τῆς συντομίας τὴν χάριν ποιεῖ, εἰ δὲ ἐμηκύνθη διὰ πλειόνων, ὅτι ἔλεγε ταῦτα ἀληθῆ, σαφῶς γὰρ ἐτετρύπητο, διήγημα ἂν ψιλὸν ἐγένετο ἀντὶ χάριτος.

www.libtool.com.cn

Πολλάκις δὲ καὶ δύο φράζεται δι' ἑνὸς πρὸς τὸ χάριεν, οἷον ἐπὶ τῆς Ἀμαζόνος καθευδούσης ἔφη τις, ὅτι τὸ τόξον ἐντεταμένον ἔκειτο, καὶ ἡ φαρέτρα πλήρης, τὸ γέρρον ἐπὶ τῇ κεφαλῇ· τοὺς δὲ ζωστῆρας οὐ λύονται. ἐν γὰρ τούτῳ καὶ ὁ νόμος εἴρηται ὁ περὶ τοῦ ζωστῆρος, καὶ ὅτι οὐκ ἔλυσε τὸν ζωστῆρα, τὰ δύο πράγματα διὰ μιᾶς ἑρμηνείας. καὶ ἀπὸ τῆς συντομίας ταύτης γλαφυρόν τί ἐστι. 138

Δεύτερος δὲ τόπος ἐστὶν ἀπὸ τῆς τάξεως. τὸ γὰρ αὐτὸ πρῶτον μὲν τεθὲν ἢ μέσον ἄχαρι γίνεται· ἐπὶ δὲ τοῦ τέλους χάριεν, οἷον ὡς ὁ Ξενοφῶν φησιν ἐπὶ τοῦ Κύρου, δίδωσι δὲ αὐτῷ καὶ δῶρα, ἵππον καὶ στολὴν καὶ στρεπτόν, καὶ τὴν χώραν μηκέτι ἁρπάζεσθαι. ἐν γὰρ τούτοις τὸ μὲν τελευταῖόν ἐστι τὸ τὴν χάριν ποιοῦν τὸ τὴν χώραν μηκέτι ἁρπάζεσθαι διὰ τὸ ξένον τοῦ δώρου καὶ τὴν ἰδιότητα. αἴτιος δὲ ὁ τόπος τῆς χάριτος. εἰ γοῦν πρῶτον ἐτάχθη, ἀχαριτώτερον ἦν, οἷον ὅτι δίδωσιν αὐτῷ δῶρα, τήν τε χώραν μηκέτι ἁρπάζεσθαι, καὶ ἵππον καὶ στολὴν καὶ στρεπτόν. νῦν δὲ προειπὼν τὰ εἰθισμένα δῶρα, τελευταῖον ἐπήνεγκε τὸ ξένον καὶ ἄηθες, ἐξ ὧν ἁπάντων συνῆκται ἡ χάρις. 139 64

Αἱ δὲ ἀπὸ τῶν σχημάτων χάριτες δῆλαί εἰσι, καὶ πλεῖσται παρὰ Σαπφοῖ, οἷον ἐκ τῆς ἀναδιπλώσεως, ὅπου νύμφη πρὸς τὴν παρθενίαν φησί, παρθενία, παρ- 140 31

Digitized by Google

θενία, ποῖ με λιποῦσα οἴχῃ; ἡ δὲ ἀποκρίνεται πρὸς αὐτὴν τῷ αὐτῷ σχήματι, οὐκ ἔτι ἥξω πρὸς σέ, οὐκ ἔτι ἥξω· πλείων γὰρ χάρις ἐμφαίνεται, ἢ εἴπερ ἅπαξ ἐλέχθη καὶ ἄνευ τοῦ σχήματος. καίτοι ἡ ἀναδίπλωσις πρὸς δεινότητας μᾶλλον δοκεῖ εὑρῆσθαι, ἡ δὲ καὶ τοῖς δεινοτάτοις καταχρῆται ἐπιχαρίτως.

141 Χαριεντίζεται δέ ποτε καὶ ἐξ ἀναφορᾶς, ὡς ἐπὶ τοῦ Ἑσπέρου, Ἔσπερε, πάντα φέρεις, φησί, φέρεις ὄϊν, φέρεις αἶγα, φέρεις ματέρι παῖδα. καὶ γὰρ ἐνταῦθα ἡ χάρις ἐστὶν ἐκ τῆς λέξεως τῆς φέρεις ἐπὶ τὸ αὐτὸ ἀναφερομένης.

142 Πολλὰς δ' ἄν τις καὶ ἄλλας ἐκφέροι χάριτας. γίγνονται δὲ καὶ ἀπὸ λέξεως χάριτες ἢ ἐκ μεταφορᾶς, ὡς ἐπὶ τοῦ τέττιγος, πτερύγων δ' ὑποκακχέει λιγυρὰν ἀοιδάν, ὅ τι ποτ' ἂν φλόγιον καθέταν ἐπιπτάμενον καταυλεῖ.

143 ἢ ἐκ συνθέτου [τοῦ] ὀνόματος καὶ διθυραμβικοῦ, δέσποτα πλούτων μελανοπτερύγων, τουτὶ δεινὸν πρὸ πτερύγων αὐτὸ ποίησον * ἃ μάλιστα δὴ κωμῳδικὰ παίγνιά ἐστι καὶ σατυρικά.

144 Καὶ ἐξ ἰδιωτικοῦ δὲ ὀνόματος γίγνεται, ὡς ὁ Ἀριστοτέλης, ὅσῳ γάρ, φησί, μονώτης εἰμί, φιλομυθότερος γέγονα. καὶ ἐκ πεποιημένου, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ, ὅσῳ γὰρ αὐτίτης καὶ μονώτης εἰμί, φιλομυθότερος γέγονα. τὸ μὲν γὰρ μονώτης ἰδιωτικωτέρου ἔθους ἤδη ἐστί, τὸ δὲ αὐτίτης πεποιημένον ἐκ τοῦ αὐτός.

145 Πολλὰ δὲ ὀνόματα καὶ παρὰ τὴν θέσιν τὴν ἐπί τινος χαριέντά ἐστιν, οἷον ὁ γὰρ ὄρνις οὗτος κόλαξ ἐστὶ καὶ κόλακος. ἐνταῦθα ἡ χάρις ἀπὸ τοῦ σκῶψαι τὸν ὄρνιν καθάπερ ἄνθρωπον, καὶ ὅτι τὰ μὴ συν-

Digitized by Google

ἤθη ἔθετο ὀνόματα τῷ ὄρνιθι. αἱ μὲν οὖν τοιαῦται χάριτες παρ' αὐτὰς τὰς λέξεις.

Ἐκ δὲ παραβολῆς καὶ ἐπὶ τοῦ ἐξέχοντος ἀνδρὸς ἡ Σαπφώ φησι, 146

πέρροχος ὡς ὅτ' ἀοιδὸς ὁ Λέσβιος ἀλλοδαποῖσιν. 5

www.libtool.com.cn

ἐνταῦθα γὰρ χάριν ἐποίησεν ἡ παραβολὴ μᾶλλον ἢ μέ- 68
γεθος, καίτοι ἐξῆν εἰπεῖν πέρροχος ὥσπερ ἡ σελήνη τῶν ἄλλων ἄστρων, ἢ ὁ ἥλιος ὁ λαμπρότερος, ἢ ὅσα ἄλλα ἐστὶ ποιητικώτερα.

Σώφρων δὲ καὶ αὐτὸς ἐπὶ τοῦ ὁμοίου εἴδους φησί, 147

θᾶσαι, ὅσα φύλλα καὶ κάρφεα τοὶ παῖδες τοὺς 11
ἄνδρας βαλλίζοντι, οἷόν περ φαντί, φίλα, τοὺς Τρῶας τὸν Αἴαντα τῷ παλῷ. καὶ γὰρ ἐνταῦθα ἐπίχαρις ἡ παραβολή ἐστι, καὶ τοὺς Τρῶας διαπαίζουσα ὥσπερ παῖδας. 15

Ἔστι δέ τις ἰδίως χάρις Σαπφικὴ ἐκ μεταβολῆς, ὅταν 148
τι εἰποῦσα μεταβάλληται καὶ ὥσπερ μετανοήσειεν, οἷον 69
ὕψου δή, φησί, τὸ μέλαθρον ἀέρατε τέκτονες· γαμβρὸς εἰσέρχεται ἶσος Ἄρηϊ, ἀνδρὸς μεγάλου πολλῷ μείζων, ὥσπερ ἐπιλαμβανομένη ἑαυτῆς, 20
ὅτι ἀδυνάτῳ ἐχρήσατο ὑπερβολῇ, καὶ ὅτι οὐδεὶς τῷ Ἄρηϊ ἶσος ἐστί.

Τοῦ δὲ αὐτοῦ εἴδους καὶ τὸ παρὰ Τηλεμάχῳ, ὅτι 149
δύο κύνες δεδέατο πρὸ τῆς αὐλῆς, καὶ δύναμαι καὶ τὰ ὀνόματα εἰπεῖν τῶν κυνῶν. ἀλλὰ 25
τί ἄν μοι βούλοιτο τὰ ὀνόματα ταῦτα; καὶ γὰρ οὗτος μεταβαλλόμενος μεταξὺ ἠστείσατο καὶ ἀποσιγήσας τὰ ὀνόματα.

Καὶ ἀπὸ στίχου δὲ ἀλλοτρίου γίνεται χάρις, ὡς ὁ 150
Ἀριστοφάνης σκώπτων που τὸν Δία, ὅτι οὐ κεραυνοῖ 30
τοὺς πονηρούς, φησίν,

Digitized by Google

ἀλλὰ τὸν ἑαυτοῦ νεὼν βάλλει, καὶ Σούνιον ἄκρον Ἀθηνῶν.

ὥσπερ γοῦν οὐκέτι ὁ Ζεὺς κωμῳδεῖσθαι δοκεῖ, ἀλλ' Ὅμηρος καὶ ὁ στίχος ὁ Ὁμηρικός, καὶ ἀπὸ τούτου πλείων ἐστὶν ἡ χάρις.

www.libtool.com.cn

151 Ἔχουσι δέ τι στωμύλον καὶ ἀλληγορίαι τινές, ὥσπερ τό, δελφοῖ παιδίον ὑμῶν ἁ κύων φέρει. καὶ τὰ Σώφρονος δὲ τὰ ἐπὶ τῶν γερόντων, ἐνθάδε ὦν κἠγὼ παρ' ὔμμε τοὺς ὁμότριχας ἐξορμίζομαι, πλόον δοκάζων. πόντιαι γὰρ ἤδη τοῖς ταλικοῖσδε ταὶ ἄγκυραι· ὅσα τε ἐπὶ τῶν γυναικῶν ἀλληγορεῖ, οἷον ἐπ' ἰχθύων, σωλῆνες, γλυκύκρεον κογχύλιον, χηρᾶν γυναικῶν λίχνευμα. καὶ μιμικώτερα τὰ τοιαῦτά ἐστι καὶ αἰσχρά.

152 Ἔστι δέ τις καὶ ἡ παρὰ τὴν προσδοκίαν χάρις, ὡς ἡ τοῦ Κύκλωπος, ὅτι ὕστατον ἕδομαι Οὖτιν. οὐ γὰρ προσεδόκα τοιοῦτο ξένιον οὔτε Ὀδυσσεύς, οὔτε ὁ ἀναγινώσκων. καὶ ὁ Ἀριστοφάνης ἐπὶ τοῦ Σωκράτους, κηρὸν διατήξας, φησίν, εἶτα διαβήτην λαβών, ἐκ τῆς παλαίστρας ἱμάτιον ὑφείλετο.

153 Ἤδη μέντοι ἐκ δύο τόπων ἐνταῦθα ἐγένετο ἡ χάρις. οὐ γὰρ παρὰ προσδοκίαν μόνον ἐπηνέχθη, ἀλλ' οὐδ' ἠκολούθει τοῖς προτέροις· ἡ δὲ τοιαύτη ἀνακολουθία καλεῖται γρῖφος, ὥσπερ ὁ παρὰ Σώφρονι ῥητορεύων Βουλίας. οὐδὲν γὰρ ἀκόλουθον αὐτῷ λέγει· καὶ παρὰ Μενάνδρῳ δὲ ὁ πρόλογος τῆς Μεσσηνίας.

154 Πολλάκις δὲ καὶ κῶλα ὅμοια ἐποίησε χάριν, ὡς ὁ Ἀριστοτέλης, ἐκ μὲν Ἀθηνῶν, φησίν, ἐγὼ εἰς Στάγειρα ἦλθον διὰ τὸν βασιλέα τὸν μέγαν· ἐκ δὲ Σταγείρων εἰς Ἀθήνας διὰ τὸν χειμῶνα τὸν μέγαν. καταληξας γὰρ ἐν ἀμφοτέροις τοῖς κώλοις εἰς τὸ αὐτὸ ὄνομα ἐποίησε τὴν χάριν. ἐὰν δ' οὖν ἀποκό-

Digitized by Google

ψης τοῦ ἑτέρου κώλου τὸ μέγαν, συναφαιρεῖται καὶ ἡ χάρις.

Καὶ κατηγορίαι δὲ ἀποκεκρυμμέναι ἐνίοτε ὁμοιοῦν- 155
ται χάρισιν, ὥσπερ παρὰ Ξενοφῶντι ὁ Ἡρακλείδης ὁ παρὰ τῷ Σεύθῃ προσιὼν τῶν συνδείπνων ἑκάστῳ, καὶ πείθων δωρεῖσθαι Σεύθῃ ὅ τι ἔχοι· ταῦτα γὰρ καὶ χάριν τινὰ ἐμφαίνει, καὶ κατηγορίαι εἰσὶν ἀποκεκρυμμέναι.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΠΡΑΓΜΑΣΙ ΧΑΡΙΤΩΝ.

Αἱ μὲν οὖν κατὰ τὴν ἑρμηνείαν χάριτες τοσαῦται 156
καὶ οἱ τόποι, ἐν δὲ τοῖς πράγμασι λαμβάνονται χάριτες 11
ἐκ παροιμίας. φύσει γὰρ χάριεν πρᾶγμά ἐστι παροιμία, ὡς ὁ Σώφρων μέν, Ἐπιάλης, ἔφη, ὁ τὸν πατέρα πνίγων. καὶ ἀλλαχόθι πού φησιν, ἐκ τοῦ ὄνυ- 73
χος γὰρ τὸν λέοντα ἔγραψεν· τορύναν ἔξεσεν· 15
κύμινον ἔσπειρε. καὶ γὰρ δυσὶ παροιμίαις καὶ τρισὶν ἐπαλλήλοις χρῆται, ὡς ἐπιπληθύωνται αὐτῷ αἱ χάριτες· σχεδόν τε πάσας ἐκ τῶν δραμάτων αὐτοῦ τὰς παροιμίας ἐκλέξαι ἐστίν.

Καὶ μῦθος δὲ λαμβανόμενος καιρίως εὔχαρίς ἐστιν, 157
ἤτοι ὁ κείμενος, ὡς ὁ Ἀριστοτέλης ἐπὶ τοῦ ἀετοῦ φησιν, 21
ὅτι λιμῷ θνήσκει ἐπικάμπτων τὸ ῥάμφος· πάσχει δὲ αὐτό, ὅτι ἄνθρωπος ὢν ποτε ἠδίκησε ξένον. ὁ μὲν οὖν τῷ κειμένῳ μύθῳ κέχρηται καὶ κοινῷ.

Πολλοὺς δὲ καὶ προσπλάσσομεν προσφόρους καὶ οἰ- 158
κείους τοῖς πράγμασιν, ὥσπερ τις περὶ αἰλούρου λέγων, 26
ὅτι συμφθίνει τῇ σελήνῃ καὶ ὁ αἴλουρος, καὶ συμπαχύνεται, προσέπλασεν, ὅτι ἔνθεν καὶ ὁ μῦθός ἐστιν, 74
ὡς ἡ σελήνη ἔτεκε τὸν αἴλουρον· οὐ γὰρ μόνον κατ' αὐτὴν τὴν πλάσιν ἔσται ἡ χάρις, ἀλλὰ καὶ ὁ μῦθος 30
ἐμφαίνει χαρίεν τι, αἴλουρον ποιῶν σελήνης παῖδα.

Digitized by Google

159 Πολλάκις δὲ καὶ ἐκ φόβου ἀλλασσομένου γίνεται χάρις, ὅταν διακενῆς τις φοβηθῇ, οἷον τὸν ἱμάντα ὡς ὄφιν, ἢ τὸν κρίβανον ὡς χάσμα τῆς γῆς, ἅπερ καὶ αὐτὰ κωμῳδικώτερά ἐστι.

160 Καὶ εἰκασίαι δ' εἰσὶν εὐχάριτες, ἂν τὸν ἀλεκτρυόνα
6 Μήδῳ εἰκάσῃς, ὅτι τὴν κυρβασίαν ὀρθὴν φέρει· βασιλεῖ δέ, ὅτι πορφύρεός ἐστιν, ἢ ὅτι βοήσαντος ἀλεκτρυόνος ἀναπηδῶμεν, ὥσπερ καὶ βασιλέως βοήσαντος, καὶ φοβούμεθα.

161 Ἐκ δὲ ὑπερβολῶν χάριτες μάλιστα αἱ ἐν ταῖς κωμῳ-
11 δίαις, πᾶσα δὲ ὑπερβολὴ ἀδύνατος, ὡς Ἀριστοφάνης ἐπὶ τῆς ἀπληστίας τῶν Περσῶν φησιν, ὅτι ὤπτουν βοῦς κριβανίτας ἀντὶ ἄρτων· ἐπὶ δὲ τῶν Θρᾳκῶν ἕτερος, ὅτι Μηδόκης ὁ βασιλεὺς βοῦν ἔφερεν ὅλον
15 ἐν γυάθῳ.

162 Τοῦ δὲ αὐτοῦ εἴδους καὶ τὰ τοιαῦτά ἐστιν, ὑγιέστερος κολοκύντης, καὶ φαλακρώτερος εὐδίας, καὶ τὰ Σαπφικὰ πολὺ πακτίδος ἁδυμελέστερα, χρυσοῦ χρυσοτέρα. πᾶσαι γὰρ αἱ τοιαῦ-
75 ταί χάριτες ἐκ τῶν ὑπερβολῶν εὕρηνται. [καίτοι διά-
21 φέρουσι]

163 Διαφέρουσι δὲ τὸ γελοῖον καὶ εὔχαρι πρῶτα μὲν τῇ ὕλῃ· χαρίτων μὲν γὰρ ὕλη νυμφαῖοι κῆποι, ἔρωτες, ἅπερ οὐ γελᾶται· γέλωτος δὲ Ἶρος καὶ Θερσίτης. τοσοῦ-
25 τον οὖν διοίσουσιν, ὅσον ὁ Θερσίτης τοῦ Ἔρωτος.

164 Διαφέρουσι δὲ καὶ τῇ λέξει αὐτῇ. τὸ μὲν γὰρ εὔχαρι μετὰ κόσμου ἐκφέρεται καὶ δι' ὀνομάτων καλῶν, ἃ μάλιστα ποιεῖ τὰς χάριτας, οἷον τὸ ποικίλλεται μὲν γαῖα πολυστέφανος καὶ τὸ χλωρηῖς ἀηδών·
30 τὸ δὲ γελοῖον καὶ ὀνομάτων ἐστὶν εὐτελῶν καὶ κοινοτέρων, ὥσπερ ἔχει· ὅσον γὰρ αὐτίτης καὶ μονώτης εἰμί, φιλομυθότερος γέγονα.

Digitized by Google

Ἔπειτα ἀφανίζεται ὑπὸ τοῦ κόσμου τῆς ἑρμηνείας, καὶ ἀντὶ γελοίου θαῦμα γίνεται. αἱ μέντοι χάριτές εἰσι μετὰ σωφροσύνης, τὸ δὲ ἐκφράζειν τὰ γέλοια ὅμοιόν ἐστι καὶ καλλωπίζειν πίθηκον. 165

Διὸ καὶ ἡ Σαπφὼ περὶ μὲν κάλλους ᾄδουσα καλ- 166
λιεπής ἐστι καὶ ἡδεῖα, καὶ περὶ ἐρώτων δὲ καὶ ἔρος καὶ 6
περὶ ἀλκυόνος, καὶ ἅπαν καλὸν ὄνομα ἐνύφανται αὐτῆς
τῇ ποιήσει, τὰ δὲ καὶ αὐτὴ εἰργάσατο.

Ἄλλως δὲ σκώπτει τὸν ἄγροικον νυμφίον, καὶ τὸν 167
θυρωρὸν τὸν ἐν τοῖς γάμοις, εὐτελέστατα καὶ ἐν πεζοῖς [76]
ὀνόμασι μᾶλλον ἢ ἐν ποιητικοῖς, ὥστε αὐτῆς μᾶλλόν 11
ἐστι τὰ ποιήματα ταῦτα διαλέγεσθαι ἢ ᾄδειν, οὐδ' ἂν
ἁρμόσαι πρὸς τὸν χορὸν ἢ πρὸς τὴν λύραν, εἰ μή τις
εἴη χορὸς διαλεκτικός.

Μάλιστα δὲ διαφέρουσι καὶ ἐκ τῆς προαιρέσεως· οὐ 168
γὰρ ὅμοια προαιρεῖται ὁ εὐχάριστος καὶ ὁ γελωτοποιῶν, 16
ἀλλ' ὁ μὲν εὐφραίνειν, ὁ δὲ γελασθῆναι. καὶ ἀπὸ τῶν
ἐπακολουθούντων δέ· τοῖς μὲν γὰρ γέλως, τοῖς δὲ ἔπαινος.

Καὶ ἐκ τόπου. ἔνθα μὲν γὰρ γέλωτος τέχναι καὶ 169
χαρίτων, ἐν σατύρῳ καὶ ἐν κωμῳδίαις. τραγῳδία δὲ 20
χάριτας μὲν παραλαμβάνει ἐν πολλοῖς, ὁ δὲ γέλως ἐχθρὸς
τραγῳδίας· οὐδὲ γὰρ ἐπινοήσειεν ἄν τις τραγῳδίαν
παίζουσαν, ἐπεὶ σάτυρον γράψει ἀντὶ τραγῳδίας.

Χρήσονται δέ ποτε καὶ οἱ φρόνιμοι γελοίοις πρός τε 170
τοὺς καιρούς, οἷον ἐν ἑορταῖς καὶ ἐν συμποσίοις, καὶ ἐν 25
ἐπιπλήξεσι δὲ πρὸς τοὺς τρυφερωτέρους, ὡς ὁ τηλαυγὴς 77
Θύλακος, καὶ ἡ Κράτητος ποιητική, καὶ φακῆς ἐγκώμιον
ἂν ἀναγνῷ τις ἐν τοῖς ἀσώτοις· τοιοῦτος δὲ ὡς τὸ πλέον
καὶ ὁ Κυνικὸς τρόπος· τὰ γὰρ τοιαῦτα γελοῖα χρείας
λαμβάνει τάξιν καὶ γνώμης. 30

Ἔστι δὲ καὶ τοῦ ἤθους τις ἔμφασις ἐκ τῶν γελοίων 171
καὶ ἡ παιγνίας ἢ ἀκολασίας, ὡς καὶ τὸν οἶνον τὸν

Digitized by Google

προχυθέντα ἐπισχὼν τὰ Πηλέα ἀντὶ Οἰνέως. ἡ γὰρ ἀντίθεσις ἡ περὶ τὰ ὀνόματα καὶ ἡ φροντὶς ἐμφαίνει τινὰ ψυχρότητα ἤθους καὶ ἀναγωγίαν.

172 78 Περὶ δὲ σκωμμάτων μέν, οἷον εἰκασία τίς ἐστιν· ἡ γὰρ ἀντίθεσις εὐτράπελος. χρήσονταί τε ταῖς τοιαύταις εἰκασίαις, ὡς Αἰγυπτία κλεματίς, μακρὸν καὶ μέλανα, καὶ τὸ Θαλάσσιον πρόβατον, τὸν μῶρον [τὸν ἐν τῇ θαλάσσῃ]. τοῖς μὲν τοιούτοις χρήσονται· εἰ δὲ μή, φευξόμεθα τὰ σκώμματα ὥσπερ λοιδορίας.

[ΠΕΡΙ ΚΑΛΛΟΤΣ ΟΝΟΜΑΤΟΣ ΚΑΙ ΕΝ ΤΙΣΙΝ.]

173 79 Ποιεῖ δὲ εὔχαριν τὴν ἑρμηνείαν καὶ τὰ λεγόμενα καλὰ ὀνόματα. ὡρίσατο δ' αὐτὰ Θεόφραστος οὕτως, κάλλος ὀνόματός ἐστι τὸ πρὸς τὴν ἀκοὴν ἢ πρὸς τὴν ὄψιν ἡδύ, ἢ τὸ τῇ διανοίᾳ ἔντιμον.

174 16 Πρὸς μὲν τὴν ὄψιν ἡδέα τὰ τοιαῦτα, ροδόχροον, ἀνθοφόρου χρόας. ὅσα γὰρ ὁρᾶται ἡδέως, ταῦτα καὶ λεγόμενα καλά ἐστι. πρὸς δὲ τὴν ἀκοὴν Καλλίστρατος, Ἀννοῶν. ἥ τε γὰρ τῶν λάμβδα σύγκρουσις ἠχῶδές τι ἔχει, καὶ ἡ τῶν νῦ γραμμάτων.

175 21 Καὶ ὅλως τὸ νῦ δι' εὐφωνίαν ἐφέλκονται οἱ Ἀττικοὶ Δημοσθένην λέγοντες καὶ Σωκράτην. τῇ διανοίᾳ δὲ ἔντιμα τὰ τοιαῦτά ἐστιν, οἷον τὸ ἀρχαῖοι ἀντὶ τοῦ παλαιοὶ ἐντιμότερον· οἱ γὰρ ἀρχαῖοι ἄνδρες ἐντιμότεροι.

ΤΙ ΛΕΙΟΝ ΟΝΟΜΑ ΚΑΙ ΤΙ ΤΡΑΧΥ, ΚΑΙ ΤΙ ΤΟ ΕΥΠΑΓΕΣ ΚΑΙ ΤΙ ΤΟ ΟΓΚΗΡΟΝ.

176 Παρὰ δὲ τοῖς μουσικοῖς λέγεταί τι ὄνομα λεῖον, καὶ ἕτερον τὸ τραχύ, καὶ ἄλλο εὐπαγές, καὶ ἄλλο ὀγκηρόν. λεῖον μὲν οὖν ἐστιν ὄνομα τὸ διὰ φωνηέντων ἢ πάντων 30 ἢ διὰ πλειόνων, οἷον Αἴας, τραχὺ δὲ οἷον βέβρωκε·

Digitized by Google

καὶ αὐτὸ δὲ τοῦτο τὸ τραχὺ ὄνομα κατὰ μίμησιν ἐξενήνεκται ἑαυτοῦ. εὐπαγὲς δὲ ἐπαμφοτερίζον καὶ μεμιγμένον ἴσως τοῖς γράμμασι.

Τὸ δὲ ὀγκηρὸν ἐν τρισίν, πλάτει, μήκει, πλάσματι, 177
οἷον βροντὰ ἀντὶ τοῦ βροντή· καὶ γὰρ τραχύτητα ἐκ 80
τῆς προτέρας συλλαβῆς ἔχει, καὶ ἐκ τῆς δευτέρας μῆκος 6
μὲν διὰ τὴν μακράν, πλατύτητα δὲ διὰ τὸν Δωρισμόν· πλατέα λαλοῦσι γὰρ πάντα οἱ Δωριεῖς. διόπερ οὐδὲ ἐκωμῴδουν δωρίζοντες, ἀλλὰ πικρῶς ἠττίκιζον· ἡ γὰρ Ἀττικὴ γλῶσσα συνεστραμμένον τι ἔχει καὶ δημοτικὸν 10
καὶ ταῖς τοιαύταις εὐτραπελίαις πρέπον.

Ταῦτα μὲν δὴ παρατεχνολογείσθω ἄλλως. τῶν δὲ 178
εἰρημένων ὀνομάτων τὰ λεῖα μόνα ληπτέον ὡς γλαφυρόν τι ἔχοντα.

Γίνεται δὲ καὶ ἐκ συνθέσεως τὸ γλαφυρόν· ἔστι μὲν 179
οὖν οὐ ῥᾴδιον περὶ τοῦ τρόπου τοῦ τοιοῦδε εἰπεῖν· οὐδὲ 16
γὰρ τῶν πρὶν εἰρηταί τινι περὶ γλαφυρᾶς συνθέσεως. 81
κατὰ τὸ δυνατὸν δὲ ὅμως πειρατέον λέγειν.

Τάχα γὰρ δὴ ἔσται τις ἡδονὴ καὶ χάρις, ἐὰν ἁρμό- 180
ζωμεν ἐκ μέτρων τὴν σύνθεσιν ἢ ὅλων ἢ ἡμίσεων· οὐ 20
μὴν ὥστε φαίνεσθαι αὐτὰ μέτρα ἐν τῷ συνειρμῷ τῶν λόγων, ἀλλ', εἰ διαχωρίζοι τις καθ' ἓν ἕκαστον καὶ διακρίνοι, τότε δὴ ὑφ' ἡμῶν αὐτῶν φωρᾶσθαι μέτρα ὄντα.

Κἂν μετροειδῇ δὲ ᾖ, τὴν αὐτὴν ποιήσει χάριν. 181
λανθανόντως δέ τοι παραδύεται ἡ ἐκ τῆς τοιαύτης ἡδο- 26
νῆς χάρις, καὶ πλεῖστον μὲν τὸ τοιοῦτον εἶδός ἐστι παρὰ τοῖς Περιπατητικοῖς καὶ παρὰ Πλάτωνι καὶ παρὰ Ξενοφῶντι καὶ Ἡροδότῳ, τάχα δὲ καὶ παρὰ Δημοσθένει πολλαχοῦ, Θουκυδίδης μέντοι πέφευγε τὸ εἶδος. 30

Παραδείγματα δὲ αὐτοῦ λάβοι τις ἂν τοιάδε, οἷον 182
ὡς ὁ Δικαίαρχος· ἐν Ἐλέᾳ, φησί, τῆς Ἰταλίας

www.libtool.com.cn

Digitized by Google

πρεσβύτην ἤδη τὴν ἡλικίαν ὄντα. τῶν γὰρ κώλων ἀμφοτέρων αἱ ἀπολήξεις μετροειδές τι ἔχουσιν, ὑπὸ δὲ τοῦ εἱρμοῦ καὶ τῆς συναφείας κλέπτεται μὲν τὸ μετρικόν, ἡδονὴ δ' οὐκ ὀλίγη ἔπεστι.

183 Πλάτων μέντοι ἐν πολλοῖς αὐτῷ τῷ ῥυθμῷ γλαφυ-
6 ρός ἐστιν ἐκτεταμένῳ πως, καὶ οὔτε ἕδραν ἔχοντι οὔτε μῆκος· τὸ μὲν γὰρ ἰσχνὸν καὶ δεινόν, τὸ δὲ μῆκος μεγαλοπρεπές, ἀλλ' οἷον ὀλίσθῳ τινὶ ἔοικε τὰ κῶλα, καὶ οὔτ' ἐμμέτροις παντάπασιν οὔτ' ἀμέτροις, οἷον ἐν τῷ
10 περὶ μουσικῆς λόγῳ ἐπ' ἄμφω νῦν δὴ ἐλέγομεν.

184 Καὶ πάλιν, μινυρίζων τε καὶ γεγανωμένος
[82] ὑπὸ τῆς ᾠδῆς διατελεῖ τὸν βίον ὅλον. καὶ πάλιν, τὸ μὲν πρῶτον, εἴ τι θυμοειδὲς εἶχεν, ὥσπερ σίδηρον ἐμάλαξεν· οὕτω μὲν γὰρ γλα-
15 φυρὸν καὶ ᾠδικὸν σαφῶς· εἰ δ' ἀναστρέψας εἴποις, ἐμάλαξεν ὥσπερ σίδηρον, ἢ διατελεῖ ὅλον τὸν βίον, ἐξελεῖς τοῦ λόγου τὴν χάριν ἐν αὐτῷ τῷ ῥυθμῷ οὖσαν· οὐ γὰρ δὴ ἐν τῇ διανοίᾳ, οὐδ' ἐν ταῖς λέξεσιν.

185 Καὶ περὶ τῶν μουσικῶν δὲ ὀργάνων πάλιν χαριέν-
20 τως ἥρμοσεν, ἐν οἷς δή φησιν, λύρα δή σοι λείπεται κατὰ πόλιν· εἰ γὰρ ἀναστρέψας εἴποις κατὰ πόλιν λείπεται, μεθαρμοσαμένῳ ποιήσεις ὅμοιον. τοῦτο δὲ ἐπιφέρει, καὶ αὖ κατ' ἀγροὺς τοῖς ποιμέσι σύριγξ ἄν τις εἴη· τῇ γὰρ ἐκτάσει καὶ τῷ μήκει
25 πάνυ χαριέντως μεμίμηται τρόπον τινὰ ἦχον σύριγγος. ἔσται δὲ δῆλον, εἴ τις μετασυνθεὶς λέγοι καὶ τοῦτο.

ΠΕΡΙ ΚΑΚΟΖΗΛΩΝ.

186 Περὶ μὲν δὴ τοῦ κατὰ σύνθεσιν γλαφυροῦ ἐπιφαι-
νομένου τοσαῦτα, ὡς ἐν δυσκόλοις. εἴρηται δὲ καὶ περὶ
30 τοῦ χαρακτῆρος τοῦ γλαφυροῦ, ἐν ὅσοις καὶ ὅπως γίνεται. καθάπερ δὲ τῷ μεγαλοπρεπεῖ παρέκειτο ὁ ψυχρὸς

Digitized by Google

χαρακτήρ, οὕτω τῷ γλαφυρῷ παράκειταί τις διημαρτημένος. ὀνομάζω δὲ αὐτὸν τῷ κοινῷ ὀνόματι κακόζηλον. 83
γίνοιτο δ' ἂν καὶ οὗτος ἐν τρισίν, ὥσπερ καὶ οἱ λοιποὶ πάντες.

Ἐν διανοίᾳ μέν, ὡς ὁ εἰπὼν Κένταυρος ἑαυ- 187
τὸν ἱππεύων, καὶ ἐπὶ τοῦ βουλευομένου Ἀλεξάν- 6
δρου δρόμον ἀγωνίσασθαι Ὀλυμπιάσιν ἔφη τις οὕτως· Ἀλέξανδρε, δράμε σοῦ τῆς μητρὸς τὸ ὄνομα.

Ἐν δὲ ὀνόμασι γίγνοιτ' ἂν οὕτως, οἷον ἐγέλα που 188
ῥόδον ἡδύχροον· ἥ τε γὰρ μεταφορὰ ἡ ἐγέλα πάνυ 84
μετάκειται ἀπρεπῶς, καὶ τὸ σύνθετον τὸ ἡδύχροον 12
οὐδ' ἐν ποιήματι θείη ἄν τις ἀκριβῶς σωφρονῶν. ἢ ὥς τις εἶπεν, ὅτι δέ γε ταῖς ὑπεσύριζε πίτυς αὔραις· περὶ μὲν δὴ τὴν λέξιν οὕτως. 15

Σύνθεσις δὲ ἀναπαιστικὴ καὶ μάλιστα ἐοικυῖα τοῖς 189
κεκλασμένοις καὶ ἀσέμνοις μέτροις, οἷα μάλιστα τὰ Σωτάδεια διὰ τὸ μαλακώτερον, σκήλας καύματι κάλυψον, καὶ

σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον 20
ἀντὶ τοῦ

σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον· 85
ὁποῖα γὰρ μεταμεμορφωμένῳ ἔοικεν ὁ στίχος, ὥσπερ οἱ μυθευόμενοι ἐξ ἀρρένων μεταβάλλειν εἰς θηλείας. τοσάδε μὲν καὶ περὶ κακοζηλίας. 25

ΠΕΡΙ ΙΣΧΝΟΤ.

Ἐπὶ δὲ τοῦ ἰσχνοῦ χαρακτῆρος ἔχοιμεν ἂν καὶ 190
πράγματα ἴσως τινὰ μικρὰ καὶ τῷ χαρακτῆρι πρόσφορα, οἷον τὸ παρὰ Λυσίᾳ, οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω. τὴν δὲ λέξιν εἶναι 30
πᾶσαν χρὴ κυρίαν καὶ συνήθη· μικρότερον γὰρ τὸ

www.libtool.com.cn
Digitized by Google

συνηθέστερον πάντων, τὸ δὲ ἀσύνηθες καὶ μετενηνεγμένον μεγαλοπρεπές.

191 Καὶ μηδὲ διπλᾶ ὀνόματα τιθέναι· τοῦ γὰρ ἐναντίου χαρακτῆρος καὶ ταῦτα, μηδὲ μὴν πεποιημένα, μηδ' ὅσα ἄλλα μεγαλοπρέπειαν ποιεῖ, μάλιστα δὲ σαφῆ χρὴ τὴν λέξιν εἶναι. τὸ δὲ σαφὲς ἐν πλείοσιν.

192 Πρῶτα μὲν ἐν τοῖς κυρίοις, ἔπειτα ἐν τοῖς συνδε- 86 δεμένοις. τὸ δὲ ἀσύνδετον καὶ διαλελυμένον ὅλον ἀσαφὲς πᾶν· ἄδηλος γὰρ ἡ ἑκάστου κώλου ἀρχὴ διὰ τὴν λύσιν, ὥσπερ τὰ Ἡρακλείτου· καὶ γὰρ ταῦτα σκοτεινὰ ποιεῖ τὸ πλεῖστον ἡ λύσις.

193 Ἐναγώνιος μὲν οὖν ἴσως μᾶλλον ἡ διαλελυμένη λέξις, αὕτη καὶ ὑποκριτικὴ καλεῖται· κινεῖ γὰρ ὑπόκρισιν ἡ λύσις. γραφικὴ δὲ λέξις ἡ εὐανάγνωστος. αὕτη δέ ἐστιν ἡ συνηρτημένη καὶ οἷον ἠσφαλισμένη τοῖς συνδέσμοις. διὰ τοῦτο δὲ καὶ Μένανδρον ὑποκρίνονται λελυμένον ἐν τοῖς πλείστοις, Φιλήμονα δὲ ἀναγινώσκουσιν.

ΠΕΡΙ ΤΠΟΚΡΙΤΙΚΩΝ.

194 Ὅτι δὲ ὑποκριτικὸν ἡ λύσις, παράδειγμα ἐγκείσθω 21 τόδε,

ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φίλε.

οὕτως γὰρ λελυμένον ἀναγκάσει καὶ τὸν μὴ θέλοντα ὑποκρίνεσθαι διὰ τὴν λύσιν· εἰ δὲ συνδήσας εἴποις, ἐδεξάμην καὶ ἔτικτον καὶ ἐκτρέφω, πολλὴν ἀπάθειαν τοῖς συνδέσμοις ἐμβαλεῖς. πάνυ δὲ τὸ ἀπαθὲς ἀνυπόκριτον.

195 Ἔστι δὲ καὶ ἄλλα θεωρήματα ὑποκριτικά, οἷον καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Ἴων ὁ τόξα ἁρπάζων καὶ τῷ κύκνῳ 87 ἀπειλῶν τῷ ὄρνιθι, ἀποπατοῦντι κατὰ τῶν ἀγαλμά- 31 των· καὶ γὰρ κινήσεις πολλὰς παρέχει τῷ ὑποκριτῇ ὁ

www.libtool.com.cn
Digitized by Google

ἐπὶ τὰ τόξα δρόμος καὶ ἡ πρὸς τὸν ἀέρα ἀνάβλεψις τοῦ προσώπου διαλεγομένου τῷ κύκνῳ, καὶ ἡ λοιπὴ πᾶσα διαμόρφωσις πρὸς τὸν ὑποκριτὴν πεποιημένη. ἀλλ' οὐ περὶ ὑποκρίσεως ἡμῖν τὰ νῦν ὁ λόγος.

www.libtool.com.cn

ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ.

Φευγέτω δὲ ἡ σαφὴς γραφὴ καὶ τὰς ἀμφιβολίας, 196
σχήματι δὲ χρήσθω τῇ ἐπαναλήψει καλουμένῃ. ἐπανάληψις δέ ἐστι συνδέσμου ἐπιφορὰ τοῦ αὐτοῦ ἐν τοῖς διὰ μακροῦ ἐπιφερομένοις λόγοις, οἷον ὅσα μὲν ἔπραξε Φίλιππος, καὶ ὡς τὴν Θράκην κατεστρέψατο, καὶ Χερρόνησον εἶλε, καὶ Βυζάντιον ἐπολιόρκησε, καὶ Ἀμφίπολιν οὐκ ἀπέδωκε, ταῦτα μὲν παραλείψω. σχεδὸν γὰρ ὁ μὲν σύνδεσμος ἐπενεχθεὶς ἀνέμνησεν ἡμᾶς τῆς προθέσεως, καὶ ἀποκατέστησεν ἐπὶ τὴν ἀρχήν.

Σαφηνείας δὲ ἕνεκεν καὶ διλογητέον πολλάκις· ἥδιον 197
γάρ πως τὸ συντομώτερον ἢ σαφέστερον· ὡς γὰρ οἱ παρατρέχοντες παρορῶνται ἐνίοτε, οὕτω καὶ ἡ λέξις παρακούεται διὰ τὸ τάχος.

Φεύγειν δὲ καὶ τὰς πλαγιότητας· καὶ γὰρ τοῦτο 198
ἀσαφές, ὥσπερ ἡ Φιλίστου λέξις. συντομώτερον δὲ πα- 21
ράδειγμα πλαγίας λέξεως καὶ διὰ τοῦτο ἀσαφοῦς τὸ παρὰ Ξενοφῶντι, οἷον καὶ ὅτι τριήρεις ἤκουε 88
περιπλεούσας ἀπὸ Ἰωνίας εἰς Κιλικίαν Τάμον ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ 25
Κύρου. τοῦτο γὰρ ἐξ εὐθείας μὲν ὧδέ πως λέγοιτο· τριήρεις προσεδοκῶντο εἰς Κιλικίαν πολλαὶ μὲν Λάκαιναι, πολλαὶ δὲ Περσίδες, Κύρῳ ναυπηγηθεῖσαι ἐπ' αὐτῷ τούτῳ. ἔπλεον δ' ἀπ' Ἰωνίας· ναύαρχος δ' αὐταῖς ἐπεστάτει Τάμος Αἰγύπτιος. μακρότερον μὲν οὕτως 30
ἐγένετο ἴσως, σαφέστερον δέ.

Digitized by Google

199 Καὶ ὅλως τῇ φυσικῇ τάξει τῶν ὀνομάτων χρηστέον, ὡς τὸ Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι εἰς τὸν Ἰόνιον κόλπον· πρῶτον μὲν γὰρ ὠνόμασται τὸ περὶ οὗ, δεύτερον δὲ ὃ τοῦτό ἐστιν, ὅτι πόλις, καὶ τὰ ἄλλα ἑφεξῆς.

200 Γίγνοιτο μὲν οὖν ἂν καὶ τὸ ἔμπαλιν, ὡς τὸ Ἔστι πόλις Ἐφύρη. οὐ γὰρ πάντη ταύτην δοκιμάζομεν τὴν τάξιν, οὐδὲ τὴν ἑτέραν ἀποδοκιμάζομεν, καθὰ ἐκτιθέμεθα μόνον τὸ φυσικὸν εἶδος τῆς τάξεως.

201 Ἐν δὲ τοῖς διηγήμασιν ἤτοι ἀπὸ τῆς ὀρθῆς ἀρκτέον, [89] Ἐπίδαμνός ἐστι πόλις, ἢ ἀπὸ τῆς αἰτιατικῆς, ὡς τὸ λέγεται Ἐπίδαμνον τὴν πόλιν. αἱ δὲ ἄλλαι πτώσεις ἀσάφειάν τινα παρέξουσι καὶ βάσανον τῷ τε λέγοντι αὐτῷ καὶ τῷ ἀκούοντι.

202 Πειρᾶσθαι δὲ μὴ εἰς μῆκος ἐκτείνειν τὰς περιαγωγάς· ὁ γὰρ Ἀχελῷος ῥέων ἐκ Πίνδου ὄρους ἄνωθεν μὲν παρὰ Στράτον πόλιν ἐπὶ θάλασσαν διέξεισιν· ἀλλ' αὐτόθεν ἀπολήγειν καὶ ἀναπαύειν τὸν ἀκούοντα οὕτως· ὁ γὰρ Ἀχελῷος ῥεῖ μὲν ἐκ Πίνδου ὄρους, ἔξεισι δὲ εἰς θάλασσαν· πολὺ γὰρ οὕτω σαφέστερον, ὥσπερ ἂν αἱ πολλὰ σημεῖα ἔχουσαι ὁδοὶ καὶ πολλὰς ἀναπαύλας· ἡγεμόσι γὰρ τὰ σημεῖα ἔοικεν, ἡ δὲ ἀσημείωτος καὶ μονοειδής, κἂν μικρὰ ᾖ, ἄδηλος δοκεῖ.

203 Περὶ μὲν δὴ σαφηνείας τοσαῦτα, ὡς ὀλίγα ἐκ πολλῶν, καὶ μάλιστα ἐν τοῖς ἰσχνοῖς αὐτῇ λόγοις χρηστέον.

204 Φεύγειν δὲ ἐν τῇ συνθέσει τοῦ χαρακτῆρος τούτου πρῶτον μὲν τὰ μήκη τῶν κώλων· μεγαλοπρεπὲς γὰρ πᾶν μῆκος, ὥσπερ καὶ ἐπὶ τῶν [ἡρωϊκῶν] μέτρων τὸ ἑξάμετρον ἡρωϊκὸν ὂν καλεῖται ὑπὸ μεγέθους καὶ πρέπον ἥρωσιν, ἡ κωμῳδία δὲ συνέσταλται εἰς τὸ τρίμετρον ἡ νέα.

www.libtool.com.cn
Digitized by Google

Τὰ πολλὰ οὖν κώλοις τριμέτροις χρησόμεθα καὶ 205
ἐνίοτε κόμμασιν, ὥσπερ ὁ μὲν Πλάτων φησί, κατέ-
βην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος· 90
πυκναὶ γὰρ αἱ ἀνάπαυλαι καὶ ἀποθέσεις. Αἰσχίνης δὲ
ἐκαθήμεθα μέν, φησίν, ἐπὶ τῶν θάκων ἐν 5
Λυκείῳ, οὗ οἱ ἀθλοθέται τὸν ἀγῶνα διατι-
θέασιν.

Ἐχέτω δὲ καὶ ἕδραν ἀσφαλῆ τῶν κώλων τὰ τέλη καὶ 206
βάσιν, ὡς τὰ εἰρημένα· αἱ γὰρ κατὰ τὰ τελευταῖα
ἐκτάσεις μεγαλοπρεπεῖς, ὡς τὰ Θουκυδίδου, Ἀχε- 10
λῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους καὶ
τὰ ἑξῆς.

Φευκτέον οὖν καὶ τὰς τῶν μακρῶν στοιχείων συμ- 207
πλήξεις ἐν τῷ χαρακτῆρι τούτῳ καὶ τῶν διφθόγγων·
ὀγκηρὸν γὰρ πᾶσα ἔκτασις. καὶ εἴ που βραχέα συγ- 15
κρουστέον βραχέσιν, ὡς πάντα μὲν τὰ νέα καλά
ἐστιν, ἢ βραχέα μακροῖς, ὡς ἠέλιος, ἢ ἅμως γέ πως
διὰ βραχέων· καὶ ὅλως ἐμφαίνεται εὐκαταφρόνητος ὁ
τοιοῦτος τρόπος τῆς λέξεως καὶ ἰδιωτικός, καὶ αὐτὰ
ταῦτα πεποιημένος. 20

Φευγέτω δὴ καὶ τὰ σημειώδη σχήματα· πᾶν γὰρ 208
τὸ παράσημον ἀσύνηθες καὶ οὐκ ἰδιωτικόν. τὴν δὲ 91
ἐνάργειαν καὶ τὸ πιθανὸν μάλιστα ὁ χαρακτὴρ οὗτος
ἐπιδέξεται. περὶ ἐναργείας οὖν καὶ περὶ πιθανότητος
λεκτέον. 25

ΠΕΡΙ ΕΝΑΡΓΕΙΑΣ.

Πρῶτον δὲ περὶ ἐναργείας· γίνεται δ' ἡ ἐνάργεια 209
πρῶτον μὲν ἐξ ἀκριβολογίας καὶ τοῦ παραλείπειν μηδὲν 92
μηδ' ἐκτέμνειν, οἷον ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς
καὶ πᾶσα αὕτη ἡ παραβολή· τὸ γὰρ ἐναργὲς ἔχει ἐκ τοῦ 30
πάντα εἰρῆσθαι τὰ συμβαίνοντα, καὶ μὴ παραλελεῖφθαι
μηδέν.

www.libtool.com.cn
Digitized by Google

210 *Καὶ ἡ ἱπποδρομία δὲ ἡ ἐπὶ Πατρόκλῳ, ἐν οἷς λέγει, πνοιῇ δ' Εὐμήλοιο μετάφρενον.*

καὶ

αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἔϊκτην.

5 *πάντα ταῦτ' ἐναργῆ ἐστιν ἐκ τοῦ μηδὲν παραλελεῖφθαι τῶν τε συμβαινόντων καὶ συμβάντων.*

211 *Ὥστε πολλάκις καὶ ἡ διλογία ἐνάργειαν ποιεῖ μᾶλλον, ἢ τὸ ἅπαξ λέγειν, ὥσπερ τὸ σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς, καὶ νῦν ἀποθανόντα*

10 *γράφεις κακῶς. δὶς γὰρ κείμενον τὸ κακῶς ἐναργεστέραν σημαίνει τὴν βλασφημίαν.*

212 *Ὅπερ δὲ τῷ Κτησίᾳ ἐγκαλοῦσιν ὡς ἀδολεσχοτέρῳ διὰ τὰς διλογίας, πολλαχῆ μὲν ἴσως ἐγκαλοῦσιν ὀρθῶς, πολλαχῆ δὲ οὐκ αἰσθάνονται τῆς ἐναργείας τοῦ ἀν-*

15 *δρός· τίθεται γὰρ ταὐτὸ διὰ τὸ πολλάκις ποιεῖν ἔμφασιν πλείονα.*

213 *Οἷα τὰ τοιάδε, Στρυάγλιός τις, ἀνὴρ Μῆδος, γυναῖκα Σακίδα καταβαλὼν ἀπὸ τοῦ*

93 *ἵππου· μάχονται γὰρ δὴ αἱ γυναῖκες ἐν Σά-*

20 *καις ὥσπερ αἱ Ἀμαζόνες· θεασάμενος δὴ τὴν Σακίδα εὐπρεπῆ καὶ ὡραίαν μεθῆκεν ἀποσώζεσθαι· μετὰ δὲ τοῦτο σπουδῶν γενομένων, ἐρασθεὶς τῆς γυναικὸς ἀπετύγχανεν· ἐδέδοκτο μὲν αὐτῷ ἀποκαρτερεῖν· γράφει*

25 *δὲ πρότερον ἐπιστολὴν τῇ γυναικὶ μεμφόμενος τοιάνδε· Ἐγὼ μὲν σὲ ἔσωσα, καὶ σὺ μὲν δι' ἐμὲ ἐσώθης· ἐγὼ δὲ διὰ σὲ ἀπωλόμην.*

214 *Ἐνταῦθα ἐπιτιμήσειεν ἂν ἴσως τις βραχυλόγος οἰό-*

30 *μενος εἶναι, ὅτι δὶς ἐτέθη πρὸς οὐδὲν τὸ ἔσωσα καὶ δι' ἐμὲ ἐσώθης. ταὐτὸν γὰρ σημαίνει ἀμφότερα. ἀλλ' εἰ ἀφέλοις θάτερον, συναφαιρήσεις καὶ τὴν ἐνάρ-*

www.tiboo1.com.cn

Digitized by Google

γειαν καὶ τὸ ἐκ τῆς ἐναργείας πάθος. καὶ τὸ ἐπιφερόμενον δέ, τὸ ἀπωλόμην ἀντὶ τοῦ ἀπόλλυμαι ἐναργέστερον αὐτῇ τῇ συντελείᾳ ἐστί· τὸ γὰρ δὴ γεγονὸς δεινότερον τοῦ μέλλοντος ἢ γινομένου ἔτι.

Καὶ ὅλως δὲ ὁ ποιητὴς οὗτος (ποιητὴν γὰρ αὐτὸν 215
καλοίη τις εἰκότως) ἐναργείας δημιουργός ἐστιν ἐν τῇ 6
ραφῇ συμπάσῃ.

Οἷον καὶ ἐν τοῖς τοιοῖσδε· δεῖ τὰ γενόμενα οὐκ εὐ- 216
θὺς λέγειν, ὅτι ἐγένετο, ἀλλὰ κατὰ μικρόν, κρεμνῶντα
τὸν ἀκροατὴν καὶ ἀναγκάζοντα συναγωνιᾶν. τοῦτο ὁ 10
Κτησίας ἐν τῇ ἀγγελίᾳ τῇ περὶ Κύρου τεθνεῶτος ποιεῖ. 94
ἐλθὼν γὰρ ὁ ἄγγελος οὐκ εὐθὺς λέγει ὅτι ἀπέθανε Κῦρος
παρὰ τὴν Παρυσάτιν· τοῦτο γὰρ ἡ λεγομένη ἀπὸ Σκυ-
θῶν ῥῆσίς ἐστιν· ἀλλὰ πρῶτον μὲν ἤγγειλεν, ὅτι νικᾷ,
ἡ δὲ ἥσθη καὶ ἠγωνίασε· μετὰ δὲ τοῦτο ἐρωτᾷ, βασι- 15
λεὺς δὲ πῶς πράττει; ὁ δὲ πέφευγέ φησι· καὶ ἡ ὑπο-
λαβοῦσα· Τισσαφέρνης γὰρ αὐτῷ τούτων αἴτιος· καὶ
πάλιν ἐπανερωτᾷ· Κῦρος δὲ ποῦ νῦν; ὁ δὲ ἄγγελος
ἀμείβεται, ἔνθα χρὴ τοὺς ἀγαθοὺς ἄνδρας αὐλίζεσθαι.
κατὰ μικρὸν καὶ κατὰ βραχὺ προϊὼν μόλις, τὸ δὴ λεγό- 20
μενον, ἀπέρρηξεν αὐτό, μάλα ἠθικῶς καὶ ἐναργῶς τόν
τε ἄγγελον ἐμφήνας ἀκουσίως ἀγγελοῦντα τὴν συμφο-
ράν, καὶ τὴν μητέρα εἰς ἀγωνίαν ἐμβαλὼν καὶ τὸν
ἀκούοντα.

Γίνεται δὲ καὶ ἐκ τοῦ τὰ παρεπόμενα τοῖς πράγμασι 217
λέγειν ἐνάργεια, οἷον ὡς ἐπὶ τοῦ ἀγροίκου βαδίζοντος 26
ἔφη τις, ὅτι πρόσωθεν ἤκουστο αὐτοῦ τῶν 95
ποδῶν ὁ κτύπος προσιόντος, ὡς οὐδὲ βαδίζοντος, ἀλλ' οἷόν γε λακτίζοντος τὴν γῆν.

Ὅπερ δὲ ὁ Πλάτων φησὶν ἐπὶ τοῦ Ἱπποκράτους, 218
ἐρυθριάσας [ἤδη τῇ νυκτὶ] ἤδη γὰρ ὑπέ- 31
φηνέ τι ἡμέρας, εἰς τὸ καταφανῆ αὐτὸν γε-

www.libtool.com.cn

Digitized by Google

νέσθαι. ὅτι μὲν ἐναργέστατόν ἐστι, παντὶ δῆλον· ἡ δ' ἐνάργεια γέγονεν ἐκ τῆς φροντίδος τῆς περὶ τὸν λόγον καὶ τοῦ ἀπομνημονεῦσαι, ὅτι νύκτωρ πρὸς αὐτὸν εἰσῆλθεν ὁ Ἱπποκράτης.

219 Κακοφωνία δὲ πολλάκις, ὡς τὸ κόπτ', ἐκ δ'
6 ἐγκέφαλος, καὶ πυλλὰ δ' ἄναντα, κάταντα· μεμίμηται γὰρ τῇ κακοφωνίᾳ τὴν ἀνωμαλίαν· πᾶσα δὲ μίμησις ἐναργές τι ἔχει.

220 Καὶ τὰ πεποιημένα δὲ ὀνόματα ἐνάργειαν ποιεῖ διὰ
10 τὸ κατὰ μίμησιν ἐξενηνέχθαι, ὥσπερ τὸ λάπτοντες. εἰ δὲ πίνοντες εἶπεν, οὔτ' ἐμιμεῖτο πίνοντας τοὺς κύνας, οὔτε ἐνάργεια ἄν τις ἐγίνετο. καὶ τὸ γλώσσῃσι δὲ τῷ λάπτοντες προσκείμενον ἔτι ἐναργέστερον ποιεῖ τὸν λόγον. καὶ περὶ ἐναργείας μὲν ὡς ἐν τύπῳ εἰπεῖν
15 τοσαῦτα.

221 Τὸ πιθανὸν δὲ ἐν δυοῖν, ἔν τε τῷ σαφεῖ καὶ συνήθει· τὸ γὰρ ἀσαφὲς καὶ ἀσύνηθες ἀπίθανον· λέξιν τε οὖν οὐ τὴν περιττὴν οὐδὲ ὑπέρογκον διωκτέον ἐν τῇ πιθανότητι, καὶ ὡσαύτως σύνθεσιν βεβαιοῦσαν καὶ
20 μηδὲν ἔχουσαν ῥυθμοειδές.

222 Ἐν τούτοις τε οὖν τὸ πιθανόν, καὶ ἐν ᾧ Θεόφραστός φησιν, ὅτι οὐ πάντα ἐπ' ἀκριβείας δεῖ μακρηγορεῖν, ἀλλ' ἔνια καταλιπεῖν καὶ τῷ ἀκροατῇ συνιέναι, καὶ λογίζεσθαι ἐξ αὐτοῦ· συνεὶς γὰρ τὸ ἐλλειφθὲν ὑπὸ σοῦ
25 οὐκ ἀκροατὴς μόνον, ἀλλὰ καὶ μάρτυς σου γίνεται, καὶ ἅμα εὐμενέστερος. συνετὸς γὰρ ἑαυτῷ δοκεῖ διὰ σὲ τὸν ἀφορμὴν παρεσχηκότα αὐτῷ τοῦ συνιέναι, τὸ δὲ πάντα ὡς ἀνοήτῳ λέγειν καταγινώσκοντι ἔοικε τοῦ ἀκροατοῦ.

29 ΠΩΣ ΔΕΙ ΕΠΙΣΤΕΛΛΕΙΝ.

223 Ἐπεὶ δὲ καὶ ὁ ἐπιστολικὸς χαρακτὴρ δεῖται ἰσχνό-
97 τητος, καὶ περὶ αὐτοῦ λέξομεν. Ἀρτέμων μὲν οὖν ὁ τὰς

Ἀριστοτέλους ἀναγράψας ἐπιστολάς φησιν, ὅτι δεῖ ἐν τῷ αὐτῷ τρόπῳ διάλογόν τε γράφειν καὶ ἐπιστολάς· εἶναι γὰρ τὴν ἐπιστολὴν οἷον τὸ ἕτερον μέρος τοῦ διαλόγου.

www.libtool.com.cn

Καὶ λέγει μέν τι ἴσως, οὐ μὴν ἅπαν· δεῖ γὰρ ὑπο- 224
κατεσκευάσθαι πως μᾶλλον τοῦ διαλόγου τὴν ἐπιστολήν· 6
ὁ μὲν γὰρ μιμεῖται αὐτοσχεδιάζοντα, ἡ δὲ γράφεται καὶ δῶρον πέμπεται τρόπου τινά.

Τίς γοῦν οὕτως ἂν διαλεχθείη πρὸς φίλον, ὥσπερ 225
ὁ Ἀριστοτέλης πρὸς Ἀντίπατρον ὑπὲρ τοῦ φυγάδος 10
γράφων τοῦ γέροντός φησιν· εἰ δὲ πρὸς ἁπάσας οἴχεται γᾶς φυγὰς οὗτος, ὥστε μὴ κατάγειν, δῆλον ὡς τοῖσγε εἰς Ἅιδου κατελθεῖν βουλομένοις οὐδεὶς φθόνος· ὁ γὰρ οὕτω διαλεγόμενος ἐπιδεικνυμένῳ ἔοικε μᾶλλον, οὐ λαλοῦντι. 15

Καὶ λύσεις ἰσχναί ὁποῖαι * * οὐ πρέπουσιν ἐπιστο- 226
λαῖς· ἀσαφὲς γὰρ ἐν γραφῇ ἡ λύσις, καὶ τὸ μιμητικὸν οὐ γραφῆς οὕτως οἰκεῖον, ὡς ἀγῶνος, οἷον ὡς ἐν τῷ Εὐθυδήμῳ· τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν 98
Λυκείῳ διελέγου· ἦ πολὺς ὑμᾶς ὄχλος πε- 20
ριειστήκει· καὶ μικρὸν προελθὼν ἐπιφέρει, ἀλλά μοι ξένος τις φαίνεται εἶναι, ᾧ διελέγου· τίς ἦν; ἡ γαρ τοιαύτη πᾶσα ἑρμηνεία καὶ μίμησις ὑποκριτῇ πρέπει μᾶλλον, οὐ γραφομέναις ἐπιστολαῖς.

Πλεῖστον δὲ ἐχέτω τὸ ἠθικὸν ἡ ἐπιστολή, ὥσπερ 227
καὶ ὁ διάλογος· σχεδὸν γαρ εἰκόνα ἕκαστος τῆς ἑαυτοῦ 26
ψυχῆς γράφει τὴν ἐπιστολήν. καὶ ἔστι μὲν καὶ ἐξ ἄλλου λόγου παντὸς ἰδεῖν τὸ ἦθος τοῦ γράφοντος, ἐξ οὐδενὸς δὲ οὕτως, ὡς ἐπιστολῆς.

Τὸ δὲ μέγεθος συνεστάλθω τῆς ἐπιστολῆς, ὥσπερ 228
καὶ ἡ λέξις. αἱ δὲ ἄγαν μακραί, καὶ προσέτι κατὰ τὴν 31
ἑρμηνείαν ὀγκωδέστεραι, οὐ μὰ τὴν ἀλήθειαν ἐπιστολαὶ

Digitized by Google

γένοιντο ἄν, ἀλλὰ συγγράμματα, τὸ χαίρειν ἔχοντα προσγεγραμμένον, καθάπερ τοῦ Πλάτωνος πολλαὶ καὶ ἡ Θουκυδίδου.

229 Καὶ τῇ συντάξει μέντοι λελύσθω μᾶλλον· γελοῖον γὰρ περιοδεύειν, ὥσπερ οὐκ ἐπιστολήν, ἀλλὰ δίκην γράφοντα· καὶ οὐδὲ γελοῖον μόνον, ἀλλ' οὐδὲ φιλικόν (τὸ γὰρ δὴ κατὰ τὴν παροιμίαν τὰ σῦκα σῦκα λεγόμενον) ἐπιστολαῖς ταῦτα ἐπιτηδεύειν.

230 Εἰδέναι δὲ χρή, ὅτι οὐχ ἑρμηνεία μόνον, ἀλλὰ καὶ πράγματά τινα ἐπιστολικά ἐστιν. Ἀριστοτέλης γοῦν ὃς 99 μάλιστα ἐπιτετευχέναι δοκεῖ τοῦ αὐτοῦ ἐπιστολικοῦ, τοῦτο δὲ οὐ γράφω σοί, φησίν· οὐ γὰρ ἦν ἐπιστολικόν.

231 Εἰ γάρ τις ἐν ἐπιστολῇ σοφίσματα γράφει καὶ φυσιολογίας, γράφει μέν, οὐ μὴν ἐπιστολὴν γράφει. φιλοφρόνησις γάρ τις βούλεται εἶναι ἡ ἐπιστολὴ σύντομος, καὶ περὶ ἁπλοῦ πράγματος ἔκθεσις, καὶ ἐν ὀνόμασιν ἁπλοῖς.

232 Κάλλος μέντοι αὐτῆς αἵ τε φιλικαὶ φιλοφρονήσεις καὶ πυκναὶ παροιμίαι ἐνοῦσαι· καὶ τοῦτο γὰρ μόνον ἐνέστω αὐτῇ σοφόν, διότι δημοτικόν τί ἐστιν ἡ παροιμία καὶ κοινόν, ὁ δὲ γνωμολογῶν καὶ προτρεπόμενος οὐ δι' ἐπιστολῆς ἔτι λαλοῦντι ἔοικεν, ἀλλὰ μηχανῆς.

233 Ἀριστοτέλης μέντοι καὶ ἀποδείξεσί που χρῆται ἐπιστολικῶς, οἷον διδάξαι βουλόμενος, ὅτι ὁμοίως χρὴ εὐεργετεῖν τὰς μεγάλας πόλεις καὶ τὰς μικράς, φησίν, οἱ γὰρ θεοὶ ἐν ἀμφοτέραις ἴσοι, ὥστ' ἐπεὶ αἱ χάριτες θεαί, ἴσαι ἀποκείσονταί σοι παρ' ἀμφοτέραις. καὶ γὰρ τὸ ἀποδεικνύμενον αὐτῷ ἐπιστολικὸν καὶ ἡ ἀπόδειξις αὐτή.

234 Ἐπεὶ δὲ καὶ πόλεσί ποτε καὶ βασιλεῦσι γράφομεν, ἔστωσαν τοιαῦται [αἱ] ἐπιστολαὶ μικρὸν ἐξηρμέναι πως.

www.kotool.com.cn
Digitized by Google

στοχαστέον γὰρ καὶ τοῦ προσώπου, ᾧ γράφεται· ἐξῃρμένη μέντοι [καὶ] οὐχ ὥστε σύγγραμμα εἶναι ἀντ' ἐπιστολῆς, ὥσπερ αἱ Ἀριστοτέλους πρὸς Ἀλέξανδρον, καὶ πρὸς τοὺς Δίωνος οἰκείους ἡ Πλάτωνος.

Καθόλου δὲ μεμιχθω ἡ ἐπιστολὴ κατὰ τὴν ἑρμηνείαν 235
ἐκ δυοῖν χαρακτήροιν τούτοιν, τοῦ τε χαρίεντος καὶ 100
τοῦ ἰσχνοῦ. καὶ περὶ ἐπιστολῆς μὲν τοσαῦτα, καὶ ἅμα 7
περὶ τοῦ χαρακτῆρος τοῦ ἰσχνοῦ.

Παράκειται δὲ καὶ τῷ ἰσχνῷ διημαρτημένος χαρα- 236
κτήρ, ὁ ξηρὸς καλούμενος. γίνεται δὲ καὶ οὗτος ἐν 10
τρισίν· ἐν διανοίᾳ μέν, ὥσπερ τις ἐπὶ Ξέρξου ἔφη, ὅτι κατέβαινεν ὁ Ξέρξης μετὰ πάντων τῶν ἑαυτοῦ. μάλα γὰρ ἐσμίκρυνε τὸ πρᾶγμα ἀντὶ τοῦ μετὰ τῆς Ἀσίας ἁπάσης εἰπεῖν, μετὰ πάντων τῶν ἑαυτοῦ φήσας. 15

Περὶ δὲ τὴν λέξιν γίνεται τὸ ξηρόν, ὅταν πρᾶγμα 237
μέγα σμικροῖς ὀνόμασιν ἀπαγγέλλῃ, οἷον ὡς ὁ Γαδαρεὺς ἐπὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας φησί, ** καὶ τοῦ Φαλάριδος τοῦ τυράννου ἔφη τις, ἄττα γὰρ ὁ Φάλα- 101
ρις ἠνώχλει τοῖς Ἀκραγαντίνοις. ναυμαχίαν 20
γὰρ τοσαύτην καὶ τυράννου ὠμότητα οὐχὶ τῷ ἄττα ὀνόματι, οὐδὲ τῷ ἠνώχλει ἐχρῆν λέγειν, ἀλλ' ἐν μεγάλοις καὶ πρέπουσι τῷ ὑποκειμένῳ πράγματι.

Ἐν δὲ συνθέσει γίνεται τὸ ξηρόν, ἤτοι ὅταν πυκνὰ 238
ᾖ τὰ κόμματα, ὥσπερ ἐν τοῖς Ἀφορισμοῖς ἔχει ὁ βίος 25
βραχύς, ἡ δὲ τέχνη μακρά, ὁ δὲ καιρὸς ὀξύς, ἡ δὲ πεῖρα σφαλερά. ἢ ὅταν ἐν μεγάλῳ πράγματι ἀποκεκομμένον ᾖ τὸ κῶλον καὶ μὴ ἔκπλεων, ὥσπερ τις Ἀριστείδου κατηγορῶν, ὅτι οὐκ ἀφίκετο εἰς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἀλλ' αὐτόκλητος, ἔφη, 30
ὅτι ἡ μὲν Δημήτηρ ἦλθε καὶ συνεναυμάχει, Ἀριστείδης δὲ οὔ. ἡ γὰρ ἀποκοπὴ καὶ ἀπρεπὴς

www.libpool.com.cn
Digitized by Google

καὶ ἄκαιρος. ταῖς μὲν τοιαύταις ἀποκοπαῖς ἐν ἑτέροις χρηστέον.

239 Πολλάκις μέντοι τὸ μὲν διανόημα αὐτὸ ψυχρόν τί ἐστι, καὶ ὡς νῦν ὀνομάζομεν κακόζηλον, ἡ σύνθεσις δ' ἀποκεκομμένη καὶ κλέπτουσα τοῦ διανοήματος τὴν ἄδειαν, ὥσπερ ἐπὶ τοῦ νεκρᾷ τῇ γυναικὶ μιχθέντος 102 ἔφη τις, ὅτι οὐ μίγνυται αὐτῆς ἄν· τὸ μὲν γὰρ διανόημα καὶ τυφλῷ δῆλόν φασιν, ἡ σύνθεσις δὲ συσταλεῖσα κλέπτει μέν πως τὴν ἄδειαν τοῦ πράγματος, ποιεῖ δὲ τὴν νῦν ὄνομα ἔχουσαν ξηροκακοζηλίαν συγκειμένην ἐκ δυοῖν κακῶν, ἐκ μὲν τῆς κακοζηλίας διὰ τὸ πρᾶγμα, ἐκ δὲ τοῦ ξηροῦ διὰ τὴν σύνθεσιν.

www.libool.com.cn

ΠΕΡΙ ΔΕΙΝΟΤΗΤΟΣ.

240 Καὶ τὰ περὶ τῆς δεινότητος δὲ δῆλα ἂν εἴη λοιπὸν ἐκ τῶν προειρημένων, ὅτι καὶ αὐτὴ γένοιτ' ἂν ἐν τρισίν, ἐν οἷσπερ οἱ πρὸ αὐτῆς χαρακτῆρες· καὶ γὰρ πράγματά τινα ἐξ ἑαυτῶν ἐστι δεινά, ὥστε τοὺς λέγοντας αὐτὰ δεινοὺς δοκεῖν, κἂν μὴ δεινῶς λέγωσι, καθάπερ ὁ Θεόπομπος τὰς ἐν τῷ Πειραιεῖ αὐλητρίας καὶ τὰ πορνεῖα καὶ τοὺς αὐλοῦντας καὶ ᾄδοντας καὶ ὀρχουμένους, ταῦτα πάντα δεινὰ ὀνόματα ὄντα, καίτοι ἀσθενῶς εἰπὼν δεινὸς δοκεῖ.

241 Κατὰ δὲ τὴν σύνθεσιν ὁ χαρακτὴρ οὗτος γίγνοιτ' ἂν πρῶτον μὲν εἰ κόμματα ἔχοι ἀντὶ κώλων· τὸ γὰρ μῆκος ἐκλύει τὴν σφοδρότητα, τὸ δὲ ἐν ὀλίγῳ πολὺ ἐμφαινόμενον δεινότερον· παράδειγμα τὸ Λακεδαιμονίων πρὸς Φίλιππον, Διονύσιος ἐν Κορίνθῳ· εἰ δὲ ἐξέτειναν αὐτό, Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς πτωχεύει ἐν Κορίνθῳ διδάσκων γράμματα, δήγημα σχεδὸν ἂν ἦν μᾶλλον ἀντὶ λοιδορίας.

242 Κἂν τοῖς ἄλλοις δὲ φύσει ἐβραχυλόγουν οἱ Λάκωνες·

Digitized by Google

δεινότερον γὰρ τὸ βραχὺ καὶ ἐπιτακτικόν, τὸ μακρηγορεῖν δὲ τῷ ἱκετεύειν πρέπει καὶ αἰτεῖν.

103
Διὸ καὶ τὰ σύμβολα ἔχει δεινότητας, ὅτι ἐμφερῆ 243
ταῖς βραχυλογίαις· καὶ γὰρ ἐκ τοῦ βραχέως ῥηθέντος
ὑπονοῆσαι τὰ πλεῖστα δεῖ, καθάπερ ἐκ τῶν συμβόλων· 5
οὕτω καὶ τὸ χαμόθεν οἱ τέττιγες ὑμῖν ᾄσονται δεινότερον ἀλληγορικῶς ῥηθέν, ἢ εἴπερ ἁπλῶς ἐρρήθη, τὰ δένδρα ὑμῶν ἐκκοπήσεται.

104
Τάς γε μὴν περιόδους ἐσφίγχθαι μάλα δεῖ κατὰ τὸ 244
τέλος· ἡ γὰρ περιαγωγὴ δεινόν, ἡ δὲ λύσις ἁπλούστε- 10
ρον καὶ χρηστοηθείας σημεῖον, καθάπερ ἡ ἀρχαία πᾶσα ἑρμηνεία· ἁπλοϊκοὶ γὰρ ἀρχαῖοι.

Ὥστε ἐν δεινότητι φεύγειν δεῖ τὸ ἀρχαιοειδὲς καὶ 245
τοῦ ἤθους καὶ τοῦ ῥυθμοῦ, καὶ καταφεύγειν μάλιστα
ἐπὶ τὴν νῦν κατέχουσαν δεινότητα. τῶν οὖν κώλων αἱ 15
τοιαῦται ἀποθέσεις, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν, ἔχονται μάλιστα οὗ εἴρηκα ῥυθμοῦ.

Ποιεῖ δέ τινα καὶ ἡ βία κατὰ τὴν σύνθεσιν δεινό- 246
τητα· δεινὸν γὰρ πολλαχοῦ καὶ τὸ δύσφθογγον, ὥσπερ 20
αἱ ἀνώμαλοι ὁδοί. παράδειγμα τὸ Δημοσθενικὸν τὸ ὑμᾶς τὸ δοῦναι ὑμῖν ἐξεῖναι.

Τὰ δὲ ἀντίθετα καὶ παρόμοια ἐν ταῖς περιόδοις 247
φευκτέον· ὄγκον γὰρ ποιοῦσιν, οὐ δεινότητα, πολλαχοῦ δὲ καὶ ψυχρότητα ἀντὶ δεινότητος, οἷον ὡς ὁ Θεό- 25
πομπος κατὰ τῶν ἑταίρων τῶν Φιλίππου λέγων ἔλυσε τῇ ἀντιθέσει τὴν δεινότητα, ἀνδροφόνοι δὲ τὴν φύσιν ὄντες, λέγων, ἀνδροπόρνοι τὸν τρόπον ἦσαν· τῇ γὰρ περισσοτεχνίᾳ, μᾶλλον δὲ κατοτεχνίᾳ προσέχων ὁ ἀκροατὴς ἔξω γίνεται θυμοῦ παντός. 30

Πολλὰ μέντοι ὑπ' αὐτῶν τῶν πραγμάτων ὥσπερ 248
105
ἀναγκασθησόμεθα συνθεῖναι στρογγύλως καὶ δεινῶς,

www.libtool.com.cn
Digitized by Google

οἷον τὸ Δημοσθενικὸν τὸ τοιοῦτον, ὥσπερ γὰρ εἴτις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει· αὐτὸ γὰρ τὸ πρᾶγμα καὶ ἡ τάξις αὐτοῦ συμπεφυκυῖαν σαφῶς ἔσχε τὴν σύνθεσιν, καὶ οὐδὲ βιασάμενος ἄν τις ῥᾳδίως ἑτέρως συνέθηκεν αὐτό. ἐν γὰρ πολλοῖς πράγμασι συντίθεμεν, ὥσπερ οἱ τὰς καταβάσεις τρέχοντες, ὑπ' αὐτῶν ἑλκόμενοι τῶν πραγμάτων.

249 Ποιητικὸν δὲ δεινότητός ἐστι καὶ τὸ ἐπὶ τέλει τιθέναι τὸ δεινότατον· περιλαμβανόμενον γὰρ ἐν μέσῳ ἀμβλύνεται, καθάπερ τὸ Ἀντισθένους, σχεδὸν γὰρ ὀδυνήσει ἄνθρωπος ἐκ φρυγάνων ἀναστάς· εἰ γὰρ μετασυνθείη τις οὕτως αὐτό, σχεδὸν γὰρ ἐκ φρυγάνων ἀναστὰς ἄνθρωπος ὀδυνήσειε, καίτοι ταὐτὸν εἰπὼν οὐ ταὐτὸν ἔτι νομισθήσεται λέγειν.

250 Ἡ δὲ ἀντίθεσις, ἣν ἐπὶ τοῦ Θεοπόμπου ἔφην, οὐδ' ἐν τοῖς Δημοσθενικοῖς ἥρμοσεν, ἔνθα φησίν, ἐτέλεις, ἐγὼ δ' ἐτελούμην· ἐδίδασκες, ἐγὼ δὲ ἐφοίτων· ἐτριταγωνίστεις, ἐγὼ δὲ ἐθεώμην· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον· κακοτεχνοῦντι γὰρ ἔοικε διὰ τὴν ἀνταπόδοσιν, μᾶλλον δὲ παίζοντι, οὐκ ἀγανακτοῦντι.

251 Πρέπει δὲ τῇ δεινότητι καὶ τῶν περιόδων ἡ πυκνότης, καίτοι ἐν τοῖς λοιποῖς χαρακτῆρσιν οὐκ ἐπιτηδεία οὖσα· συνεχῶς γὰρ τιθεμένη μέτρῳ εἰκασθήσεται λεγομένῳ ἐφεξῆς, καὶ τοῦτο δεινῷ μέτρῳ, ὥσπερ οἱ χωλίαμβοι.

252 Ἅμα μέντοι πυκναὶ ἔστωσαν καὶ σύντομοι, λέγω δέ, δίκωλοί τινες, ἐπεί τοι πολύκωλοί γε οὖσαι κάλλος μᾶλλον παρέξουσιν, οὐ δεινότητα.

253 Οὕτω δ' ἡ συντομία τῷ χαρακτῆρι χρήσιμον, ὥστε καὶ ἀποσιωπῆσαι πολλαχοῦ δεινότερον, καθάπερ ὁ Δη-

www.jibtool.com.cn

μοσθένης· ἀλλ' ἐγὼ μέν, οὐ βούλομαι δὲ δυσχερὲς οὐδὲν εἰπεῖν, οὗτος δὲ ἐκ περιουσίας μου κατηγορεῖ. σχεδὸν [ὡς] σιωπήσας ἐνταῦθα δεινότερος παντὸς τοῦ εἰπόντος ἄν.

Καὶ νὴ τοὺς θεοὺς σχεδὸν [ἂν] καὶ ἡ ἀσάφεια πολλαχοῦ δεινότης ἐστί· δεινότερον γὰρ τὸ ὑπονοούμενον, τὸ δ' ἐξαπλωθὲν καταφρονεῖται. 254 6

Ἔστι δ' ὅπη κακοφωνία δεινότητα ποιεῖ, καὶ μάλιστα, ἐὰν τὸ ὑποκείμενον πρᾶγμα δέῃ τοιαύτης, ὥσπερ τὸ Ὁμηρικόν, τὸ 255 10

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν·

ἦν μὲν γὰρ καὶ εὐφωνοτέρως εἰπόντα σῶσαι τὸ μέτρον, 107

Τρῶες δ' ἐρρίγησαν, ὅπως ὄφιν αἰόλον εἶδον·

ἀλλ' οὔτ' ἂν ὁ λέγων δεινὸς οὕτως ἔδοξεν, οὔτε ὅφις αὐτός. 15

Τούτῳ οὖν ἑπόμενοι τῷ παραδείγματι καὶ τὰ ἄλλα προσστοχασόμεθα τὰ ὅμοια, οἷον ἀντὶ μὲν τοῦ πάντα ἂν ἔγραψεν ἔγραψεν ἄν, ἀντὶ δὲ τοῦ οὐ παρεγένετο παρεγένετο οὐχί. 256

Ἀπολήγοντες δέ ποτε καὶ εἰς συνδέσμους τὸν δὲ ἢ τὸν τε, καίτοι παραγγέλλεται φυγεῖν τὴν ἀπόληξιν τὴν τοιαύτην· ἀλλὰ πολλαχοῦ χρήσιμος τοιαύτη ἂν γένοιτο, οἷον οὐκ εὐφήμησε μέν, ἄξιον ὄντα, ἠτίμασε δέ· ὡς τὸ Σχοινόντε Σκωλόντε, ἀλλ' ἐν μὲν τοῖς Ὁμηρικοῖς μέγεθος ἐποίησεν ἡ εἰς τοὺς συνδέσμους τελευτή. 257 21 25

Ποιήσειε δ' ἄν ποτε καὶ δεινότητα, εἴ τις ὧδε εἴποι ἄν, ἔγραψε δὲ ὑπὸ τῆς ἀφροσύνης τε, ὑπὸ τῆς ἀσεβείας τε· τὰ ἱερά τε τὰ ὅσιά τε· ὅλως γὰρ ἡ λειότης καὶ τὸ εὐήκοον γλαφυρότητος ἴδια, οὐ δεινότητός ἐστιν, οὗτοι δ' οἱ χαρακτῆρες ἐναντιώτατοι δοκοῦσιν. 258 30

www.libook.com.cn
Digitized by Google

259 Καίτοι ἐστὶ πολλαχοῦ ἐκ παιδιᾶς παραμεμιγμένης
108 δεινότης ἐμφαινομένη τις, οἷον ἐν ταῖς κωμῳδίαις, καὶ
πᾶς ὁ Κυνικὸς τρόπος, ὡς τὰ Κράτητος
πήρη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι τύφῳ.

260 Καὶ τὸ Διογένους τὰ ἐν Ὀλυμπίᾳ, ὅτε τοῦ ὁπλίτου
6 δραμόντος ἐπιτρέχων αὐτὸς ἐκήρυττεν ἑαυτὸν νικᾶν τὰ
Ὀλύμπια πάντας ἀνθρώπους καλοκἀγαθίᾳ. καὶ γὰρ
γελᾶται τὸ εἰρημένον ἅμα καὶ θαυμάζεται, καὶ ῥέμα
καὶ ὑποδάκνει πως λεγόμενον.

261 Καὶ τὸ πρὸς τὸν καλὸν ῥηθὲν αὐτῷ· προσπαλαίων
11 γὰρ καλῷ παιδὶ Διογένης διεκινήθη πως τὸ αἰδοῖον,
τοῦ δὲ παιδὸς φοβηθέντος καὶ ἀποπηδήσαντος, Θάρ-
ρει, ὦ παιδίον, εἶπεν, οὐκ εἰμὶ ταύτῃ ὅμοιος.
γελοῖον γὰρ τὸ πρόχειρον τοῦ λόγου, δεινὴ δ' ἡ κευθο-
15 μένη ἔμφασις. καὶ ὅλως, συνελόντι φράσαι, πᾶν τὸ
εἶδος τοῦ Κυνικοῦ λόγου σαίνοντι ἅμα ἔοικέ τῳ καὶ
δάκνοντι.

262 Χρήσονται δ' αὐτῷ καὶ οἱ ῥήτορές ποτε, καὶ ἐχρή-
109 σαντο, Λυσίας μὲν πρὸς τὸν ἐρῶντα τῆς γραὸς λέγων,
20 ὅτι ἧς ῥᾷον ἦν ἀριθμῆσαι τοὺς ὀδόντας ἢ τοὺς
δακτύλους· καὶ γὰρ δεινότατον ἅμα καὶ γελοιότατον
ἐνέφηνε τὴν γραῦν· Ὅμηρος δὲ τὸ Οὔτιν ἐγὼ πύμα-
τον ἔδομαι, ὡς προγέγραπται.

263 Ὡς δ' ἂν καὶ ἐκ σχημάτων γίγνοιτο δεινότης, λέξο-
25 μεν. ἐκ μὲν οὖν τῶν τῆς διανοίας σχημάτων, ἐκ μὲν
τῆς παραλείψεως ὀνομαζομένης οὕτως· Ὄλυνθον μὲν
δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ
τριάκοντα πόλεις τὰς ἐπὶ Θράκης ἐῶ· ἐν γὰρ
τούτοις καὶ εἰρηκε πάντα, ὅσα ἐβούλετο, καὶ παραλι-
30 πεῖν αὐτά φησιν, ὡς δεινότερα εἰπεῖν ἔχων ἕτερα.

264 Καὶ ἡ εἰρημένη δὲ ἀποσιώπησις τοῦ αὐτοῦ ἤθους
ἐχομένη δεινότερον ποιήσει τὸν λόγον.

www.libook.com.cn
Digitized by Google

Παραλαμβάνοιτο δ' ἂν σχῆμα διανοίας πρὸς δεινό- 265
τητα προσωποποιΐα καλουμένη, οἷον δόξατε ὑμῖν 110
τοὺς προγόνους ὀνειδίζειν καὶ λέγειν τάδε
τινὰ ἢ τὴν Ἑλλάδα ἢ τὴν πατρίδα, λαβοῦσαν
γυναικὸς σχῆμα.

www.libtool.com.cn

Ὥσπερ ἐν τῷ ἐπιταφίῳ Πλάτων τὸ ὦ παῖδες, ὅτι 266
μέν ἐστε πατέρων ἀγαθῶν, καὶ οὐκ ἐκ τοῦ ἰδίου
προσώπου λέγειν, ἀλλὰ ἐκ τοῦ τῶν πατέρων· πολὺ γὰρ
ἐναργέστερα καὶ δεινότερα φαίνεται ὑπὸ τῶν προσώ-
πων, μᾶλλον δὲ δράματα ἀτεχνῶς γίνεται.

Τὰ μὲν εἴδη τῆς διανοίας καὶ σχήματα λαμβάνοιτ' 267
ἄν, ὡς εἴρηται· καὶ γὰρ τοσαῦτα τὰ εἰρημένα παρα-
δείγματος ἕνεκα, τὰ δὲ τῆς λέξεως σχήματα ποικιλότε-
ρον ἐκλέγοντά ἐστι δεινότερον ποιεῖν τὸν λόγον, ἔκ τε
τῆς ἀναδιπλώσεως, ὡς Θῆβαι δέ, Θῆβαι, πόλις 15
ἀστυγείτων, ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπα-
σται. διλογηθὲν γὰρ τὸ ὄνομα δεινότητα ποιεῖ.

Καὶ ἐκ τῆς ἀναφορᾶς καλουμένης, ὡς τὸ ἐπὶ σαυ- 268
τὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν
δημοκρατίαν καλεῖς. τὸ δὲ σχῆμα τὸ εἰρημένον 20
τοῦτο τριπλοῦν· καὶ γὰρ ἐπαναφορά ἐστιν, ὡς εἴρηται
διὰ τὸ τὴν αὐτὴν λέξιν ἐπαναφέρεσθαι ἐπὶ τὴν αὐτὴν
ἀρχήν, καὶ ἀσύνδετον· δίχα γὰρ συνδέσμων λέλεκται,
καὶ ὁμοιοτέλευτον διὰ τὴν ἀπόληξιν τοῦ καλεῖς πολ-
λάκις. καὶ δεινότης ἤθροισται ἐκ τῶν τριῶν, εἰ δ' εἴποι 111
τις οὕτως, ἐπὶ σαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημο- 26
κρατίαν καλεῖς, ἅμα τοῖς σχήμασιν ἐξαιρήσει καὶ τὴν
δεινότητα.

Μάλιστα δὲ πάντων ἰστέον τὴν διάλυσιν δεινότητος 269
ἐργάτην, οἷον πορεύεται διὰ τῆς ἀγορᾶς τὰς γνά- 30
θους φυσῶν, τὰς ὀφρῦς ἐπηρκώς, ἴσα βαίνων

Digitized by Google

Πυθοκλεῖ· εἰ γὰρ συναφθῇ ταῦτα συνδέσμοις, πρᾳότερα ἔσται.

270 Λαμβάνοιτ' ἂν καὶ ἡ κλῖμαξ καλουμένη, ὡς παρὰ Δημοσθένει τὸ οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἐγράψαμεν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους· σχεδὸν γὰρ ἐπαναβαίνοντι ὁ λόγος ἔοικεν ἐπὶ [μειζόνων] μείζονα· εἰ δὲ οὕτως εἶποι τις ταῦτα, εἰπὼν ἐγὼ καὶ γράψας ἐπρέσβευσά τε καὶ ἔπεισα Θηβαίους, διήγημα ἐρεῖ μόνον, δεινὸν δὲ οὐδέν.

271 Καθόλου δὲ τῆς λέξεως τὰ σχήματα καὶ ὑπόκρισιν καὶ ἀγῶνα παρέχει τῷ λέγοντι, μάλιστα τὸ διαλελυμένον, τουτέστι δεινότητα. καὶ περὶ μὲν τῶν σχημάτων
112 ἀμφοτέρων τοσαῦτα.

272 Λέξις δὲ λαμβανέσθω πᾶσα, ὅση καὶ ἐν τῷ μεγαλο-
16 πρεπεῖ χαρακτῆρι, πλὴν οὐκ ἐπὶ τὸ αὐτὸ τέλος· καὶ γὰρ μεταφέροντά ἐστι δεινὰ ποιεῖν, ὡς τὸ τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν.

273 Καὶ εἰκασίας λέγοντα, ὡς τὸ Δημοσθένους, τοῦτο
20 τὸ ψήφισμα τὸν τότ' ἐπιόντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος.

274 Αἱ παραβολαὶ δὲ τῇ δεινότητι οὐκ ἐπιτήδειαι διὰ τὸ μῆκος, οἷον τὸ ὥσπερ δὲ κύων γενναῖος, ἄπειρος, ἀπροονήτως ἐπὶ κάπρον φέρεται· κάλλος
113 γὰρ καὶ ἀκρίβειά τις ἐν τούτοις ἐμφαίνεται, ἡ δὲ δεινό-
26 της σφοδρόν τι βούλεται καὶ σύντομον, καὶ ἐγγύθεν πλήττουσιν ἔοικεν.

275 Γίνεται δὲ καὶ ἐκ συνθέτου ὀνόματος δεινότης, ὥσπερ καὶ ἡ συνήθεια συντίθησι δεινῶς πολλά, τὴν χαμαι-
30 τύπην καὶ τὸν παραπλῆγα καὶ εἴ τι ἄλλο τοιοῦτον· καὶ παρὰ τοῖς ῥήτορσι δὲ πολλὰ ἄν τις εὕροι τοιαῦτα.

276 Πειρᾶσθαι δὲ τὰ ὀνόματα πρεπόντως λέγειν τοῖς

www.libool.com.cn
Digitized by Google

πράγμασιν, οἷον ἐπὶ μὲν τοῦ βίᾳ καὶ πανουργίᾳ δράσαντος διεβιάσατο, ἐπὶ δὲ τοῦ βίᾳ καὶ φανερῶς καὶ μετὰ ἀπονοίας ἐξέκοψεν, ἐξεῖλεν, ἐπὶ δὲ τοῦ δολίως καὶ λαθραίως ἐτρύπησεν ἢ διέφυγεν, ἢ εἴ τι τοιοῦτον πρόσφορον τοῖς πράγμασιν ὄνομα.

Τὸ δὲ ἐξαίρεσθαί πως λαμβανόμενον οὐ μέγεθος 277
ποιεῖ μόνον, ἀλλὰ καὶ δεινότητα, ὡς τὸ οὐ λέγειν εἶσω τὴν χεῖρα ἔχοντα δεῖ, Αἰσχίνη, ἀλλὰ πρεσβεύειν εἶσω τὴν χεῖρα ἔχοντα.

Καὶ τὸ ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετερι- 278
ζόμενος· οὐ γὰρ ὑπὲρ τοῦ μέγαν ποιῆσαι τὸν λόγον ἡ ἐπανάστασις, ἀλλ' ὑπὲρ τοῦ δεινόν. γίνεται δὲ τοῦτο ἐπὰν μεταξὺ ἐξαρθέντες κατηγορῶμέν τινος· ὥσπερ γὰρ Αἰσχίνου κατηγορία, τὸ δὲ Φιλίππου ἐστίν.

Δεινὸν δὲ καὶ τὸ ἐρωτῶντα τοὺς ἀκούοντας ἕνια λέ- 279
γειν, καὶ μὴ ἀποφαινόμενον, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, πότερον ταῦτα ποιῶν ἠδίκει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; καθάπερ γὰρ εἰς ἀπορίαν ἄγει τὸν ἀκούοντα ἐξελεγχομένῳ ἐοικότα καὶ μηδὲν ἀποκρίνασθαι ἔχοντι· εἰ δὲ ὧδε μεταβαλὼν ἔφη τις, ἠδίκει καὶ ἔλυε τὴν εἰρήνην, σαφῶς διδάσκοντι ἐῴκει καὶ οὐκ ἐλέγχοντι.

Ἡ δὲ καλουμένη ἐπιμονὴ ἐστὶ μὲν ἑρμηνεία πλείων 280
τοῦ πράγματος, μέγιστα δὲ συμβάλοιτ' ἂν εἰς δεινότητα· παράδειγμα δὲ αὐτῆς τὸ Δημοσθένους, νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα· ** οὐκ ἂν οὕτως ἦν δεινόν.

Τάχα δὲ καὶ ὁ εὐφημισμὸς καλούμενος μετέχοι τῆς 281
δεινότητος, καὶ ὁ τὰ δύσφημα εὔφημα ποιῶν, καὶ τὰ ἀσεβήματα εὐσεβήματα, οἷον ὡς ὁ τὰς Νίκας τὰς χρυσᾶς χωνεύειν κελεύων καὶ καταχρῆσθαι τοῖς χρήμασιν

εἰς τὸν πόλεμον οὐχ οὕτως εἶπε προχείρως, ὅτι κατακόψωμεν τὰς Νίκας εἰς τὸν πόλεμον· δύσφημον γὰρ ἂν οὕτω καὶ λοιδοροῦντι ἐοικὸς ἦν τὰς θεάς, ἀλλ' εὐφημότερον, ὅτι συγχρησόμεθα ταῖς Νίκαις εἰς τὸν πόλεμον· οὐ γὰρ κατακόπτοντι τὰς Νίκας ἔοικεν οὕτω ῥηθέν, ἀλλὰ συμμάχους μεταποιοῦντι.

282 Δεινὰ δὲ καὶ τὰ Δημάδεια, καίτοι ἴδιον καὶ ἄτοπον τρόπον ἔχειν δοκοῦντα, ἔστι δὲ αὐτῶν ἡ δεινότης ἔκ τε τῶν ἐμφάσεων γινομένη, καὶ ἐξ ἀλληγορικοῦ τινος παραλαμβανομένου, καὶ τρίτον ἐξ ὑπερβολῆς.

283 Οἷόν ἐστι τὸ οὐ τέθνηκεν Ἀλέξανδρος, ὦ ἄνδρες Ἀθηναῖοι· ὤξε γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ. τὸ μὲν γὰρ ὤξεν ἀντὶ τοῦ ἠσθάνετο ἀλληγορικὸν καὶ ὑπερβολικὸν ἅμα, τὸ δὲ τὴν οἰκουμένην αἰσθάνεσθαι ἐμφατικὸν τῆς δυνάμεως τῆς Ἀλεξάνδρου, καὶ ἅμα δέ τι ἐκπληκτικὸν ἔχει ὁ λόγος ἠθροισμένον ἐκ τῶν τριῶν· πᾶσα δὲ ἔκπληξις δεινόν, ἐπειδὴ φοβερόν.

284 Τοῦ δὲ αὐτοῦ εἴδους καὶ τὸ ὅτι τοῦτο τὸ ψήφισμα οὐκ ἐγὼ ἔγραψα, ἀλλ' ὁ πόλεμος 116 τῷ Ἀλεξάνδρου δόρατι γράφων, καὶ τὸ ἔοικε γὰρ ἡ Μακεδονικὴ δύναμις, ἀπολωλεκυῖα τὸν Ἀλέξανδρον, τῷ Κύκλωπι τετυφλωμένῳ.

285 Καὶ ἀλλαχοῦ που, πόλιν, οὐ τὴν ἐπὶ προ- 26 γόνων τὴν ναύμαχον, ἀλλὰ γραῦν, σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφῶσαν· τὸ μὲν γὰρ γραῦν ἀλληγοροῦν ἀντὶ τοῦ ἀσθενῆ καὶ ἐξίτηλον ἤδη, καὶ ἅμα ἐμφαῖνον τὴν ἀδρανίαν αὐτῆς ὑπερβολικῶς· τὸ δὲ πτισάνην ῥοφῶσαν, ἐπεὶ ἐν κρεανομίαις τότε καὶ πανδαισίαις διάγουσαν ἀπολλύειν τὰ στρατιωτικὰ χρήματα.

Digitized by Google

Περὶ μὲν οὖν τῆς Δημαδείου δεινότητος ἀρκεῖ το- 286
σαῦτα, καίτοι ἐχούσης τι ἐπισφαλὲς καὶ οὐκ εὐμίμητον
μάλα· ἔνεστι γάρ τι καὶ ποιητικὸν τῷ εἴδει, εἴγε ποιη-
τικὸν ἡ ἀλληγορία καὶ ὑπερβολὴ καὶ ἔμφασις, ποιητικὸν
δὲ μικτὸν κωμῳδίας. 5

www.libtool.com.cn

ΠΕΡΙ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ.

Τὸ δὲ καλούμενον ἐσχηματισμένον ἐν λόγῳ οἱ νῦν 287
ῥήτορες γελοίως ποιοῦσι καὶ μετὰ ἐμφάσεως ἀγεννοῦς 117
ἅμα καὶ οἷον ἀναμνηστικῆς, ἀληθινὸν δὲ σχῆμά ἐστι
λόγου μετὰ δυοῖν τούτοιν λεγόμενον, εὐπρεπείας καὶ 10
ἀσφαλείας.

Εὐπρεπείας μέν, οἷον ὡς Πλάτων Ἀρίστιππον καὶ 288
Κλεόμβροτον λοιδορεῖσθαι θελήσας, ἐν Αἰγίνῃ ὀψοφα-
γοῦντας δεδεμένου Σωκράτους Ἀθήνησιν ἐπὶ πολλὰς
ἡμέρας, καὶ μὴ διαλύσαντας τὸν ἑταῖρον καὶ διδάσκα- 15
λον, καίτοι οὐχ ὅλους ἀπέχοντας διακοσίους σταδίους
τῶν Ἀθηνῶν. ταῦτα πάντα διαρρήδην μὲν οὐκ εἶπεν· 118
λοιδορία γὰρ ἦν ὁ λόγος, εὐπρεπῶς δέ πως τόνδε τὸν
τρόπον. ἐρωτηθεὶς γὰρ ὁ Φαίδων τοὺς παρόντας Σω-
κράτει, καὶ καταλέξας ἕκαστον, ἐπανερωτηθείς, εἰ καὶ 20
Ἀρίστιππος καὶ Κλεόμβροτος παρῆσαν, οὔ, φησίν, ἐν
Αἰγίνῃ γὰρ ἦσαν· πάντα γὰρ τὰ προειρημένα ἐμ-
φαίνεται τῷ ἐν Αἰγίνῃ ἦσαν· καὶ πολὺ δεινότερος
ὁ λόγος δοκεῖ τοῦ πράγματος αὐτοῦ ἐμφαίνοντος τὸ δει-
νόν, οὐχὶ τοῦ λέγοντος. τοὺς μὲν οὖν ἀμφὶ τὸν Ἀρί- 25
στιππον καὶ λοιδορῆσαι ἴσως ἀκινδύνου ὄντος ἐν σχή-
ματι ὁ Πλάτων ἐλοιδόρησε.

Πολλάκις δὲ ἢ πρὸς τύραννον, ἢ ἄλλως βίαιόν 289
τινα διαλεγόμενοι καὶ ὀνειδίσαι ὁρμῶντες χρήζομεν ἐξ
ἀνάγκης σχήματος λόγου, ὡς Δημήτριος ὁ Φαληρεὺς 30

Digitized by Google

πρὸς Κρατερὸν τὸν Μακεδόνα ἐπὶ χρυσῆς κλίνης καθεζόμενον μετέωρον, καὶ ἐν πορφυρᾷ χλαμύδι, καὶ ὑπερηφάνως ἀποδεχόμενον τὰς πρεσβείας τῶν Ἑλλήνων, σχηματίσας εἶπεν ὀνειδιστικῶς, ὅτι ὑπεδεξάμεθά ποτε πρεσβεύοντας ἡμεῖς τοῦσδε καὶ Κρατερὸν τοῦτον· ἐν γὰρ τῷ δεικτικῷ τῷ τοῦτον ἐμφαίνεται ἡ ὑπερηφανία τοῦ Κρατεροῦ πᾶσα ὠνειδισμένη ἐν σχήματι.

119 290 Τοῦ αὐτοῦ εἴδους ἐστὶ καὶ τὸ Πλάτωνος πρὸς Διονύσιον ψευσάμενον καὶ ἀρνησάμενον, ὅτι ἐγώ σοι Πλάτων οὐδὲν ὡμολόγησα, σὺ μέντοι, νὴ τοὺς θεούς. καὶ γὰρ ἐλήλεγκται ἐψευσμένος, καὶ ἔχει τι ὁ λόγος σχῆμα μεγαλεῖον ἅμα καὶ ἀσφαλές.

291 Πολλαχῆ μέντοι καὶ ἐπαμφοτερίζουσιν, οἷς ἐοικέναι εἴ τις ἐθέλοι καὶ ψόγους, εἰκαιοψόγους εἶναι θέλοι τις. παράδειγμα τὸ τοῦ Αἰσχίνου ἐπὶ τοῦ Τηλαυγοῦς· πᾶσα γὰρ σχεδὸν ἡ περὶ τὸν Τηλαυγῆ διήγησις ἀπορίαν παράσχοι ἄν, εἴτε θαυμασμὸς εἴτε χλευασμός ἐστι. τὸ δὲ τοιοῦτον εἶδος ἀμφίβολον, καίτοι εἰρωνεία οὐκ ὂν ἔχει τινὰ ὅμως καὶ εἰρωνείας ἔμφασιν.

120 292 Δύναιτο δ' ἄν τις καὶ ἑτέρως σχηματίζειν, οἷον οὕτως· ἐπειδὴ ἀηδῶς ἀκούουσιν οἱ δυνάστας καὶ δυνάστιδες τὰ αὐτῶν ἁμαρτήματα, παραινοῦντες αὐτοῖς μὴ ἁμαρτάνειν οὐκ ἐξ εὐθείας ἐροῦμεν, ἀλλ' ἤτοι ἑτέρους ψέξομέν τινας τὰ ὅμοια πεποιηκότας, οἷον πρὸς Διονύσιον τὸν τύραννον κατὰ Φαλάριδος τοῦ τυράννου ἐροῦμεν καὶ τῆς Φαλάριδος ἀποτομίας· ἢ ἐπαινεσόμεθά τινας Διονυσίῳ τὰ ἐναντία πεποιηκότας, οἷον Γέλωνα ἢ Ἱέρωνα, ὅτι πατράσιν ἐῴκεσαν τῆς Σικελίας καὶ διδασκάλοις· καὶ γὰρ νουθετεῖται ἀκούων ἅμα καὶ οὐ λοιδορεῖται καὶ ζηλοτυπεῖ τῷ Γέλωνι ἐπαινουμένῳ καὶ ἐπαίνου ὀρέγεται καὶ οὗτος.

www.libtool.com.cn
Digitized by Google

Πολλὰ δὲ τοιαῦτα παρὰ τοῖς τυράννοις, οἷον Φί- 293
λιππος μὲν διὰ τὸ ἑτερόφθαλμος εἶναι ὠργίζετο, εἴ τις
ὀνομάσειεν ἐπ' αὐτοῦ Κύκλωπα ἢ ὀφθαλμὸν ὅλως· Ἑρ-
μείας δ' ὁ τοῦ Ἀταρνέως ἄρξας, καίτοι τἆλλα πρᾷος,
ὡς λέγεται, οὐκ ἂν ἠνέσχετο ῥᾳδίως τινὸς μαχαίριον
ὀνομάζοντος ἢ τομὴν ἢ ἐκτομὴν διὰ τὸ εὐνοῦχος εἶναι.
ταῦτα δ' εἴρηκα ἐμφῆναι βουλόμενος μάλιστα τὸ ἦθος
τὸ δυναστευτικόν, ὡς μάλιστα χρῆξον λόγου ἀσφαλοῦς,
ὃς καλεῖται ἐσχηματισμένος.

Καίτοι πολλάκις καὶ οἱ δῆμοι οἱ μεγάλοι καὶ ἰσχυροὶ 294
δέονται τοιούτου εἴδους τῶν λόγων, ὥσπερ οἱ τύραν- 11
νοι, καθάπερ ὁ Ἀθηναίων δῆμος, ἄρχων τῆς Ἑλλάδος
καὶ κόλακας τρέφων Κλέωνας καὶ Κλεοφῶντας. τὸ
μὲν οὖν κολακεύειν αἰσχρόν, τὸ δὲ ἐπιτιμᾶν ἐπισφα-
λές, ἄριστον δὲ τὸ μεταξύ, τουτέστι τὸ ἐσχηματι- 15
σμένον.

Καί ποτε αὐτὸν τὸν ἁμαρτάνοντα ἐπαινέσομεν, οὐκ 295
ἐφ' οἷς ἥμαρτεν, ἀλλ' ἐφ' οἷς οὐχ ἡμάρτηκεν, οἷον τὸν
ὀργιζόμενον, ὅτι χθὲς ἐπῃνεῖτο πρᾷος φανεὶς ἐπὶ τοῖς
τοῦ δεῖνος ἁμαρτήμασι, καὶ ὅτι ζηλωτὸς τοῖς πολίταις 20
σύνεστιν· ἡδέως γὰρ δὴ ἕκαστος μιμεῖται ἑαυτὸν καὶ
συνάψαι βούλεται ἐπαίνῳ ἔπαινον, μᾶλλον δὲ ἕνα ὁμαλῆ
ἔπαινον ποιῆσαι.

Καθόλου δὲ ὥσπερ τὸν αὐτὸν κηρὸν ὁ μέν τις κύνα 296
ἔπλασεν, ὁ δὲ βοῦν, ὁ δὲ ἵππον, οὕτω καὶ πρᾶγμα 25
ταὐτὸν ὁ μέν τις ἀποφαινόμενος καὶ κατηγορῶν φησιν,
ὅτι οἱ ἄνθρωποι χρήματα μὲν ἀπολείπουσι
τοῖς παισίν, ἐπιστήμην δὲ οὐ συναπολεί-
πουσι, τὴν χρησομένην τοῖς ἀπολειφθεῖσι·
τοῦτο δὲ τὸ εἶδος τοῦ λόγου Ἀριστίππειον λέγεται· ἕτερος 30
δὲ ταὐτὸν ὑποθετικῶς προοίσεται, καθάπερ Ξενοφῶν- 122
τος τὰ πολλά, οἷον ὅτι δεῖ γὰρ οὐ χρήματα μό-

www.libfool.com.cn
Digitized by Google

νον ἀπολιπεῖν τοῖς αὐτῶν παισίν, ἀλλὰ καὶ ἐπιστήμην τὴν χρησομένην αὐτοῖς.

297 Τὸ δὲ ἰδίως καλούμενον εἶδος Σωκρατικόν, ὃ μάλιστα δοκοῦσι ζηλῶσαι Αἰσχίνης καὶ Πλάτων, μεταρρυθμίσειεν ἂν τοῦτο τὸ πρᾶγμα τὸ προειρημένον εἰς ἐρώτησιν, ὧδέ πως, οἷον ὦ παῖ, πόσα σοι χρήματα ἀπέλιπεν ὁ πατήρ; ἢ πολλά τινα καὶ οὐκ εὐαρίθμητα; πολλά, ὦ Σώκρατες. ἆρα οὖν καὶ ἐπιστήμην ἀπέλιπέ σοι τὴν χρησομένην αὐτοῖς; ἅμα γὰρ καὶ εἰς ἀπορίαν ἔβαλε τὸν παῖδα λελῃθότως, καὶ ἀνέμνησεν ὅτι ἀνεπιστήμων ἐστί, καὶ παιδεύεσθαι προετρέψατο· ταῦτα πάντα ἠθικῶς καὶ ἐμμελῶς, καὶ οὐχὶ δὴ τὸ λεγόμενον τοῦτο ἀπὸ Σκυθῶν.

298 Εὐημέρησαν δ' οἱ τοιοῦτοι λόγοι τότε ἐξευρεθέντες τὸ πρῶτον, μᾶλλον δὲ ἐξέπληξαν τῷ τε μιμητικῷ καὶ τῷ ἐναργεῖ καὶ τῷ μετὰ μεγαλοφροσύνης νουθετικῷ. περὶ μὲν δὴ πλάσματος λόγου καὶ σχηματισμῶν ἀρκείτω ταῦτα.

ΠΕΡΙ ΛΕΙΟΤΗΤΟΣ.

299 123 Ἡ δὲ λειότης ἡ περὶ τὴν σύνθεσιν, οἵᾳ κέχρηνται μάλιστα οἱ ἀπ' Ἰσοκράτους, φυλαξάμενοι τὴν σύγκρουσιν τῶν φωνηέντων γραμμάτων, οὐ μάλα ἐπιτηδεία ἐστὶ δεινῷ λόγῳ· πολλὰ γὰρ [τὰ] ἐκ τῆς συμπλήξεως ἂν αὐτῆς γίγνοιτο δεινότερα, οἷον τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ, οὐ γὰρ ἔγωγε ἐπολιτευόμην πω τότε. εἰ δὲ μεταβαλών τις καὶ συνάψας ὧδ' εἶποι· τοῦ πολέμου γὰρ οὐ δι' ἐμὲ τοῦ Φωκικοῦ συστάντος· οὐ γὰρ ἐπολιτευόμην ἔγωγέ πω τότε, οὐκ ὀλίγον διεξαιρήσει τῆς δεινό-

τητος, ἐπεὶ πολλαχοῦ καὶ τὸ ἠχῶδες τῆς συγκρούσεως ἴσως ἔσται δεινότερον.

Καὶ γὰρ τὸ ἀφρόντιστον αὐτό, καὶ τὸ ὥσπερ αὐτο- 300
φυὲς δεινότητα παραστήσει τινά, μάλιστα ἐπὰν ὀρ-
γιζομένους ἐμφαίνωμεν αὐτοὺς ἢ ἠδικημένους. ἡ δὲ 5
περὶ τὴν λειότητα καὶ ἁρμονίαν φροντὶς οὐκ ὀργι-
ζομένου, ἀλλὰ παίζοντός ἐστι καὶ ἐπιδεικνυμένου
μᾶλλον.

Καὶ ὥσπερ τὸ διαλελυμένον σχῆμα δεινότητα ποιεῖ, 301
ὡς προλέλεκται, οὕτω ποιήσει ἡ διαλελυμένη ὅλως 10
σύνθεσις. σημεῖον δὲ καὶ τὸ Ἱππώνακτος. λοιδορῆ-
σαι γὰρ βουλόμενος τοὺς ἐχθροὺς ἔθραυσε τὸ μέτρον,
καὶ ἐποίησε χωλὸν ἀντὶ εὐθέος, καὶ ἄρυθμον, τουτ-
έστι δεινότητι πρέπον καὶ λοιδορίᾳ· τὸ γὰρ εὔρυθμον
καὶ εὐήκοον ἐγκωμίοις ἂν πρέποι μᾶλλον ἢ ψόγοις. το- 124
σαῦτα καὶ περὶ συγκρούσεως. 16

Παράκειται δέ τις καὶ τῷ δεινῷ χαρακτῆρι, ὡς τὸ 302
εἰκός, διημαρτημένος καὶ αὐτός, καλεῖται δὲ ἄχα-
ρις. γίνεται δὲ ἐν τοῖς πράγμασιν, ἐπάν τις αἰσχρὰ
καὶ δύσρητα ἀναφανδὸν λέγῃ, καθάπερ ὁ τῆς Τιμάν- 20
δρας κατηγορῶν ὡς πεπορνευκυίας, τὴν λεκανίδα καὶ
τοὺς ὀβολοὺς καὶ τὴν ψίαθον καὶ πολλήν τινα τοιαύτην
δυσφημίαν κατήρασε τοῦ δικαστηρίου.

Ἡ σύνθεσις δὲ φαίνεται ἄχαρις, ἐὰν διεσπασμένῃ 303
ἐμφερὴς ᾖ, καθάπερ ὁ εἰπών, οὑτωσὶ δ' ἔχον τὸ 25
καὶ τό, κτεῖναι. καὶ ἐπὰν τὰ κῶλα μηδεμίαν ἔχῃ
πρὸς ἄλληλα σύνδεσιν, ἀλλ' ὅμοια διερρηγμένοις. καὶ
αἱ περίοδοι δὲ αἱ συνεχεῖς καὶ μακραὶ καὶ ἀποπνίγου-
σαι τοὺς λέγοντας οὐ μόνον κατακορές, ἀλλὰ καὶ
ἀτερπές. 30

Τῇ δὲ ὀνομασίᾳ πολλάκις χαρίεντα πράγματα ὄντα 304
ἀτερπέστερα φαίνεται. καθάπερ ὁ Κλείταρχος περὶ 125

Digitized by Google

126 τῆς τενθρηδόνος λέγων, ζώου μελίσσῃ ἐοικότος· κατανέμεται μέν, φησί, τὴν ὀρεινήν, εἰσίπταται δὲ εἰς τὰς κοίλας δρῦς. ὥσπερ περὶ βοὸς ἀγρίου ἢ τοῦ Ἐρυμανθίου κάπρου λέγων, ἀλλ' οὐχὶ περὶ μελίσσης τινός, ὥστε καὶ ἄχαριν τὸν λόγον ἅμα καὶ ψυχρὸν γενέσθαι. παράκειται δέ πως ἀλλήλοις ταῦτα ἀμφότερα.

www.libook.com.cn

Digitized by Google

www.libtool.com.cn

XXXV.

ΜΕΝΑΝΔΡΟΥ ΡΗΤΟΡΟΣ

ΠΕΡΙ ΕΠΙΔΕΙΚΤΙΚΩΝ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΜΕΝΑΝΔΡΟΥ ΡΗΤΟΡΟΣ ΓΕΝΕΘΛΙΩΝ ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΕΠΙΔΕΙΚΤΙΚΩΝ.

Heeren p. 25

Τῆς ῥητορικῆς ἁπάσης τριχῶς διαιρουμένης ὡς μέ- 1
ρεσιν ἢ εἴδεσιν, ἢ ὅπως δεῖ καλεῖν, εἰς τοὺς λόγους τοὺς 128
ἐν δικαστηρίοις ὑπὲρ κοινῶν ἤτοι δημοσίων ἢ ἰδίων, καὶ 6
οὓς ἐν ἐκκλησίαις ἢ ἐν βουλαῖς διατίθενται, καὶ εἰς τρί-
τους τοὺς ἐπιδεικτικούς, οὓς δὴ ἐγκωμιαστικοὺς ἢ
ψεκτικοὺς καλοῦσιν, ἀπολογεῖσθαι συμβαίνει ὑπὲρ 26
τούτων τῶν τὴν τρίτην τάξιν εἰληφότων διδάσκουσιν 10
ὀρθῶς. μὴ τοίνυν περὶ ῥητορικῆς προσδόκα μόνον
ἀκροᾶσθαι ἐξ ἀρχῆς, κἂν ἄνωθεν ὑπὲρ πάντων μέρος
διεξιέναι σοι ἐν βραχυτάτῳ προαιρήσωμαι. σκεψώμεθα
τοίνυν τὴν μέθοδον, εἰ καθ' ὁδὸν χωρήσει.

Τῶν δὴ ἐπιδεικτικῶν τὸ μὲν ψόγος, τὸ δὲ ἔπαινος· 15
ἃς γὰρ ἐπιδείξεις λόγων πολιτικῶν οἱ σοφισταὶ καλού-
μενοι ποιοῦνται, μελέτην ἀγώνων εἶναί φαμεν, οὐκ
ἐπίδειξιν. τὸ μὲν τοῦ ψόγου μέρος ἄτμητον. ἔπαινος
δέ τις γίνεται, ὁτὲ μὲν εἰς τὰ θεῖα, ὁτὲ δὲ εἰς τὰ θνητά, 129
καὶ ὅτε μὲν εἰς θεούς, ὕμνους καλοῦμεν. καὶ τούτους 27
αὖ διαιροῦμεν κατὰ θεὸν ἕκαστον· τοὺς μὲν γὰρ εἰς 21
Ἀπόλλωνα Παιᾶνας καὶ Ὑπορχήματα ὀνομάζομεν, τοὺς
δὲ εἰς Διόνυσον Διθυράμβους καὶ Ἰοβάκχους, καὶ ὅσα
τοιαῦτα εἴρηται Διονύσου, τοὺς δὲ εἰς Ἀφροδίτην

Digitized by Google

ἐρωτικούς, τοὺς δὲ τῶν ἄλλων θεῶν ἢ τῷ λόγῳ τοῦ γένους ὕμνους καλοῦμεν γενικώτερον πρὸς Δία. ὅπως δὲ χρὴ μετιέναι τούτων τῶν εἰδῶν ἕκαστον, καὶ εἰ ἁρμόττει ὅλως τοῖς καταλογάδην συγγράφουσιν, ἢ πόσα μὲν ἁρμόττει, πόσα δ' οὔ, ἢ πόσαι μέθοδοι καθ' ἕκαστον, ἢ τίνες οἱ τρόποι, ἐπειδὰν τὸ ὅλον διελώμεθα, τηνικαῦτα καθ' ἕκαστα ἐργασόμεθα.

Τῶν δ' αὖ περὶ θνητῶν οἱ μὲν περὶ πόλεις γίνονται ἔπαινοι, οἱ δὲ περὶ ζώων. τὸ μὲν δὴ περὶ τὰς πόλεις καὶ χώρας ἄτμητον, διὸ τὰς διαφορὰς ἐν ταῖς τεχνικαῖς μεθόδοις ἐπιδειξόμεθα. [οἱ μὲν περὶ ἀθανάτων], οἱ δὲ περὶ ζώων [θνητῶν] οἱ μὲν περὶ λογικόν, ἄνθρωπον, οἱ δὲ περὶ ἀλόγων γίνονται ἔπαινοι. καὶ τὸν μὲν περὶ τὸν ἄνθρωπον μεθῶμεν, τῶν δ' αὖ περὶ τὰ ἄλογα οἱ μὲν περὶ χερσαῖα, οἱ δὲ περὶ ἔνυδρα ἔπαινοι γίνονται. καὶ τὸ μὲν περὶ τῶν ἐνύδρων πάλιν ἀποτιθέμεθα, τῶν δ' αὖ, τῶν ἐγγείων, μέρος διττόν, ἢ πτηνὸν ἢ πεζόν. ἐφ' ἅπασι δὲ τούτοις ἑξῆς [ἀνθέων καὶ φυτῶν] μέτιμεν ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα.

Αἱ μὲν οὖν διαιρέσεις τοῦ ἐπιδεικτικοῦ μέρους παντὸς πᾶσαι αὗται, οὐκ ἀγνοῶ δ' ὅτι ἐπιτηδευμάτων καὶ τεχνῶν ἤδη τινὲς ἐγκώμια γεγράφασιν, ἀλλ' ἀφ' οὗπερ ἡμῖν ὁ λόγος γίνεται περὶ τὸν ἄνθρωπον, πάντα ταῦτα δείξει, ὥστε λελήθασιν αὐτοὺς οἱ συγγράφοντες μέρος τι τοῦ παντὸς ἐγκωμίου ὡς ὅλον ἐγκώμιον συνθέντες. οὐ μὴν οὐδ' ἐκεῖνο ἀγνοῶ, ὅτι καὶ τῶν ἀλῶν καὶ τῶν τοιούτων ἤδη τινὲς τῶν πάλαι σοφιστῶν ἐπαίνους συνέγραψαν, ἀλλ' ἀφ' οὗπερ ἡμῖν ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα μεταβέβηκεν ἡ διαίρεσις, ἤδη περιείληφεν καὶ αὐτὸ τὸ μέρος. ὅπως δὲ τούτων ἕκαστον τμητέον, καὶ ὅπη ταῦτα τὰ κεφάλαια πᾶσιν ὕπεστιν, καὶ ὅπη ἑκάστῳ ἁρμόττει χρήσασθαι, ἐφεξῆς [καὶ δὴ] δείκνυμεν.

www.libtool.com.cn

Digitized by Google

ΠΕΡΙ ΤΩΝ ΤΜΝΩΝ ΤΩΝ ΕΙΣ ΤΟΤΣ ΘΕΟΤΣ. 132

Πρῶτον μὲν οὖν, ὥσπερ ἐξ ἀρχῆς διειλόμεθα, περὶ 1
τῶν ὕμνων ἐπισκεψώμεθα τῶν εἰς τοὺς θεούς. αὐτῶν 2
γὰρ δὴ τῶν ὕμνων οἱ μὲν κλητικοί, οἱ δὲ ἀποπεμπτικοί, 30
καὶ οἱ μὲν φυσικοί, οἱ δὲ μυθικοί, καὶ οἱ μὲν γενεαλογι- 5
κοί, οἱ δὲ πεπλασμένοι, καὶ οἱ μὲν εὐκτικοί, οἱ δὲ ἀπευ-
κτικοί, οἱ δὲ μικτοὶ ἢ δύο τούτων, ἢ τριῶν, ἢ πάντων
ὁμοῦ. κλητικοὶ μὲν οὖν ὁποῖοί εἰσιν οἱ πολλοὶ τῶν τε
παρὰ τῇ Σαπφοῖ ἢ Ἀνακρέοντι ἢ τοῖς ἄλλοις μετρικοῖς,
κλῆσιν ἔχοντες πολλῶν θεῶν. ἀποπεμπτικοὶ δὲ ὁποῖοι 10
καὶ παρὰ τῷ Βακχυλίδῃ ἔνιοι εὕρηνται, ἀποπομπὴν ὡς
ἀποδημίας τινὸς γενομένης ἔχοντες. φυσικοὶ δὲ οὓς οἱ
περὶ Παρμενίδην καὶ Ἐμπεδοκλέα ἐτίμησαν, τίς ἡ τοῦ 133
Ἀπόλλωνος φύσις, τίς ἡ τοῦ Διός, παρατιθέμενοι. καὶ 31
οἱ πολλοὶ τῶν Ὀρφέως τούτου τοῦ τρόπου. μυθικοὶ δὲ 15
οἱ τοὺς μύθους ἔχοντες, κατ' ἀλληγορίαν προϊόντες ψι-
λήν, οἷον Ἀπόλλων ἀνῳκοδόμησε τεῖχος, ἢ ἐθήτευσεν
Ἀδμήτῳ ὁ Ἀπόλλων ἢ τὰ τοιαῦτα. γενεαλογικοὶ δὲ οἱ
ταῖς τῶν ποιητῶν θεογονίαις ἀκολουθοῦντες, ὅταν Λη-
τοῦς μὲν τὸν Ἀπόλλωνα, Μνημοσύνης δὲ τὰς Μούσας 20
καλῶμεν. πεπλασμένοι δὲ ὅταν αὐτοὶ σωματοποιῶμεν
καὶ θεὸν καὶ γονὰς θεῶν ἢ δαιμόνων, ὥσπερ Σιμωνί-
δης αὔριον δαίμονα κέκληκε, καὶ ἕτεροι Ὄκνον, καὶ
ἕτεροι ἕτερόν τινα. εὐκτικοὶ δὲ οἱ ψιλὴν εὐχὴν ἔχοντες 134
ἄνευ τῶν ἄλλων μερῶν ὧν εἴπομεν, καὶ ἀπευκτικοὶ οἱ 25
τὰ ἐναντία ἀπευχόμενοι ψιλῶς. καὶ παρὰ τούτους τοὺς
τρόπους οὐκ ἂν ὕμνοι γίγνοιντο εἰς θεούς. τῷ δὲ μυ-
θικῷ γένει καὶ γενεαλογικῷ τὰ πολλὰ εἰώθασι χρήσα-
σθαι ἅπαντες γενέσεις διεξιόντες, καὶ ὅσοι ἀγαθῶν
ἀνθρώποις αἴτιοι κατέστησαν, ἀπὸ μύθων λαμβάνον- 32
τες. ἔστι δὲ τοῦτο ὡς ἐγώ φημι καὶ ζητῆσαι ἄξιον, πό- 30
τερον ἑνὶ τούτων ἀεὶ χρηστέον ἢ πᾶσιν ἔξεστιν, ἢ τοῖς

www.libool.com.cn

Digitized by Google

μὲν ποιηταῖς ἐξεῖναι χρὴ νομίζειν, τοῖς δὲ συγγραφεῦσιν ἢ λογοποιοῖς τοῦ μηκέτι ἐξεῖναι ἕνα καὶ ἁπλοῦν ὅρον, ὅτι πλείονα τὴν ἐξουσίαν τὴν περὶ ταῦτα ποιήσει μὲν ἡ περὶ τὸ θεῖον μερὶς ἀφορμὴ πλείστη ὑπόκειται, τῇ συγγραφῇ ἡ περὶ τὸν ἄνθρωπον. χρηστέον γε μὴν καὶ τῷ συγγραφεῖ καὶ τῷ λογογράφῳ καὶ τούτων ἑκάστῳ εἶδει καὶ ὁμοῦ πᾶσιν, ὅπη καὶ Πλάτωνα περὶ τὴν γραφὴν ἄκρον καὶ ἄριστον εἶναι πεπιστεύκαμεν, ὁρῶμεν δὲ σχεδὸν τοῦτον πᾶσι τοῖς εἴδεσι κεχρημένον, ἄλλῳ ἄλλοτε, ἀλλὰ καὶ ἐν ἑνὶ βιβλίῳ τοῖς πλείστοις αὐτῶν, ἐν τῷ Συμποσίῳ. ἃ μὲν γὰρ ὁ Φαῖδρος περὶ τοῦ Ἔρωτος γενεαλογεῖ, γενεαλογικοῦ τύπου ἂν εἴη, ἃ δὲ Ἀριστοφάνης κομψεύεται διὰ μύθου, τοῦ μυθολογικοῦ, ἃ δὲ Ἀγάθων, ὡσαύτως τοῦ μυθικοῦ, ἃ δ' αὖ Σωκράτης, αὐτὸ τοῦτο κατὰ πλάσιν (πλάττει γὰρ Πόρους καὶ Πενίας), ἐγγυτάτω τοῦ φυσιολογικοῦ. καὶ μὴν ἐν οἷς μὲν καλεῖ τὰς Μούσας ἐν τῷ Φαίδρῳ, τὸν κλητικὸν τύπον δείκνυσιν, ἐν οἷς δ' αὖ εὔχεται τῷ Πανί, τὸν εὐκτικόν. καὶ ζητῶν ἂν εὕροις πανταχοῦ κεχρημένον, εἰ δὲ μὴ πρὸς κόρον μηδ' ἐπ' ἀκριβείας, λογιστέον, ὡς ἐξ ἐλάττονος ἐξουσίας μέτεστι τῇ συγγραφῇ. πῶς δὲ ἕκαστον τούτων τῶν εἰδῶν μετιτέον τε καὶ μέχρι τίνος προσακτέον, καὶ τίς ἑρμηνεία πρέπουσα, ἐξῆς λέγειν πειράσομαι.

www.libtool.com.cn

ΠΕΡΙ ΤΩΝ ΚΛΗΤΙΚΩΝ.

*** Μέτρον μέντοι τῶν κλητικῶν ὕμνων ἐν μὲν ποιήσει ἐπιμηκέστερον. ἅμα μὲν γὰρ πολλῶν τόπων ἐκείνοις ἔξεστιν, ὡς παρὰ τῇ Σαπφοῖ καὶ τῷ Ἀλκμᾶνι πολλαχοῦ εὑρίσκομεν. τὴν μὲν γὰρ Ἄρτεμιν ἐκ μυρίων ὀρέων, μυρίων δὲ πόλεων, ἔτι δὲ ποταμῶν ἀνακαλεῖ, τὴν δὲ Ἀφροδίτην Κύπρου, Κνίδου, Συρίας, πολλαχόθεν ἀλλαχόθεν ἀνακαλεῖ. οὐ μόνον γε, ἀλλὰ καὶ τοὺς

Digitized by Google

τόπους αὐτοὺς ἔξεστι διαγράφειν, οἷον εἰ ἀπὸ ποταμῶν καλοίη, ὕδωρ ἢ ὄχθας καὶ τοὺς ὑποπεφυκότας λειμῶνας καὶ χοροὺς ἐπὶ τοῖς ποταμοῖς γινομένους καὶ τὰ τοιαῦτα προσαναγράφουσι. καὶ εἰ ἀπὸ ἱερῶν, ὡσαύτως, ὥστε ἀνάγκη μακροὺς αὐτῶν γίνεσθαι τοὺς κλητικοὺς ὕμνους. τοῖς δὲ συγγραφεῦσι βραχυτέραν τὴν περὶ ταῦτα διατριβὴν ἀναγκαῖον γίνεσθαι· οὔτε γὰρ ἐκ πολλῶν τόπων καὶ χωρίων ἀνακαλέσουσιν, οὔτε ἐφ' ἑκάστου μετὰ διαγραφῆς, ἀλλ' ὥσπερ Πλάτων, ὅσπερ ἐξηγούμενος τῷ εἴδει κέχρηται, ἄγετε δὴ Μοῦσαι λίγειαι, εἴτε δι' ᾠδῆς εἶδος μουσικόν, εἴτε διὰ γένος τὸ Λιγύων ταύτην ἐπέσχετε τὴν ἐπωνυμίαν. ὁ δὲ Ὅμηρος ἐν κλητικῷ κέχρηται τῷ εἴδει μετὰ τῆς ἰσοσυλλαβίας, ἐν οἷς ὁ Χρύσης εὔχεται τῆς Ἰλιάδος ἐν τοῖς πρώτοις,

ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.

ἓν οὖν τόδε γίνωσκε, ὡς ποιητῇ μὲν ἐξουσία πλείων, τῷ δὲ συγγραφεῖ ἐλάττων.

Ἑρμηνεία δὲ πρέπουσα, οἷα καὶ τοῖς κλητικοῖς, ἥ τε δι' ὥρας προϊοῦσα καὶ κόσμου, διόπερ τὰς διατριβὰς προσλαμβάνουσιν οἱ ποιηταί. σχήματα δὲ τὰ ἀνακλητικὰ ἁρμόττοντα. οὐ χεῖρον δ' ἴσως καὶ τὴν μέθοδον, ἣ κεχρήμεθα ἡμεῖς ἐν τῷ κλητικῷ τοῦ Ἀπόλλωνος ὕμνῳ, βιβλίῳ πως θέσθαι. ὥσπερ ἂν ὥρα ἐνείη πλείων, ἅμα τε μήτε ὑπερβαίνωμεν τὸ μέτρον [ἢ] τῷ συγγραφεῖ πρέπον, μήτε ἡ περὶ τὴν κατασκευὴν ἁβρότης ὑπερφθέγγοιτο τὴν συγγραφήν· αὐτοῖς γὰρ τοῖς ποιηταῖς τὸ πλεῖον προστεθείκαμεν, καλοῦσιν ἐκ τῶνδε τῶν τόπων, ἐγὼ δὲ οὐκ ἂν καλέσαιμι. καὶ πολλὰ ἂν εὕροις πεποικιλμένα τῇ μεθόδῳ. γίνωσκε δὲ τόδε τὸ θεώρημα οὐκ ἄχρηστον, ὅτι εἰ μὲν εὐχὴ ἐπακολουθεῖ ἐπικλήσει, ἔτι

www.libtool.com.cn

Digitized by Google

ἐλάττων ἡ διατριβὴ καὶ τοῖς ποιηταῖς καὶ τοῖς συγγραφεῦσιν· εἰ δὲ αὐτὸ τοῦτο εἴη ψιλὴ κλῆσις, πλείων ἐστί, καὶ ζητῶν ἂν εὕροις παρὰ τοῖς ποιηταῖς τὴν συνήθειαν ταύτην πεφυλαγμένην.

www.libtool.com.cn

ΠΕΡΙ ΑΠΟΠΕΜΠΤΙΚΩΝ.

4 Οἱ τοίνυν ἀποπεμπτικοί εἰσιν, ὡς καὶ τοὔνομα δηλοῖ, τοῖς κλητικοῖς ὑπεναντίοι, ἐλάχιστον δὲ τοῦτο τὸ
140 εἶδος, καὶ παρὰ τοῖς ποιηταῖς μόνον εὑρίσκεται. ἐπιλέ-
38 γονται δὲ ἀποδημίαις θεῶν νομιζομέναις ἢ γινομέναις,
10 οἷον Ἀπόλλωνος ἀποδημίαι τινὲς ὀνομάζονται παρὰ Δηλίοις καὶ Μιλησίοις, καὶ Ἀρτέμιδος παρὰ Ἀργείοις. εἰσὶ τοίνυν καὶ τῷ Βακχυλίδῃ ὕμνοι ἀποπεμπτικοί. ἀφορμὴ δ' ὑποβέβληται τοῖς τοιούτοις ὕμνοις ἡ χώρα ἣν καταλείπει, καὶ πόλεις καὶ ἔθνη, καὶ πρὸς ἣν ἅπεισι πόλιν
15 ὁμοίως ἢ χώραν, αἵ τε γραφαὶ τόπων, καὶ ὅσα τοιαῦτα. γινέσθω δὲ δι' ἡδονῆς προϊὼν ὁ λόγος· δεῖ γὰρ μετὰ ἀνειμένης τινὸς ἁρμονίας καὶ εὐμενεστέρας προπέμπεσθαι. διατριβὴν δὲ ἐνδέχεται πλείονα, οὐχ ὥσπερ οἱ κλητικοί, ἐλάττονα. ἐν μὲν γὰρ τοῖς ὅτι τάχιστα ἡμῖν
20 συνεῖναι τοὺς θεοὺς βουλόμεθα, ἐν δὲ τοῖς ὅτι βραδύτατα ἀπαλλάττεσθαι. ἀνάγκη δὲ γίνεσθαι καὶ τὴν εὐχὴν ἐπὶ ἐπανόδῳ καὶ ἐπιδημίᾳ δευτέρᾳ. ταῦτά σοι [καὶ] περὶ προπεμπτικῶν ὕμνων εἰρήσθω.

141 ΠΕΡΙ ΤΩΝ ΦΥΣΙΚΩΝ.

5 Περὶ τοίνυν τῶν φυσικῶν ἐφεξῆς ἂν εἴη, ὥσπερ
39 προεθέμεθα, λέγειν. πρῶτον τοίνυν τόδε περὶ αὐτῶν
27 ῥητέον, ὅτι ἐλάχιστα μὲν τοῖς ἀφελεστέροις τὸ εἶδος ἁρμόττει, μάλιστα δὲ τοῖς ἐμψυχοτέροις καὶ μεγαλουστέροις, ἔπειτα ὅτι ποιηταῖς μᾶλλον ἢ συγγραφεῦσιν ἢ

Digitized by Google

λογογράφοις ἢ πολιτικοῖς ἁρμόττουσιν. εἰσὶ δὲ τοιοῦτοι, ὅταν Ἀπόλλωνος ὕμνον λέγοντες ἥλιον αὐτὸν εἶναι φάσκωμεν, καὶ περὶ τοῦ ἡλίου τῆς φύσεως διαλεγώμεθα, καὶ περὶ Ἥρας ὅτι ἀήρ, καὶ Ζεὺς τὸ θερμόν· οἱ γὰρ τοιοῦτοι ὕμνοι φυσιολογικοί. καὶ χρῶνται δὲ 142
τῷ τοιούτῳ τρόπῳ Παρμενίδης τε καὶ Ἐμπεδοκλῆς ἀκρι- 6
βῶς, κέχρηται δὲ καὶ ὁ Πλάτων· ἐν τῷ Φαίδρῳ γὰρ
φυσιολογῶν ὅτι πάθος ἐστὶ τῆς ψυχῆς ὁ Ἔρως, ἀνα- 10
πτεροποιεῖ αὐτόν. αὐτῶν δὲ τῶν φυσικῶν οἱ μὲν ἐξηγηματικοί, οἱ δὲ ἐν βραχεῖ προαγόμενοι· πλεῖστον γὰρ 10
διαφέρει, ὡς εἰδότα ἀναμιμνήσκειν συμμέτρως, ἢ ὅλως ἀγνοοῦντα διδάσκειν. Παρμενίδης μὲν γὰρ καὶ Ἐμπεδοκλῆς ἐξηγοῦνται, Πλάτων δὲ ἐν βραχυτάτοις ἀνυμνεῖ. ἔτι δὲ οἱ μὲν κατ' αἰνίγματα, οἱ δὲ ἐκ τοῦ φανεροῦ προάγονται. κατ' αἰνίγματα μέν, ὁποῖοί εἰσιν οἱ Πυ- 15
θαγόρειοι φερόμενοι, ἐκ τοῦ φανεροῦ δὲ ὁποίους μικρῷ πρόσθεν ἐφάσκομεν. ὥσπερ δὲ καὶ αὐτῶν τῶν φυσιολογικῶν διαφορὰς ἐδείκνυμεν ταύτας οὔσας, οὕτω καὶ τῆς συμμετρίας διαφορὰς ὁριούμεθα. οἱ γὰρ κατ' αἰνίγματα προϊόντες βραχύτητα ἀπαιτοῦσιν, ἔτι δὲ οἱ καὶ 20
μὴ διδασκαλικοὶ ἄλλως κεφαλαιωδέστεροι. οἱ δὲ ἕτεροι
πλείστης καὶ μεγίστης διατριβῆς ἔχονται. ὁ γοῦν Πλά- 143
των ὕμνον τοῦ Παντὸς τὸν Τίμαιον καλεῖ ἐν τῷ Κρι- 41
τίᾳ, καὶ οἱ φυσικώτεροι ποιηταί, ὧν ἐπεμνήσθημεν, πραγματείας ὅλας κατέθεντο. εὐχῆς δὲ οὐδέν τι πάνυ 25
χρὴ ἐπὶ τούτων. ἐπιτηρεῖν δὲ χρὴ καὶ μὴ εἰς τὸν πολὺν ὄχλον καὶ δῆμον ἐκφέρειν τοὺς τοιούτους ὕμνους· ἀπιθανώτεροι γὰρ καὶ καταγελαστικώτεροι τοῖς πολλοῖς φαίνονται.

Ἑρμηνεία δὲ καὶ πρὸς τὸν διθύραμβον ἀνελθεῖν 30
μικρὸν διαφέρει· οὐ γάρ ἐστιν ὑπὲρ ὧν σεμνοτέρων ἄνθρωπος φθέγξαιτο.

Digitized by Google

ΠΕΡΙ ΜΥΘΙΚΩΝ.

6 Ἐξῆς ἂν εἴη περὶ τῶν μυθικῶν εἰπεῖν, οὓς ἔνιοι μὲν τοὺς αὐτοὺς εἶναι νομίζουσι τοῖς γενεαλογικοῖς,
42 ἔνιοι δὲ οὐχ οὕτως εἶναι νομίζουσι [τοῖς γενεαλογικοῖς].
144 οἱ μέν γε νομίζοντες οὐδὲν διαφέρειν καὶ τὰς γενεαλο-
6 γίας μύθους εἶναί φασιν, οἷον εἰ βούλει, ὅσα γε Ἀκουσίλεως καὶ Ἡσίοδος καὶ Ὀρφεὺς ἐν ταῖς θεογονίαις εἰρήκασιν. εἰσὶ μὲν γὰρ γενεαλογικαὶ αἵδε οὐδὲν ἧττον μυθικαί. τάδε δὲ αὖ φασιν οἱ διαφέρειν νομίζοντες, ὅτι
10 καὶ χωρὶς τῶν γενεαλογικῶν εἴησάν τινες μυθικοὶ ὕμνοι, οἷον ὅτι Διόνυσος Ἰκαρίῳ ἐπεξενώθη, ἢ ὅτι ἐν Ζωστῆρι
145 τὴν ζώνην ἐλύσατο ἡ Λητώ, ἢ ὅτι ἡ Δημήτηρ παρὰ
43 Κελεῷ ἐπεξενώθη, ἢ ὅσα ἕτερα τοιαῦτα. ταῦτα γὰρ καὶ γενεαλογίαν μὲν οὐδεμίαν εἴληφε, μυθικὴν δέ τινα
15 ἄλλην ἱστορίαν. ἃ μέντοι ἀμφότεροι λέγοντες τὰ σφῶν αὐτῶν ἑκάτεροι νικᾶν ἀξιοῦσι, σχεδὸν ἀκήκοας, ἐμοὶ δὲ δοκεῖ κάλλιον ἐν ὅρῳ εἶναι ἀκριβῶς διελέσθαι. πάσας μὲν γὰρ γενεαλογίας καὶ πάντας ὕμνους τοὺς διὰ γενεαλογικῶν διὰ μυθικῶν περιστάσεων προάγεσθαι
20 νομίζω, οὐ μὴν πάντας γε τοὺς μυθικοὺς διὰ γενεαλογίας, ὥστε τὸ μὲν τῶν μυθικῶν ὕμνων τὸ μέρος γενικώτερον ἂν εἴη, τὸ δὲ τῶν γενεαλογικῶν ἰδικώτερον. ταῦτά σοι περὶ διαφορᾶς εἴρηται, ὑπὲρ δὲ τῶν μυθικῶν χωρὶς ἀποτέμνειν μὲν χρὴ λέγειν. φημὶ δὴ τὸ πρῶ-
44 τον μὲν μηδαμῶς μετέχειν αὐτοὺς φυσιολογίας, λέγω
26 φανερᾶς· εἰ γάρ τις ἐγκεκρυμμένη καθ' ὑπόνοιαν, ὡς
146 γε πολλὰ ἔχει τῶν θείων, οὐδὲν τοῦτό γε διαφέρει. ἔπειτα εἶναι τῷ ποιητῇ μὲν ἄλλα προσφόρους· ἡ γὰρ ἐξουσία καὶ τοῦ κατὰ σχολὴν λέγειν, καὶ τὸ περιστέλ-
30 λειν τοῖς ποιητικοῖς κόσμοις καὶ ταῖς κατασκευαῖς οὔτε κόρον ουτε ἀηδίαν παρίστησι, (καίτοι οὐκ ἀγνοῶ ὡσαύτως ὅτι ἔνιοι τῶν ποιητῶν προσφέρουσι τὰς ἀκαίρους

Digitized by Google

διατριβάς), συγγραφεῦσι δὲ ἧ λογοποιοῖς ἐλαχίστη ἐξουσία. γυμνοὶ δὲ οἱ μῦθοι τιθέμενοι σφόδρα λυποῦσι καὶ ἐνοχλοῦσι τὰς ἀκοάς. δεῖ τοίνυν ὅτι βραχυτάτοις ἀπαλλάττεσθαι. παραμυθίας οὖν προσακτέον καὶ πρὸς 45
συντομίαν καὶ πρὸς ἡδονήν, πρῶτον μὲν μὴ ἀπ' εὐ- 5
θείας πάντα εἰσάγειν, ἀλλὰ τὰ μὲν παραλιπεῖν λέγοντα, τὰ δὲ συγχωρεῖν, τὰ δὲ κατὰ συμπλοκὴν εἰσάγειν, τὰ δὲ προσποιεῖσθαι ἐξηγεῖσθαι, τὰ δὲ μὴ πιστεύειν μηδὲ ἀπιστεῖν. καὶ ὅλως οὐκ ἀπορήσεις μεθόδων, ἔν γε τοῦτο θεώρημα σώζων, ὡς διατριβὴ ἀπρόσφορος. 10

Ἡ δὲ ἑρμηνεία, ὅπερ καὶ περὶ τῆς διατριβῆς ἔφα- μεν, ἐπὶ ἐλάττονος ἐξουσίας γεγενήσθω, σώζουσα μὲν 147
τὸν ἐπιδεικτικὸν κόσμον, πολὺ δὲ τοῦ διθυράμβου ἀποβεβηκυῖα. γίγνοιτο δὲ τοιαύτη, εἰ τῷ Ἰσοκράτους 46
θεωρήματι χρησόμεθα, καὶ τὸ κάλλος καὶ τὴν σεμνό- 15
τητα μὴ ἀπὸ τῶν ὀνομάτων μᾶλλον ἢ τῆς ἀρχαιότητος ἢ τοῦ μεγέθους θηρώμεθα, ἀλλ' ἀπὸ τῆς ἁρμονίας καὶ τῶν σχημάτων, ἐπεὶ αὐτό γε τοῦτο, ὃ πάντες θρυλοῦσι, *Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν* ἡμῶν καὶ τὰ ἑξῆς, τίς οὐκ οἶδεν, ὅτι τοῖς μὲν ὀνόμα- 20
σιν ἐγγὺς τοῦ πολιτικοῦ καθήκει, τῇ δὲ συνθέσει καὶ τῇ ἁρμονίᾳ καὶ τῷ σχήματι ὀλίγα καὶ [λείπει ἔνια] σε- μνότερα εἶναι δοκεῖ; καὶ τὸ *Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος* καὶ τὰ ἑξῆς τοῦ αὐτοῦ τύπου, εἰ 148
καὶ περὶ ἀνθρώπων εἴρηται. καὶ παρὰ Πλάτωνι, φήμη 25
τις καὶ λόγος διαρρεῖ, ὡς ἄρα ὁ θεὸς οὗτος ὑπὸ μητρυιᾶς οὔσης τῆς Ἥρας ἐκινήθη, καὶ πολλὰ παραδείγματα παρὰ τῷ Πλάτωνι, ὥστε εἰ σώζοις τὸ θεώρημα, φυλακτήριον ἔσται πρὸς ἀρετὴν λόγου. 47
ὅλως δὲ περὶ τῶν μυθικῶν τούτων ὕμνων περί τε ἔν- 30
νοιαν καὶ ἑρμηνείαν ἐκεῖνο ἰστέον, ὅτι τῷ ἀξιώματι κατ' ἄμφω τὸ μυθικὸν λεῖπον.

www.libtool.com.cn
Digitized by Google

ΠΕΡΙ ΓΕΝΕΑΛΟΓΙΚΩΝ.

7 Περὶ δὲ τῶν γενεαλογικῶν ἓν μὲν ἤδη τοσοῦτον
149 εἴρηται, ὡς τοὺς αὐτοὺς ᾠήθησαν, ἐπὶ τῶν μυθικῶν,
ἐν ᾧ καὶ τὴν διαφορὰν προσετίθεμεν· ἕτερον δὲ τοσοῦ-
5 τον εἰρήσεται, ὡς ἔστι σπανίως ὕμνον εὑρεῖν θεῶν, ἐν
ᾧ τὸ γενεαλογικὸν μόνον φέρεται, πλὴν εἰ μή τις ὑπο-
λαμβάνοι τὰς θεογονίας ὕμνους εἶναι τῶν θεῶν, [ἐν ᾧ
48 τὸ γενεαλογικὸν μόνον φέρεται] ὡς τὰ πολλὰ δὲ ἢ τοῖς
μυθικοῖς παρεμπλέκεται, ἢ ἄλλοις γε τῶν ὕμνων εἴδεσι
10 καὶ ἑνὶ καὶ πλείοσι. γραῶδες γὰρ καὶ δεινῶς μειρακιῶ-
δες, ὕμνον Διὸς προελόμενον πραγματείαν, μόνον γο-
νὰς ἐκδέξασθαι. ἀλλ' ἐπεὶ εὕρηται καὶ τοῦτο τὸ εἶδος
τῶν ὕμνων παρὰ τοῖς ἀρχαίοις, καὶ ἤδη τινὲς καὶ Διο-
νύσου γονὰς ὕμνησαν, καὶ Ἀπόλλωνος ἕτεροι, καὶ
15 Ἄλκαῖος Ἡφαίστου, καὶ πάλιν Ἑρμοῦ, καὶ τοῦτ' ἀπο-
τετμήμεθα τὸ μέρος. χρὴ τοίνυν, εἰ μὲν παρεμπεπλεγ-
μένον εἴη τοῖς ἄλλοις εἴδεσιν, εἰδέναι, ὅτι καὶ μῆκος
προσίεται, εἰ δὲ καθ' αὑτὸ εἴη τὸ μέρος, ὅτι βραχείας
δεῖται διατριβῆς. ἔστι δὲ ὡς ποιητῇ μὲν καθ' αὑτὸ μό-
20 νον τὸ εἶδος χρήσιμον, συγγραφεῖ δὲ οὐδέποτε. ὁ μὲν
150 γὰρ καὶ Χάριτας μαιευομένας, καὶ Ὥρας ὑποδεχομέ-
νας, καὶ τὰ τοιαῦτα πραγματεύεται, ὁ δ' ἐπ' ἀνάγκης
ὅτι βραχύτατα ἐρεῖ.

49 Ἀρετὴ δ' ἑρμηνείας ἐν τοῖς τοιούτοις καθαρότης,
25 καὶ τὸ ἀπροσκορὲς γένοιτ' ἂν ἐν ποιήσει ἐκ συμμετρίας
τῶν περιφράσεων, ἐν δὲ τῇ συγγραφῇ ἐκ τῆς ποικιλίας
τῶν κώλων. παρέσχετο δὲ τὴν μὲν ἐν ποιήσει ἀρετὴν
Ἡσίοδος, καὶ γνοίη τις ἂν μᾶλλον, εἰ τοῖς Ὀρφέως πα-
ραθείη· τὴν δὲ ἐν τῇ συγγραφῇ πολλαχοῦ μὲν Πλάτων,
30 πολλαχοῦ δὲ Ἡρόδοτος ἐν τοῖς Αἰγυπτιακοῖς.

ΠΕΡΙ ΠΕΠΛΑΣΜΕΝΩΝ.

8 Περὶ δὲ τῶν πεπλασμένων ταῦτα ἰστέον, πρῶτον

Digitized by Google

μὲν ὅτι οὐκ ἂν γένοιντο περὶ τοὺς περιφανεῖς τῶν θεῶν ῥᾳδίως, καὶ ὧν αἱ γενέσεις καὶ δυνάμεις πρόδηλοι, ἀλλὰ περὶ τοὺς ἀφανεστέρους ὡς τὰ πολλὰ θεοὺς καὶ δαίμονας, οἷον καὶ περὶ τὸν Ἔρωτα ὁ Πλάτων ποτὲ μὲν ὡς πρὸ γῆς ἐγένετο, ποτὲ δὲ ὡς Ἀφροδίτης ἐστὶ παῖς, πάλιν δὲ πεπλασμένος ὕστερον Πόρου καὶ Πενίας, καὶ πάλιν ὁ Παυσανίας, ὅτι τῇ τέχνῃ τῇ ἰατρικῇ ἐφέστηκεν ἡ δύναμις τοῦ Ἔρωτος, καὶ Ἀριστοφάνης, ὅτι συνάγει τὰ ἡμίτομα τῶν σωμάτων, τούτους [γὰρ] τοὺς ὕμνους ποικίλως σφόδρα πλάσας, τοὺς μὲν περὶ φύσιν, τοὺς δὲ περὶ δύναμιν, τοὺς δὲ περὶ γένος. ἧκει καὶ αὕτη ἡ ἐξουσία παρὰ τῶν ποιητῶν, [παρὰ] τοῖς συγγραφεῦσιν. Ἄρεως μὲν γὰρ θεράποντας Δειμὸν καὶ Φόβον ἀναπλάττουσι, τοῦ δὲ Φόβου τὴν Φυγὴν φίλην, καὶ τοῦ Θανάτου τὸν Ὕπνον ἀδελφόν· ἤδη δὲ καὶ ἡμεῖς τὸν Λόγον τοῦ Διὸς ἀδελφὸν ἀνεπλάσαμεν, ὡς ἐν ἠθικῇ συνόψει.

Ἃ τοίνυν χρὴ ἐν τοῖς πεπλασμένοις τῶν ὕμνων διορᾶν, ἔχοιτε ἂν λέγειν. φυλακτέον γὰρ πρῶτον μὲν μὴ ἀπηρτημένους ἀλλὰ συνεχεῖς πλάττειν, εἴη δ' ἂν τὸ τοιοῦτο σωζόμενον, εἰ ἀπ' αὐτῶν λαμβάνοιτο ἡ πλάσις, καὶ μὴ ἀνακεχωρηκυῖα εἴη. ἔπειτα μὴ ἀηδῶς, ἀλλὰ στωμύλως καὶ γλαφυρῶς ἀναπλάττειν, οἷον Μούσας Μνημοσύνης παῖδας, ἢ ὅσα τοιαῦτα. ἔνιαι γὰρ τοῦ ἀκοῦσαι ἀηδεῖς, οἷον ὅτι ἐκ τῆς κεφαλῆς τοῦ Διὸς ἀνέδραμεν ἡ Ἀθηνᾶ. μὴ γὰρ τοῦτο, εἰ καθ' ὑπόνοιαν εἴρηται, καὶ πρὸς ἄλλο τι ἔχει ὀρθῶς, ἀλλ' ὅτι ἀηδῶς πέπλασται. ἔπειτα δὲ πίστεις λαμβάνειν ἀπὸ τῶν ἀληθῶν, ἐν οἷς ἂν ψευδώμεθα, ὡς καὶ ἡμεῖς πεποιήκαμεν, πολλάκις δὲ καὶ ὁ Ὅμηρος. ἔτι δεῖ καὶ τοὺς πεπλασμένους ὕμνους ἑαυτοῖς εἶναι συμφώνους, καὶ μὴ ἐναντιούμενα ἢ μαχόμενα ἐφέλκεσθαι, ὥσπερ ἐν ἐκείνῳ τῷ

www.libtool.com.cn

μύθῳ, ὅτι Ζεὺς πρὸ πάντων ἐγένετο καὶ θεῶν ἁπάντων
153 ἐστὶ πατήρ, καὶ τὴν Θέμιν οὖσαν τοῦ Κρόνου τὸ πα-
52 λαιὸν γυναῖκα ἠγάγετο. ἦν μὲν γὰρ πρὸ πάντων καὶ
Θέμιδος· εἰ δ' ἦν πρὸ Διὸς Θέμις, οὐ πρὸ πάντων.
5 ἔτι πρὸς τούτῳ φυλακτέον ἐν τοῖς πεπλασμένοις ὕμνοις
τὸ μῆκος καὶ τὴν περιεργίαν. ἤδη γάρ τινες τῶν νεω-
τέρων, ἀναπλάσαντες δαίμονά τινα νέον Ζηλοτυπίαν,
κρήδεμνον μὲν αὐτῇ Φθόνον προσέθεσαν, ζώνην δ' αὖ
Ἔριν. καὶ μάλιστα ὁ Παυσανίας ἐπιφορὰς ἔχει πρὸς τὴν
10 κατὰ μέρος ταύτην περιεργίαν. ἔστι δὲ καὶ ἐνῶσαι ἀρ-
χαῖον καὶ νέον ἐν ποιήσει μέν, μάλιστα δὲ ἐν συγ-
γραφῇ.

154 Τὴν ἑρμηνείαν δὲ προσάξεις τοῖς τοιούτοις ὕμνοις
πρὸς τὰ πράγματα ὁρῶν, εἰ μὲν ἀνθρώπινόν τι ἀνα-
15 πλάττοις, ἀφελεστέραν καὶ κομψοτέραν, λέγω δὲ ἀν-
θρώπινα, ὅσα οὐ παντάπασιν φρικώδη καὶ θεῖα, οἷον
Πενίαν καὶ Ἀγρυπνίαν, καὶ ὅσα τοιαῦτα. εἰ δὲ ἀνα-
58 πλάττοις τι θεῖον, ὅπως καὶ τὴν ἑρμηνείαν σεμνοτέραν
προσάξεις. χρὴ δὲ εἰδέναι, ὅτι γονιμώτατος καὶ ἐπι-
20 νοίας ἐστὶ σημεῖον ὁ τοιοῦτος ὕμνος.

ΠΕΡΙ ΑΠΕΥΚΤΙΚΩΝ ΚΑΙ ΠΡΟΣΕΥΚΤΙΚΩΝ.

9 Οἱ δὲ ἀπευκτικοὶ καὶ προσευκτικοὶ ὕμνοι σχεδὸν
μέν, ὥσπερ ἐφάσκομεν, πᾶσι τοῖς προειρημένοις εἰσὶν
ἀναπεπλεγμένοι, ἢ τοῖς γε πλείστοις αὐτῶν. ἅπαντες
25 γὰρ ἀνυμνοῦντες τοὺς θεοὺς εἰς εὐχὰς ἐγκλείουσι τοὺς
λόγους. ἤδη δέ τινες καὶ ἀποτόμως κατὰ τὰ αὐτὰ γε-
γόνασιν, ἀπευκτικὸς μὲν ὁ τοιοῦτος

155 Ζεῦ κύδιστε μέγιστε, κελαινεφές, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν.

30 προσευκτικὸς δὲ

www.libtool.com.cn
Digitized by Google

κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος, ἤτε μοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίστασαι.

καὶ παρὰ Πλάτωνι, ὦ φίλε Πᾶν καὶ ὅσα ἐν τῷ Φαί- 54
δρῳ εὔχεται. δεῖ δὲ τοὺς τοιούτους ὕμνους μὴ κατακό-
ρους εἶναι. τὰς μὲν γὰρ εὐχὰς δικαίας εἶναι χρή, καὶ 5
ἀπευχὰς δικαίας οὔσας καὶ ἁπλᾶς εἶναι, μὴ τὸ δεῖνα
γενέσθαι, εἶναι δὲ [ἁπλᾶς] καὶ βραχείας, ἔτι δὲ οὐ δι-
δάσκειν τοὺς θεούς, ἀλλ' αἰτεῖν ἅπερ ἀκριβῶς ἴσασιν.
ἔτι δὲ καὶ πάσας εὐχὰς καὶ συγγραφέων ἐπιὼν τὰς
αἰτίας εἰς τοὺς πολίτας βραχείας οὔσας εὑρήσεις. 10
ἤδη δὲ καὶ εἰς τοὺς πολιτικοὺς τὸ μέρος τοῦτο τῶν
ὕμνων κατῆλθε, πλήν γε ὅσαι ἐπιμαρτυρίαι· τὸ γὰρ
πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς 156
εὔχομαι καὶ τὰ ἑξῆς, καὶ τὸ καλῶ δὲ τὸν Ἀπόλ-
λω τὸν Πύθιον, τῶν εὐκτικῶν καὶ ἀπευκτικῶν 55
ὕμνων μετείληφεν ἴχνη. 16

Οὐκ ἀγνοῶ δὲ ὅτι ἀπορητικούς τινες τεθείκασι καὶ
διαπορητικοὺς καθ' ἕκαστον τῶν μερῶν, οἳ διηπόρη-
σαν περὶ γενεαλογίαν, περὶ Ἔρωτος εὐθύς, εἴτε ἐκ
χάους ἐγένετο, εἴτε ἐξ Ἀφροδίτης, καὶ πολλὰ τοιαῦτα. 20
καὶ πάλιν περὶ δύναμιν, εἴτε ἀνθρώπινα πράγματα καὶ
διοικήσεις, εἴτε θεῖαι. καὶ συνορᾷς δὴ τοῦτο τὸ εἶδος,
ὅ φημι, πᾶν, ἀλλὰ τὸν τοιοῦτον ὕμνον τῷ μὲν σχήματι
διαφέρειν φημί, τῇ δὲ φύσει τὸν αὐτὸν εἶναι ἐκείνων
ἑκάστῳ, ὥσπερ καὶ τὴν Τύχην Σοφοκλῆς ὕμνησε, δια- 25
πορῶν ὑμνεῖ.

Ἔφην δὲ γενέσθαι τινὰς ὕμνους καὶ ἐξ ὁμοίου τού- 56
των ἁπάντων ἢ τῶν πλείστων συντεθέντων, οἵπερ εἰσὶ 157
καὶ τελειότατοι ἔπαινοι, καὶ μάλιστα τοῖς συγγραφεῦσι
πρέποντες· τῷ μὲν γὰρ ποιητῇ ἐξαρκεῖ καὶ μέρος τι 30
ἀπολαβόντι καὶ κατακοσμήσαντι τῇ ποιητικῇ κατασκευῇ
πεπαῦσθαι, ὁ δὲ συγγραφεὺς πειράσεται διὰ πάντων

www.libtool.com.cn

Digitized by Google

ἐλθεῖν. χαριέστατον δὲ τῶν τοιούτων μέρος παρέσχηται ἐν τοῖς Μαντευτοῖς Ἀριστείδης. οὗτος γὰρ τὸν Ἀσκληπιὸν καὶ τὴν Ὑγίειαν συγγέγραφεν οὐκέτι μοι ὡς ἐπαίνων ἀνθρωπίνην περιέργειαν ἔχοντας.

Τὸ μὲν δὴ περὶ τῶν εἰς τοὺς θεοὺς βιβλίον τέλος
57 εἴληφεν ἡμῖν, ἐξ ὧν ἡγούμεθα καὶ ποιητὰς καὶ συγγραφέας καὶ ῥήτορας πάντας ἀνυμνεῖν θεοὺς ἐντέχνως, καὶ ὅπως καὶ ἐν ὁποίοις καιροῖς. ἐφεξῆς δ' ἂν εἴη περὶ
158 χώρας καὶ πόλεως ἐπαίνων εἰπεῖν· οὕτως γὰρ καὶ εἰς τοὺς τόμους ἀνάγκη γεγένηται. καὶ πρῶτον περὶ τῶν τῆς χώρας ἐγκωμίων, οὐχ ὡς ἀποτόμως [περί] τινος ἐγκωμιάσαντος χώραν ἄνευ πόλεως, ἀλλ' ἐν τοῖς τῶν πόλεων ἐγκωμίοις καὶ τῶν περὶ χώραν ἐπαίνων παραλαμβανομένων.

ΠΩΣ ΧΡΗ ΧΩΡΑΝ ΕΠΑΙΝΕΙΝ.

II. Ἔπαινος μὲν χώρας, ὡς ἀνωτάτω διελέσθαι, διτ-
1 τός, ἢ κατὰ φύσιν ἢ κατὰ θέσιν. ἢ γὰρ πῶς κεῖται ἐξε-
58 τάσαντες ἀξίαν αὐτὴν ἐπαίνου ἀποφαίνομεν, ἢ ὅπως πέφυκε. θέσιν τοίνυν χώρας δοκιμάζομέν τε καὶ κρί-
20 νομεν ὅπως κεῖται πρὸς γῆν, ἢ πρὸς θάλατταν, ἢ πρὸς οὐρανόν· πρὸς μὲν γῆν, εἰ μεσόγειος εἴη καὶ πλέον ἢ ἔλαττον θαλάττης ἀπέχουσα, ἢ ἐπιθαλαττίδιος καὶ πρὸς
159 αἰγιαλούς· πρὸς δὲ θάλατταν, εἰ νῆσος ἢ νήσῳ ἐοικυῖα· πρὸς δὲ οὐρανόν, εἰ ἐν δυσμαῖς, ἢ ἐν ἀνατολαῖς.
25 ἢ ἐν μεσημβρίᾳ, ἢ ἐν ἄρκτῳ, ἢ ἐν τῷ μέσῳ τούτων. ἤδη δέ τινες καὶ κατ' αὐτοὺς τοὺς ἀστέρας τὴν θέσιν ὡρίσαντο, ὥσπερ οἱ ποιηταί, ὑπὸ Πλειάδας ἢ Ὑάδας, ἢ ὑπὸ Ἀρκτοῦρον ἀνίσχοντα, ἢ ὑπὸ Ἕσπερον. κατὰ γὰρ τοὺς τρεῖς κανόνας θέσιν χώρας δοκιμάζομεν· ἐν
30 γὰρ τῷ περὶ οὐρανοῦ καὶ τὸ τῶν ὡρῶν συνείληπται. τὴν δὲ φύσιν τῆς χώρας δοκιμάζομεν πάσης ἐκ τῶν ἓξ

www.libtool.com.cn
Digitized by Google

τόπων τούτων, ἢ γὰρ ὀρεινή τίς ἐστιν ἢ πεδινή, ἢ ξηρὰ καὶ ἄνυδρος ἢ λιπαρὰ καὶ εὔυδρος, καὶ εὔφορος καὶ ἢ πολύφορος ἢ ἄφορος καὶ δύσφορος. ἀπὸ γὰρ τούτων χώρας ἀρετὴν καὶ κακίαν διαγινώσκομεν. ἵνα δέ σοι τῶν θεωρημάτων τούτων ἁπάντων παραδείγματα ὑπάρχῃ, ἑκάστου ἐκθήσομαι δύο, εἰπὼν πρότερον, πρὸς ἃ τὰ κεφάλαια ἀνάγοντας ἐπαινεῖν δεῖ, πρὸς ἡδονὴν ἢ πρὸς ὠφέλειαν· πρὸς γὰρ ταῦτα τὰ κεφάλαια ὁρῶντα δεῖ τοὺς περὶ χώραν ἐπαίνους ποιεῖσθαι. οἷον εἰ μεσόγειον ἐπαινοίης, πρὸς μὲν ἡδονήν, ἡ τῶν ἀπὸ τῆς ἠπείρου ἀγαθῶν βεβαίως ἀπόλαυσις καὶ τέρψις γίνεται ὀρῶν πεδία περιλαμβανόντων, καὶ τῶν πεδίων ληΐοις κατεστεμμένων. πρὸς δὲ ὠφέλειαν, διότι οἱ καρποὶ οἱ γνησιώτεροι ἀπὸ τῆς γῆς ἅτ' οὐ κλυζομένης καὶ τῶν ἀπὸ τῆς θαλάττης ταραχῶν ἀπεχούσης. εἰ δὲ ἐπιθαλάττιον ἐπαινοίης, ὅτι ὅσα καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ ἡδέα καὶ ὠφέλιμα, συνείληφεν ἡ χώρα. εἰ δὲ νῆσον ἐπαινοίης, καὶ πρὸς ἡδονὴν καὶ πρὸς ὠφέλειαν, ὥσπερ Ἀριστείδης ἐν τῷ Νησιωτικῷ. εἰ δὲ νήσῳ ἐοικυῖαν, ἅ τε περὶ Τύρου Ἀριστόβουλος ἱστόρησε καὶ περὶ Κυζίκου Ἀριστείδης ἐν τῷ πρὸς Κυζικηνούς, καὶ Ξενοφῶν ἐν τοῖς πόροις [τοῖς] περὶ τῆς Ἀττικῆς. καὶ μὴν εἰ μὲν ἀνατολικὴ εἴη, ὅτι πρώτη αὕτη ἡλίῳ ἐντυγχάνει, καὶ ἡγεμών ἐστι φωτὸς ἄλλοις, εἰ δὲ δυτικὴ εἴη, ὅτι ὥσπερ κορωνὶς ἐπίκειται, παραπέμπουσα τὸν θεόν· εἰ δὲ μεσημβρινή, ὅτι ὥσπερ ἐπὶ παρατάξεως τοῦ οὐρανοῦ τὸ μέσον κατείληφεν· εἰ δὲ ἀρκτική, ὅτι τὸ ὑψηλότατον τῆς γῆς καὶ ὑπόβορρον ὥσπερ ἀκρόπολις κατέχει· εἰ δὲ τὸ μεσαίτατον, ὃ δὴ περὶ τῆς Ἀττικῆς καὶ τῆς Ἑλλάδος λέγουσιν, ὅτι περὶ αὐτὴν ἡ πᾶσα γῆ κυκλεῖται, καὶ χώρα ἐστὶν εὔκαρπος. ἔτι τοίνυν εἰ μὲν ὀρεινὴ εἴη, ὅτι ἀνδρὶ ἐρρωμένῳ ἔοικε νεύροις διειλημμένῳ· εἰ δὲ πε-

59 160

60 161

www.libtool.com.cn

Digitized by Google

δινή, ὅτι εὔτακτός ἐστι καὶ οὐκ ἀνώμαλος οὐδ' ὀστώδης.
162 καὶ μὴν εἰ μὲν ξηρὰ καὶ ἄνυδρος, ὡς διάπυρός ἐστι κατὰ τὸν περὶ τοῦ αἰθέρος λόγον καὶ τοῦ οὐρανοῦ· πυρώδης γὰρ ὁ οὐρανὸς καὶ ἐπίξηρος· εἰ δὲ λιπαρὰ καὶ εὔυδρος, καὶ πρὸς τὴν ἡδονὴν καὶ πρὸς τὴν ὠφέλειαν
61 εὐφυής. καὶ εἰ μὲν πάμφορος, ὅτι γυναικὶ εὔπαιδι ἔοικεν· εἰ δὲ ἄφορός τε καὶ δύσφορος, ὅτι φιλοσοφεῖν τε καὶ καρτερεῖν διδάσκουσα.

Ἐκεῖνό γε μὴν ἰστέον, ὅτι τῶν ἐγκωμίων τὰ μέν ἐστιν ἔνδοξα, τὰ δὲ ἄδοξα, τὰ δὲ ἀμφίδοξα, τὰ δὲ παράδοξα. ἔνδοξα μὲν τὰ περὶ ἀγαθῶν ὁμολογουμένων, οἷον θεοῦ ἢ ἄλλου τινὸς ἀγαθοῦ φανεροῦ· ἄδοξα δὲ τὰ περὶ δαιμόνων καὶ κακοῦ φανεροῦ· ἀμφίδοξα δὲ ὅσα πῇ μὲν ἔνδοξά ἐστι, πῇ δὲ ἄδοξα, ὃ ἐν τοῖς Παναθηναϊκοῖς εὑρίσκεται καὶ Ἰσοκράτους καὶ Ἀριστείδου· [καὶ] τὰ μὲν γάρ ἐστιν ἐπαινετά, τὰ δὲ ψεκτά, ὑπὲρ ὧν
163 ἀπολογοῦνται. παράδοξα δὲ οἷον Ἀλκιδάμαντος τὸ τοῦ
62 Θανάτου ἐγκώμιον, ἢ τὸ τῆς Πενίας ἢ τοῦ Πρωτέως τοῦ κυνός. ἐνέταξα δὲ τὸ θεώρημα, ἐπειδὴ ἀφόρους καὶ δυσφόρους χώρας, καὶ τὰς ἀνύδρους καὶ ψαμμώδεις, ὅπως ἐπαινεῖν χρὴ ὑπέδειξα. ὅτι γὰρ τῶν τοιούτων καὶ παραδόξων καὶ ἀπολογίαν ἐξευρίσκειν ἐστίν, εἰς ἐγκώμιον ἐξαρκεῖ. χώρας μὲν ἀπὸ τούτων ἐγκωμιαστέον, πόλεις δὲ ἐξ ὧν δεῖ ἐπαινεῖν, μετὰ ταῦτα ὑποδεικτέον, ἵνα ἡμῖν καθ' ὁρμὴν προΐῃ τὸ σύνταγμα.

63 ΠΩΣ ΧΡΗ ΠΟΛΕΙΣ ΕΠΑΙΝΕΙΝ.

2. 164 Οἱ τοίνυν περὶ τὰς πόλεις ἔπαινοι μικτοί εἰσιν ἀπὸ κεφαλαίων τῶν περὶ χώρας εἰρημένων καὶ τῶν περὶ ἀνθρώπους. ἐκ μὲν γὰρ τῶν περὶ χώρας τὴν θέσιν ληπτέον, ἐκ δὲ τῶν περὶ ἀνθρώπους τὸ γένος, τὰς πράξεις, ἐπιτηδεύσεις· ἀπὸ γὰρ τούτων τὰς πόλεις ἐγ-

www.libtool.com.cn
Digitized by Google

κωμιάζομεν. ὅπως δὲ τῶν κεφαλαίων τούτων ἕκαστον
ἐργαζόμεθα, ἐγὼ διδάξω καὶ φράσω. Θέσιν πόλεως
δοκιμάζομεν κατὰ τοὺς ἄνω τρόπους τοὺς εἰρημένους
καὶ καθ' ἑτέρους πλείονας, ἢ πρὸς οὐρανὸν καὶ ὥρας,
ἢ πρὸς ἤπειρον, ἢ πρὸς θάλατταν, ἢ πρὸς τὴν χώραν, 5
ἐν ᾗ κεῖται, ἢ πρὸς τὰς περιοίκους χώρας καὶ πόλεις,
ἢ πρὸς ὄρη, ἢ πρὸς πεδία. τὸ γὰρ εὔυδρον εἶναι τὴν
πόλιν ἢ ποταμοῖς περιειλῆφθαι ἔφην τῶν περὶ χώραν
εἶναι. αὐτῶν δὲ τούτων ἕκαστον καὶ πρὸς ἡδονὴν καὶ
ὠφέλειαν κατὰ τὴν ἄνω γεγονυῖαν διαίρεσιν. χρὴ δὲ 10
καὶ καθ' ἕκαστον τούτων εὐμαθέστερον καὶ σαφέστερον
γενέσθαι τὸ σύνταγμα. τὴν γὰρ Θέσιν πρῶτον ἔφην
κατὰ τὸν οὐρανὸν καὶ κατὰ τὰς ὥρας δεῖν θεωρεῖν.
Θεωρεῖται δὲ ἢ κατὰ ψύξιν ἢ κατὰ θάλψιν ἢ κατ' ἀχλὺν
ἢ κατὰ καθαρότητα ἢ κατὰ εὐαρμοστίαν πασῶν τῶν 165
ὡρῶν. εἰ γάρ τις τὸν οὐρανὸν δοκιμάσει, γίγνεται 16
Θέσις πόλεως ἢ κατὰ ταῦτα πάντα, ἢ κατὰ τούτων τὰ 64
πλεῖστα, ἢ ἔνια. ἂν μὲν οὖν περιῇ δεικνύειν τὴν πόλιν,
ἣν ἐγκωμιάζομεν, κατὰ πάντα ταῦτα εὔθετον οὖσαν,
θαυμαστὸν γίνεται τὸ χρῆμα καὶ πλείους αἱ ἀφορμαί. 20
εἰ δὲ μή, τὰ πλεῖστα τούτων πειρᾶσθαι δεῖ προσόντα
αὐτῇ ἀποδεικνύναι· εἰ δὲ μὴ τὰ πλεῖστα, ἀλλὰ ἰσχυ-
ρότατα καὶ τὰ μέγιστα. εἰ δὲ παντάπασιν ἄμοιρος εἴη
ἡ πόλις ἐγκωμίων κατὰ τὴν Θέσιν (ὅπερ σπανιώτατόν
ἐστιν· εὑρήσομεν γὰρ ἢ ἐν ψυχροῖς τόποις οὖσαν ἢ ἐν 25
Θερμοῖς ἢ ἐν ἁρμοστοῖς παρὰ τὴν κρᾶσιν τῶν ὡρῶν),
εἰ δέ τινες τὴν Ἄσκρην οἰκοῖεν, ἐχρῆν αὐτὸ τοῦτο εἰς
ἐγκώμιον λαμβάνειν· εἰ δ' αὖ ἄφορός τε καὶ δύσφορος,
ἐχρῆν αὐτὸ τοῦτο εἰς ἐγκώμιον λαμβάνειν, ὅτι φιλοσο-
φεῖν ἀνάγκη τοὺς ἐνοικοῦντας καὶ καρτερικοὺς εἶναι. 30
κατὰ τὸν αὐτὸν δὲ ὅρον, εἰ μὲν Θερμότερος εἴη ὁ τόπος,
τὰ ἐν τοῖς ψυχροῖς κακὰ λεκτέον· εἰ δὲ ψυχρότερος, τὰ 65

www.libtool.com.cn

Digitized by Google

ἐν τοῖς θερμοτέροις. ἄριστα δὲ κεκραμένας χρὴ νομί-
166 ζειν τὰς ἱκανὸν χρόνον μέρει ἑκάστῳ παραμενούσας.
αὐτῶν δὲ τῶν ὡρῶν αἱ μὲν ἐπὶ τὸ μᾶλλον θεωροῦνται,
αἱ δὲ ἐπὶ τὸ ἔλαττον. χειμὼν μὲν γὰρ καὶ θέρος ἐπὶ τὸ
5 ἔλαττον· μᾶλλον γὰρ ἐλάττους καὶ ἀσθενεστέρας ἐπαι-
νετέον. ἔαρ δὲ καὶ τὸ μετόπωρον ἐπὶ τὸ μᾶλλον· μᾶλ-
λον γὰρ ἰσχύειν τὰς ὥρας ταύτας ἐπαίνου ἄξιον. ἐν δὲ
66 τῷ περὶ τῶν ὡρῶν καὶ ἃ ἑκάστη φέρει τακτέον, αὐτὰ
ταῦτα δὲ ἐφ' ἑκάστῃ κατὰ τὰ τρία ταῦτα θεωρητέον,
10 εἰ χρόνον ὅλον μένει ἀκήρατα, εἰ πλεῖστον τοῦ ἔτους·
ποιότητα δὲ εἰ πρὸς ἡδονὴν καὶ ὠφέλειαν, ὠφέλειαν
μὲν εἰ ἀβλαβῆ ἐστιν, ἡδονὴν δὲ εἰ ταῖς αἰσθήσεσι
167 τερπνὴ γεύσεσιν ὄψεσι καὶ ταῖς ἄλλαις. ποσότητα δὲ
εἰ πολλὰ ταῦτα εἴη.

15 Περὶ μὲν τῆς θέσεως τῆς κατ' οὐρανὸν καὶ ὥρας
ταῦτα, ἐξ ὧν ἄν τις ἐγκωμιάζοι πόλιν, ἐφεξῆς δὲ καὶ
περὶ τῶν ἄλλων τῶν τῆς θέσεως στοιχείων ἐπισκεψώ-
μεθα. ἦν δὲ δεύτερον καὶ τρίτον στοιχεῖον, ὅπως κεῖ-
6 ται πρὸς ἤπειρον, ὅπως πρὸς θάλασσαν. ἐὰν μὲν τοίνυν
20 ἠπειρωτικὴ ᾖ καὶ πλεῖστον ἀπέχῃ ἀπὸ τῆς θαλάσσης,
τὴν ἀπὸ τῆς ἀποχωρήσεως ἀσφάλειαν ἐγκωμιάσεις, καὶ
σοφῶν ἀνδρῶν παραθήσεις γνώμας, αἳ τοὺς κατ'
ἤπειρον οἰκισμοὺς ἐπαινοῦσι καὶ τοὺς πλεῖστον ἀπὸ θα-
λάττης ἀπέχοντας, καὶ πάντα ἐρεῖς, ὅσα ἐν τῷ ἑτέρῳ
25 κακά. ἐὰν δὲ ἡ πόλις θαλαττία ᾖ ἢ νῆσος, τάς τε
ἠπείρους ἐρεῖς κακῶς καὶ τοὺς ἠπειρωτικοὺς οἰκισμούς,
καὶ ὅσα ἀγαθὰ ἀπὸ θαλάσσης ἀριθμήσῃ. ἰδίως δὲ καὶ
168 περιεργάσῃ τὴν ἑκάστης νήσου ἢ τὴν ἑκάστης πόλεως
θέσιν. τὸ γὰρ τοιοῦτον μέρος ἀδύνατον περιστοιχεῖ-
30 σθαι διὰ τὸ ἄπειρον. ἐὰν δὲ παραθαλάττιος ᾖ καὶ ἐπ'
αἰγιαλοῖς, ὅτι ἀμφότερα ὑπάρχει τὰ ἀγαθά. ἐὰν δὲ
ὀλίγον ἀπέχῃ ἀπὸ τοῦ αἰγιαλοῦ, ὅτι τὰ μὲν ἑκατέρω-

Digitized by Google

θεν ἐκπέφευγε λυπηρά, τὰ δ' ἀμφοτέρων ἀγαθὰ ἀνείληφεν.

Ἐξῆς ἦν στοιχεῖα θέσεως, ὅπως ἔχει πρὸς τὴν περιοικίδα χώραν, καὶ ὅπως πρὸς τὰς ἀστυγείτονας χώρας. πρὸς μὲν τοίνυν τὴν περιοικίδα χώραν θεωρεῖται, εἰ ἐπ' ἀρχῆς κεῖται, ἢ ἐν τῷ μέσῳ, ἢ πρὸς τῷ τέλει. καὶ εἰ μὲν ἐπ' ἀρχῆς κεῖται, ὥσπερ προσώπῳ ἀπεικαστέον, καὶ ὅτι ἐντὸς τὴν αὐτῆς χώραν φυλάττει, ὥσπερ μιᾶς οἰκίας προπύλαια. ἐὰν δὲ ἐν μέσῳ, ὅτι ὥσπερ βασίλεια ἢ ἀρχεῖα ἢ ὀμφαλὸς ἀσπίδος, ὥσπερ Ἀριστείδης εἶπε, κατείληφεν, ἢ ὥσπερ ἐν κύκλῳ μέσον σημεῖον. ἐὰν δὲ ἐπὶ τέλει, ὅτι ὥσπερ ἐραστὰς ἀποφυγοῦσα τοὺς προσιόντας.

Ἔτι δὲ ὀψόμεθα καὶ ζητήσομεν, πότερον τὰ σκληρὰ προβαλλομένη ἐν πεδινοῖς ἐστιν, ἢ ἐν τοῖς σκληροτάτοις τόποις κατῴκισται τὰ πεδία προβαλλομένη· καὶ ἐὰν ἐν πεδινοῖς ἱδρυμένη, ὅτι ἀποπειρᾶται τῶν ἀφικνουμένων, ὥσπερ ἀγῶνα προτιθεῖσα, ἢ ὅτι εὐερκής ἐστιν, ὥσπερ τείχους ἀνεστηκότος. ἐὰν δὲ τὰ πεδία προβαλλομένη ἐν τοῖς σκληροῖς φαίνηται ἱδρυμένη, ὅτι ἥμερός ἐστι πρὸς τοὺς ἀφικνουμένους, καὶ ὥσπερ ἀκρόπολις αὕτη κατείληφεν, ἀφ' ὑψηλοῦ πυρσεύουσα. ἐὰν δὲ ἀναμὶξ ᾖ ταῦτα καὶ συγκεχυμένως φαίνηται διακείμενα, τὴν ποικιλίαν ἐπαινετέον, ὥσπερ Ἀριστείδης πεποίηκεν. ἔτι δὲ πρὸς τὰ ὕδατα τὰ ἐν τῇ χώρᾳ θεατέον. ὑδάτων δὲ φύσεις τριχῇ δεῖ διαιρεῖν, ἢ ὡς πηγῶν, ἢ ὡς ποταμῶν, ἢ ὡς λιμνῶν. κριτέον δ' αὐτὰ ὥσπερ καὶ τὰ ἄλλα, πρὸς ἡδονὴν καὶ ὠφέλειαν, καὶ ἔτι πρὸς ταύτῃ τῇ διαιρέσει πρὸς πλῆθος καὶ αὐτοφυΐαν· ἐνιαχοῦ γὰρ καὶ θερμαὶ πηγαὶ εὑρίσκονται.

Πρὸς τοίνυν τὰς ἐκ γειτόνων θεωρητέον ἢ ὡς πρὸς πόλεις ἢ ὡς πρὸς χώρας, [ἢ] πότερον ἐν ἀρχῇ ἐστιν

www.libool.com.cn
Digitized by Google

αὕτη, ἢ πρὸς τῷ τέλει, ἢ πανταχόθεν μέση· καὶ χῶραι καὶ πόλεις εἰ μικραὶ καὶ ἀφανεῖς, ἢ μεγάλαι καὶ ἐπιφανεῖς, καὶ εἰ ἀρχαῖαι ἢ νέαι. πρὸς μὲν τοίνυν χώρας, 171 οἷον εἴ λέγοι τις, ὅτι ἡ νῦν καλουμένη Ἀσία παρῴκι- 71 σται μεγάλῳ ἔθνει, καὶ ὅπως ὑπὸ μεγέθους οὐ κρύπτε- 6 ται· πόλεις δ', ὥσπερ λέγουσι περὶ τῶν πόλεων τῶν Ἀσιανῶν, ὅτι ἐγγὺς ἀλλήλων οὖσαι οὐκ ἀφαιροῦνται ἀλλήλας τὸν κόσμον. καὶ εἰ μὲν ἐπ' ἀρχῆς τῶν ἄλλων ἐθνῶν, ὅτι προβέβληται ἀντ' ἄλλου φυλακτηρίου, 10 ὥσπερ ὁ Ἀριστείδης· τοῦτο γάρ φησι περὶ τῶν Ἀθηνῶν. εἰ δὲ μέση κέοιτο ἡ πόλις πολλῶν χωρῶν καὶ πόλεων μεγάλων, ὅτι πανταχόθεν περιβέβληται καὶ ἀντὶ κόσμου προπύλαια καὶ εἰς ἀσφάλειαν περιβόλους. εἰ δὲ πρὸς τέλει, ὅτι ἀντὶ κεφαλῆς ἐπίκειται ταῖς ἄλλαις χώ- 15 ραις καὶ κορυφῆς. εἰ δ' ἔνδοξοι εἶεν αἱ πόλεις καὶ ἐπιφανεῖς, ὅτι ἐνδόξων ἐνδοξοτέρα ἐστὶ καὶ ἐπιφανῶν ἐπιφανεστέρα, ἢ ἐπιφανῶν οὐκ ἀφανεστέρα. εἰ δὲ πολὺ ἄδοξοι καὶ οὐκ ἐπιφανεῖς, ὅτι δι' αὐτὴν ἀλλ' οὖν ὀνό- 172 ματος καὶ φήμης τυγχάνουσιν. εἰ μὲν ἀρχαῖαι χῶραι 20 εἴησαν, ὅτι ἀνάγκη καὶ αὐτὴν ἀρχαίαν εἶναι τὴν πρόσοικον χώραν· εἰ δὲ πόλεις, ὅτι αἱ μὲν κεκμήκασι χρόνῳ, ἡ δ' ἀνθεῖ· εἰ δ' αὖ νέα, ὅτι πρὸς φυλακὴν προβέβληται νεωστὶ γεγενημένη.

72 Σκεψώμεθα τοίνυν καὶ τὴν τοπικὴν καλουμένην 25 θέσιν, ἥπερ ἐστὶν ὑπόλοιπος. καλοῦσι δὲ τοπικὴν τὴν τοῦ τόπου φύσιν, ἐν ᾧ ἡ πόλις ἵδρυται. πᾶσα πόλις, ὡς ἀνωτάτω συλλαβεῖν, αὐτὰ γὰρ τὰ καθ' ἑκάστην σχήματα ἀδύνατον περιλαβεῖν, ἢ πᾶσα ἐν ὄρει καὶ γηλόφῳ, ἢ πᾶσα ἐν πεδίῳ. ἂν μὲν τοίνυν πᾶσα ἐν ὄρει, 30 καὶ πρὸς ὠφέλειαν καὶ πρὸς ἡδονὴν ἐπαινετέον ἐκ τού- 73 του, κατὰ μὲν ἡδονὴν διὰ τὴν τοῦ ἀέρος τοῦ ὑπερκειμένου καθαρότητα, κατὰ δ' ὠφέλειαν, ὅτι αὐτοφυὲς

www.libtool.com.cn

Digitized by Google

τεῖχος καὶ ἀπρόσβατον κέκτηται. ἐλαττώματα δὲ τῶν ἐν γηλόφοις κειμένων ψύχους ὑπερβολαί, ὁμίχλη, στενοχωρίαι. δεῖ οὖν ἀποφαίνειν οὐ προσόντα ταῦτα ἢ 173
οὐ μάλιστα. ἐὰν δὲ ἐν πεδίῳ, δεῖ ἐπαινεῖν, ὅτι ἑνὶ
ὀφθαλμῷ ἡ πόλις φαίνεται, ὅτι οὐκ ἔστιν ἀνώμαλος 5
τοῖς ἄρθροις, ὥσπερ σῶμα εὔρυθμον, ὅτι γεωργικὴ τίς
ἐστιν ἡ φύσις τῆς πόλεως, ὅτι ὑπ' ἀνδρείας οὐ πέφευ-
γεν, ὥσπερ αἱ ἄλλαι πόλεις, εἰς ὄρη. τὰ ἐλαττώματα
τῶν ἐν ὑψηλῷ πόλεων ἱδρυμένων ὀνειδιεῖς, τὰ δὲ τῶν
ἐν πεδίῳ φεύξῃ. ἔστι δὲ ἐλαττώματα αὐχμοὶ καὶ πνιγ- 174
μοὶ καὶ ῥᾳστώνη ἐπιθέσεως, καὶ ὅσα τοιαῦτα. ταῦτα 11
οὖν ἢ ὡς ἥκιστα ἢ ὡς ἐλάχιστα ἀποδεικνύναι χρὴ
προσόντα. ἀλλὰ μὲν εἰ πῇ μὲν πεδινὴ εἴη ἡ πόλις, πῇ δὲ
ἐν ὄρεσιν, τό τε πλῆθος ἐπαινέσεις καὶ τὴν ποικιλίαν,
ὅτι ἅπερ ἀμφοτέραις ταῖς πόλεσι πρόσεστι, ταῦτα ἀμ- 15
φότερα μόνη κέκτηται, καὶ ὅτι τὰ ἀμφοτέρων ἐλαττώ-
ματα ἐκπέφευγε· πειράσῃ δὲ ἀποδεικνύναι καὶ ὅτι πολ-
λαῖς ἔοικε πόλεσιν. ἐκ τούτων καὶ περὶ ταῦτα ἡ μέ- 174
θοδος.

[ΠΩΣ ΔΕΙ ΛΙΜΕΝΑΣ ΕΓΚΩΜΙΑΖΕΙΝ.] 20

Ἐν τούτῳ δὲ τῷ μέρει καὶ τὸ περὶ λιμένων ἔγκειται. λιμένες δὲ ἢ ἐν μέσῳ τῆς πόλεως, καὶ φήσεις ὥσπερ κόλπῳ δέχεσθαι τοὺς καταπλέοντας ὑπὸ τὰς ἀγκάλας· ἢ ἐν ἀρχῇ τῆς θέσεως, καὶ φήσεις, ὥσπερ ποσὶν ἐπι- 75
στηρίζεσθαι τῷ λιμένι. ἢ αὐτοφυεῖς εἰσιν ἢ χειροποίη- 26
τοι. ἂν μὲν τοίνυν χειροποίητοι ὦσιν, ἐρεῖς, ὅτι οὐχ
ἡ πόλις δι' αὐτούς, ἀλλ' αὐτοὶ διὰ τὴν πόλιν γεγόνα-
σιν· εἰ δ' αὐτοφυεῖς, ὅτι ἀπρόχωστοί εἰσι διὰ τὸ αὐ-
τοφυεῖς εἶναι, ὅσοι δὲ χειροποίητοι, προχοῦνται· καὶ
ἢ εἷς ἐστιν ἢ πολλοί. ἂν μὲν εἷς, ὅτι ὥσπερ σώματος 30
εἷς κόλπος ἐστίν· ἐὰν δὲ πολλοί, ὅτι ὑπὸ φιλανθρω- 175

www.libtool.com.cn
Digitized by Google

πίας πολλὰς χεῖρας προτείνει τοῖς καταίρουσι. λιμένας δὲ ἐπαινέσεις ἢ ὡς ἀκλύστους, ἢ ὡς νηνέμους καὶ ὡς ἐπισκεπεῖς, ἢ ὡς πολύπλους, ἢ ὡς κατὰ πάντα ἄνεμον ἐκπέμποντας, ἢ ὡς πρὸ τῶν μεγάλων πελαγῶν προκει-
5 μένους, ἢ ὡς ἀγχιβαθεῖς.

[ΠΩΣ ΔΕΙ ΚΟΛΠΟΥΣ ΕΠΑΙΝΕΙΝ.]

Ἐν τούτῳ δὲ καὶ τὸ περὶ τῶν κόλπων. κόλπους ἐπαινέσεις εἰς μέγεθος καὶ κάλλος καὶ εὐρυθμίαν καὶ εἰς εὐλιμενότητα καὶ πολυλιμενότητα.

10 [ΠΩΣ ΔΕΙ ΑΚΡΟΠΟΛΙΝ ΕΓΚΩΜΙΑΖΕΙΝ.]

Ἐν τούτῳ δὲ καὶ τὸ περὶ τῶν ἀκροπόλεων· αἱ μὲν
76 γὰρ αὐτῶν ἐν μέσῳ πόλεών εἰσιν, αἱ δ' ἐν πλαγίοις. καὶ
176 αἱ μὲν ὑψηλαί, στεναὶ δὲ τὸ ἄνω δάπεδον, αἱ δὲ βραχεῖαι μέν, εὐρύχωροι δέ· καὶ αἱ μὲν εὔυδροι, αἱ δὲ ἄνυ-
15 δροι· καὶ αἱ μὲν ἀνώμαλοι τὰς κορυφάς, αἱ δὲ πεδινώτεραι. ἥτις μὲν οὖν τὰς μὲν ἀρετὰς εἴληφεν, τὰς δὲ κακίας ἐκπέφευγεν, αὕτη καλλίστη, ὅμως δ' ἐξ ὧν ἐπαινετέον τούτων ἑκάστην, λεκτέον. ἂν μὲν τοίνυν ἐν πλαγίῳ τῆς πόλεως ᾖ, ὅτι ἀκριβῶς κέλητι ἔοικε·
20 μετὰ γὰρ πᾶν τὸ σῶμα κεῖται. εἰ δ' ἐν μέσῳ, ὅτι περὶ αὐτὴν ἡ πόλις ἵδρυται, ὥσπερ βασιλικαὶ περὶ ἱερὸν περιβολαί. ἂν δ' ὑψηλὴ μέν, στενὴ δὲ τὸ ἄνω ἔδαφος,
77 ὅτι ὥσπερ ἱερὸν τῷ ὄντι ἅπαν ἀοίκητόν ἐστι, πλὴν ὅσα
177 τοῖς κατέχουσι θεοῖς. εἰ δὲ βραχεῖα μέν, εὐρύχωρος δέ,
25 ὅτι πόλει ἔοικεν ἡ ἀκρόπολις ὑπ' εὐρυχωρίας. καὶ εἰ μὲν ἄνυδρος, ὅτι ὑπὸ ὕψους τοῦτο πέπονθεν, εἰ δὲ εὔυδρος, ὅτι καὶ ὑψηλὴ οὖσα πρὸς χρείαν ἐστὶν αὐτάρκης. καὶ εἰ μὲν ἀνώμαλος, ὅτι ὥσπερ ἄλλας ἀκροπό-
30 λεις ἐν αὑτῇ ἔχει· εἰ δὲ πεδινή, ὅτι θέσεως ἕνεκα καὶ ῥᾳστώνης ὡς πόλις ᾠκίσθη. κράτιστον δὲ ὅπερ ἔφην,

τὰς ἀρετὰς παρούσας καὶ τὰς κακίας ἀπούσας ἁπάσας δεικνύναι, ἢ πλείονας ἀρετὰς κακιῶν. ταῦτα καὶ περὶ ἀκροπόλεων θέσεως ἡμῖν ἀποδεδείχθω.

ΠΩΣ ΔΕΙ ΑΠΟ ΓΕΝΟΤΣ ΠΟΛΙΝ ΕΓΚΩΜΙΑΖΕΙΝ. 4

Δεύτερος δ' ἂν εἴη τόπος ὁ τοῦ γένους καλούμενος, διαιρεῖται δὲ εἰς οἰκιστάς, εἰς τοὺς οἰκήσαντας, εἰς τὸν χρόνον, εἰς τὰς μεταβολάς, εἰς τὰς αἰτίας, ἀφ' ὧν αἱ πόλεις οἰκοῦνται. τούτων δ' αὖ ἕκαστον πολλαχῇ διαιρετέον, οἷον εὐθὺς εἴ τις οἰκιστής, ζητοῦμεν, εἰ θεός, εἰ ἥρως, εἰ ἄνθρωπος, καὶ πάλιν κατὰ τύχας στρατηγὸς ἢ βασιλεὺς ἢ ἰδιώτης. ἐὰν τοίνυν θεὸς ᾖ, μέγιστον τὸ ἐγκώμιον, ὥσπερ ἐπ' ἐνίων λέγεται, ὡς περὶ Ἑρμουπόλεως καὶ Ἡλιουπόλεως καὶ τῶν τοιούτων. ἐὰν δὲ ἡμιθέων καὶ ἡρώων ᾖ καὶ μετὰ ταῦτα θεὸς γενόμενος, ἔλαττον μὲν τὸ ἐγκώμιον, ἔνδοξον δὲ καὶ οὕτως, ὥσπερ ἐφ' Ἡρακλείας τῆς πόλεως, καὶ ὅσας ἢ Σαρπηδὼν ἢ Μίνως ᾤκισαν, ἢ ἄλλοι ἥρωες. ἐὰν δὲ ἄνθρωπος, ἐὰν μὲν ᾖ στρατηγὸς ἢ βασιλεύς, ἔνδοξον, ἐὰν δὲ ἰδιώτης, ἄδοξον καὶ οὐκ ἐπιφανές. χρὴ οὖν, ὅτε τὸ περὶ τῶν οἰκιστῶν ἡμῖν διῄρηται, ἐκεῖνο τὸ θεώρημα [καὶ τὸ στοιχεῖον] κατὰ πάσης τῆς διαιρέσεως εἰδέναι, ὡς εἰ μὲν ἔνδοξος εἴη ὁ κατοικίσας, τά τε ἄλλα αὐτοῦ ἐγκωμιαστέον ἐν βραχυτάτοις, καὶ ὅτι τὴν πόλιν ᾤκισεν, ἣν ἂν ἐπαινῶμεν. ἐὰν δὲ ἄδοξος ᾖ, ἡ διαδοχὴ ἄδοξος γίνεται ἢ τῷ αἰσχρὰν ἔχειν δόξαν, ἢ τῷ μηδ' ὅλως ἔχειν. ἐὰν μὲν τοίνυν μηδ' ὅλως ἔχῃ, φατέον μόνον, ὅτι ἀπὸ τῆς κτίσεως τῆς πόλεως, ὥσπερ ἐξαρκοῦν, ἠξίωσε γνωρίζεσθαι· εἰ δὲ φαύλην δόξαν εἰληφώς, ὅτι ἀπολογίαν ταύτην ἱκανὴν ἐπὶ τοῖς ἄλλοις ἐξεῦρεν. ἀπὸ μὲν τῆς τομῆς ταύτης τὸν οἰκιστὴν γνωριοῦμεν.

Τοὺς δὲ οἰκήσαντας διαιρήσομεν μιᾷ μὲν τομῇ

Digitized by Google

Ἑλλήνων καὶ βαρβάρων, δευτέρα δὲ βαρβάρων μὲν ἢ
τῶν ἀρχαιοτάτων, ὥσπερ Φρυγῶν, ἢ βασιλικωτάτων,
80 180 ὥσπερ Λυδῶν ἢ Μήδων ἢ Περσῶν ἢ Αἰθιόπων ἢ Σκυ-
θῶν. καὶ ὅλως δήλη ἐστὶν ἡ ὁδὸς τῷ προϊόντι κατὰ τὸ
ἀποδοθὲν θεώρημα. δεῖ γὰρ ἀποφαίνειν τὰ οἰκήσαντα
γένη τὴν βάρβαρον πόλιν, ἣν ἂν ἐπαινέσῃς, ἢ πρεσβύ-
τατα ἢ σοφώτατα ἢ ἀρχικώτατα ἢ ὅλως ἀρετήν τινα
σχόντα, ἢ μίαν, ἢ πολλάς, ἢ πάσας, ᾗ μάλιστα. Ἑλλή-
νων δ' αὖ τῶν εὐγενεστάτων νομιζομένων γενῶν γένη
τὰ ἀνωτάτω καὶ γνωριμώτατα τρία, τὸ Δωριέων,
Αἰολέων, Ἰώνων. τὸ μὲν τοίνυν Αἰολέων πολὺ ἰσχυ-
ρότατον, τὸ δὲ Δωριέων ἀνδρικώτατον, τὸ δὲ Ἰώνων
ἐλλογιμώτατον. χρὴ οὖν ἀποφαίνειν τὴν Ἑλληνίδα
πόλιν ἐκ τούτων οὖσαν τῶν γενῶν. καὶ οὕτως μὲν
τὰ γένη τῶν ἐνοικούντων διαγνωσόμεθα, καὶ τοὺς ἐπαί-
νους, οὓς ἂν περὶ τῶν γενῶν εἴπωμεν, νομιοῦμεν
81 προσήκειν τοῖς οἰκήσασιν, ὥσπερ εἰ λέγοιμεν, ὅτι ἡ
Σμύρνα ἢ Ἔφεσος τοῦ ἐλλογιμωτάτου μέρους ἐστίν,
181 ἢ τῶν ἐν Κρήτῃ πόλεων πολλαὶ καὶ Ῥόδος τοῦ ἀν-
δρικωτάτου· Δωρικαὶ γάρ εἰσι, καὶ ἐπὶ τῶν ἄλλων
ὡσαύτως.

Τρίτον ἔφαμεν τοῦ γένους εἶναι τὸν χρόνον, τρισὶν
ὅροις· ἢ τῶν παλαιοτάτων, ὅταν ἢ πρὸ ἄστρων ἢ μετὰ
τῶν ἄστρων φάσκωμεν, ἢ πρὸ κατακλυσμοῦ ἢ μετὰ κατα-
κλυσμὸν φάσκωμεν οἰκισθῆναι ἢ πόλιν ἢ χώραν, ὥσπερ
82 Ἀθηναῖοι μεθ' ἡλίου γενέσθαι φασίν, Ἀρκάδες δὲ πρὸ
182 σελήνης, Δελφοὶ δὲ μετὰ τὸν κατακλυσμὸν εὐθύς. δια-
στήματα γὰρ καὶ ὥσπερ ἀρχαὶ αὗται τοῦ αἰῶνος. ἢ μέσῳ
ὅρῳ λογιούμεθα, οἷον ὅτ' ἤνθησεν ἡ Ἑλλὰς ἢ ἡ Περσῶν
δύναμις ἢ Ἀσσυρίων ἢ Μήδων, ὥσπερ Συρακοῦσαι καὶ
ἔνιαι τῶν ἐν Ἰωνίᾳ πόλεων καὶ πλεῖσται τῆς Ἑλλάδος
καὶ τῆς βαρβάρου. τῶν δὲ ἐσχάτων καὶ νεωτάτων αἱ

Digitized by Google

ἐπὶ Ῥωμαίων· ὅσαι γὰρ νεώταται πόλεις, παρὰ τού- 83
των ἐκτίσθησαν. ἐὰν μὲν τοίνυν ἀρχαιοτάτη ἡ πό-
λις ᾖ, φήσεις τὸ πρεσβύτατον τιμιώτατον εἶναι, καὶ
ὅτι αἰώνιός ἐστιν ἡ πόλις, ὥσπερ οἱ θεοί. ἐὰν δὲ τοῦ
μέσου ὅρου, ὅτι οὔθ' ὑπορρεῖ καὶ γεγήρακεν, ὥστε 5
πεπονηκέναι, οὔτε νεωστὶ ἀνέστηκεν. ἐὰν δὲ νεωτέρα
ᾖ, ὅτι ἀνθεῖ καθάπερ κόρη ἀκμάζουσα, καὶ ὅτι μετὰ
πλειόνων καὶ βελτιόνων ἐλπίδων οἰκεῖται. χρὴ δὲ τὰς
νεωτέρας μηδὲν ἐλαττουμένας σεμνότητι τῶν παλαιοτέ- 183
ρων δεικνύειν, τὰς δὲ ἀπὸ τοῦ μέσου ὅρου πρὸς ἀμφο- 10
τέρας αὐτάρκεις. τοσαῦτα καὶ περὶ χρόνου τῶν πόλεων
δεδόσθω.

Τέταρτος τόπος ὁ τῶν μεταβολῶν, διαιρεῖται δὲ
κατὰ τάδε· ἢ γὰρ ἀπῳκίσθη, ἢ συνῳκίσθη, ἢ μετῳ-
κίσθη, ἢ ἐπηυξήθη, ἢ ὅλως οὐκ οὖσα πρότερον ἐπῳ- 15
κίσθη. ἀπῳκίσθη μέν, ὥσπερ αἱ πλεῖσται τῶν Ἑλ-
ληνίδων, αἱ ἐν Ἰωνίᾳ, αἱ ἐν Ἑλλησπόντῳ, αἱ νῆσοι·
συνῳκίσθη δέ, ὥσπερ Μεγάλη πόλις ἐν Ἀρκαδίᾳ· με- 84
τῳκίσθη δέ, ὥσπερ περὶ Σμύρνης Ἀριστείδης, φησὶ
γὰρ αὐτὴν τρὶς ἀλλάξαι τὸν τόπον· ἐπηυξήθη δέ, ὥσπερ 20
ὅσας πρότερον κώμας οὔσας [ὅλως] πόλεις πεποιήκασι 184
βασιλεῖς· ἐπῳκίσθησαν δέ, ὅσας πρότερον οὐδ' οὔσας
[κώμας] ὅλως πόλεις τινὲς ἀπέφηναν.

Μεταβολὴ δὲ παρὰ ταύτας ἁπάσας γίνεται, ἐπ'
ἐνίων πολλάκις περὶ τὸ ὄνομα· τὴν γὰρ αὐτὴν πόλιν ἢ 25
χώραν ποτὲ μὲν Κραναήν, ποτὲ δὲ Κεκροπίαν, ποτὲ
δὲ Ακτήν, ποτὲ δὲ Αττικήν, ποτὲ δὲ Αθήνας κεκλή- 85
κασι· καὶ Πελοπόννησον ποτὲ μὲν Πελασγίαν, ποτὲ δὲ
Ἀπίαν, ποτὲ δὲ ἄλλο τι τοιοῦτον. ἀλλὰ τὸ τοιοῦτον τῆς
μεταβολῆς εἶδος οὐκ ἔχει πρόφασιν ἐπαίνου, πλὴν εἴ 30
τις τοὺς ἄνδρας ἐπαινοίη ἢ θεούς, ἀφ' ὧν αἱ πόλεις 185
ὀνομάζονται. ὅπως δὲ τῶν μεταβολῶν ἕκαστον εἶδος

www.libtool.com.cn
Digitized by Google

ἐπαινεσόμεθα, διδάξω. ἐὰν μὲν ἀποικίαν, ὅτι ἀπὸ μεγίστης πόλεως ἀπῴκησαν καὶ ἐνδοξοτάτης, ὅτι ἀπῴκισται ἐνδόξως, ὅτι δυνάμει κατέσχε τὸν τόπον, ὅτι κατὰ φιλίαν ἀπῳκίσθησαν, οὐχὶ στάσει καὶ πολέμοις ἐκπεσόντες, καὶ ὅλως ὑποδέδεικταί σοι πρὸς ἃ χρὴ βλέπειν κἀν τοῖς τῶν ἀπῳκισμένων πόλεων ἐπαίνοις. εἰ δὲ συνῳκισμένην πόλιν ἐπαινοίης, καὶ τὰ μέρη αὐτὰ καθ' ἑαυτὰ μέγιστα ἀποφανεῖς· ὅσῳ γὰρ ἂν μειζόνως αὐτὰ ἐπαινοίης, μειζόνως τὴν συνῳκισμένην πόλιν ἐγκωμιάσεις, τὴν δὲ πρόφασιν τοῦ συνοικισμοῦ ἐξετά-
186 σεις καὶ τοὺς συνοικήσαντας, οἵτινες ἦσαν, καὶ πάλιν ἡ τούτων ἰδέα σοι ἐπιδέδεικται. εἰ δὲ μετῳκισμένη εἴη ἡ πόλις, δεῖ σε δεικνύναι, ὅτι οὐ κατὰ συμφοράς, ἀλλὰ πρὸς κάλλος μεταβαλοῦσα τὸν τόπον, ὅτι μετοικιζομένη μείζων καὶ καλλίων ἐγένετο, καὶ περιεργάσῃ, εἴτε ἅπαξ εἴτε πολλάκις· κἂν μὲν ἅπαξ ᾖ δίς, ἔκτυπα αὐτῆς πρότερον καταθέσθαι· εἰ δὲ πολλάκις, ὅτι κινουμένῃ καὶ βαδιζούσῃ ἔοικεν ἡ πόλις. καὶ τῶν μετοικισμῶν τὰς αἰτίας, εἰ μὲν εἴησαν φαῦλαι, συγκρύψεις ὡς δυνατόν, οἷον σεισμοὺς ἢ πορθήσεις ἢ λοιμοὺς ἢ τὰ τοιαῦτα· εἰ δ' εἴησαν ἀγαθαί, ἐγκωμιάσεις καὶ ἀπὸ τούτων, οἷά σοι περὶ τούτων ἀποδέδεικται. εἰ δ' ἐπηυξημένη ἡ πόλις εἴη, οὐ χαλεπὸν συνιδεῖν, ἀφ' ὧν ἄν τις ἐγκωμιάζοι. ὥσπερ γὰρ σῶμα αὐξανόμενον, τῷ χρόνῳ φήσεις προεληλυθέναι αὐτὴν εἰς μέγεθος, καὶ διὰ τοῦτο προσδοκᾶν αὐτὴν καὶ ἔτι μᾶλλον προελεύσεσθαι. εἰ δ' ἡ πόλις, ἣν
187 ἐπαινεῖς, ἅμα οἰκοδομηθεῖσα καὶ πόλις ἦν γενομένη, τὸ ἐκ διαφορᾶς πρὸς τὰς ἐκ κωμῶν μεταβαλούσας πολλὰς ἄν σοι παράσχοι προφάσεις ἐπαίνων, ὅτι, ὥσπερ ἔνιοι ἅμα τῷ τεχθῆναι ἐν ἀξιώματί εἰσι, καὶ οὐ πρότερον δοῦλοι, εἶτα ἐλεύθεροι, οὐδὲ πρότερον ἰδιῶται, εἶτα

www.libtool.com.cn
Digitized by Google

ἄρχοντες, οὕτως αἱ τοιαῦται πόλεις. καὶ αὕτη ἡ περὶ ταῦτα μέθοδος. εἰ δ' ἐκ κώμης εἴη μεταβεβληκυῖα, ὅτι, ὥσπερ ἐν στρατοπέδῳ οὗτος ἄριστος στρατηγός, ὅστις χιλίαρχος πρότερον ἐγένετο, καὶ χιλίαρχος ὅστις λοχαγός, καὶ λοχαγὸς ὅστις στρατιώτης, οὕτω καὶ πόλις ἀρίστη, ἥτις ἐν πείραις ἐξητάσθη. καὶ ὅλως οὐκ ἀπορήσεις, κατὰ τοῦτο ἰὼν τὸ ἴχνος, ἐξ ὧν ἂν ἐπαινοίης. τοσαῦτά σοι καὶ περὶ τῶν μεταβολῶν καὶ τῶν εἰδῶν τῆς μεταβολῆς ** φημὶ οὐδὲν μέγα πρὸς ἐγκώμιον ἔχειν ἢ βραχὺ ἐπαινούντων ἡμῶν ἢ θεὸν ἢ ἄνθρωπον τὸν ἐπώνυμον. 88

Ἦν δὲ μετὰ τὰς μεταβολὰς τόπος ὁ τῶν αἰτιῶν, πενταχῆ δὲ καὶ οὗτος διαιρεῖται, καὶ πῶς τὴν διαίρεσιν ποιησάμενοι τοὺς ἐπαίνους ἂν προσαγάγοιμεν, ἐξῆς ἂν εἴη ἀποδεῖξαι. αἰτίαι τοίνυν οἰκισμῶν πόλεων ἢ θεῖαι, ἢ ἡρωϊκαί, ἢ ἀνθρώπιναι. καὶ πάλιν ἢ ἐπ' εὐφροσύνῃ ἢ πένθει· καὶ πάλιν κατὰ τὰ τελικὰ καλούμενα κεφάλαια, ἢ ὡς διὰ τὸ συμφέρον, ἢ ὡς διὰ τὸ ἀναγκαῖον. χρὴ δὲ τούτων τὰ παραδείγματα ἐκθέσθαι. θεῖα μὲν τοίνυν αἰτία ἐστίν, ὁποῖα περὶ Ῥόδου ἢ Δήλου· περὶ μὲν Ῥόδου, ὅτι διαλαχόντες ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ Ἅιδης τὰ πάντα, Ἡλίῳ μοῖραν οὐ κατέλιπον, ἀναμνησθέντες δὲ ἐμελλον ἀνακληροῦσθαι, ὁ δ' Ἥλιος ἀρκεῖν αὐτῷ ἔφη, εἰ φανερὰν ποιήσειαν τὴν Ῥόδον. περὶ δὲ Δήλου, ὅτι διὰ τὴν ἐκ Διὸς Ἀπόλλωνος καὶ Ἀρτέμιδος γένεσιν ἀνέδραμεν ἐκ θαλάττης. ἡρωϊκαὶ δ' αἰτίαι περὶ Σαλαμῖνος τῆς ἐν Κύπρῳ, ἢ Ἄργους τοῦ Ἀμφιλοχικοῦ· τὴν μὲν γὰρ ὁ Τεῦκρος ᾤκισεν ἐκπεσών, τὴν δὲ Ἀμφίλοχος ὁ Ἀμφιάρεω, καὶ πολλαὶ πόλεις τῶν Ἑλληνίδων τοιαύτας ἔχουσιν αἰτίας ἡρωϊκάς. ἀνθρώπιναι δέ, ὁποῖαι περὶ Βαβυλῶνος λεγόμεναι, οἷον Νίνον 89 189 90

www.libtool.com.cn

Digitized by Google

Σεμίραμις ᾠκοδόμησεν, βασίλειαν εἶναί φησι. καὶ
190 Ῥωμαϊκαὶ δὲ πᾶσαι πόλεις, ἃς Ῥωμαίων ᾤκισαν βασι-
λεῖς, τοιαύτας ἔχουσι τὰς αἰτίας. αὕτη μὲν δὴ πρώτη
διαίρεσις.

5 Ἡ δὲ δευτέρα, ὅτι αἱ μὲν ἐπ᾽ εὐφροσύνῃ, αἱ δὲ
ἐπὶ πένθει. εὐφροσύνῃ μέν, ὡς ἐπὶ γάμοις, νίκαις
καὶ τοῖς τοιούτοις. δεῖ δὲ καὶ τούτων παραδείγματα
γράψαι. γάμων μὲν τοίνυν, ὥς φασι τὴν Μέμφιν
ἐπὶ τῷ γάμῳ τῆς Ἀφροδίτης καὶ τοῦ Ἡφαίστου. νί-
10 κης δέ, οἷόν φασι τὴν Θεσσαλονίκην ἐπὶ τῇ νίκῃ
τῶν Θεσσαλῶν οἰκισθῆναι ὑπὸ τῶν Μακεδόνων· καὶ
91 τὴν ἐπὶ Ἀκτίῳ Νικόπολιν ὑπὸ Ῥωμαίων ἐπὶ τῇ νίκῃ
τῇ κατὰ Κλεοπάτρας. ἐπὶ πένθει δὲ καὶ οἴκτῳ, ὡς
191 ἱστοροῦσι Βουκέφαλον τὴν ἐν Ἰνδοῖς πόλιν ἐπὶ τῷ
15 ἵππῳ τοῦ Ἀλεξάνδρου τῷ Βουκεφάλῳ ἀνοικισθῆναι·
τὴν Ἀντινόου δὲ ἐν Αἰγύπτῳ Ἀντινόου θανάτῳ ὑπὸ
Ἀδριανοῦ. καὶ δῆλον ἡγοῦμαί σοι γεγενῆσθαι καὶ
τὸ τῆς διαιρέσεως ταύτης θεώρημα.

Ἦν δὲ ἡ τρίτη διαίρεσις κατὰ τὰ τελικὰ κεφά-
20 λαια καλούμενα. τοῦ μὲν τοίνυν δικαίου τὸ κατὰ
92 Ῥήνην, ὅτι οἰκίσας αὐτὴν ὁ Μίνως ἀνέθηκε τῷ Ἀπόλ-
192 λωνι εὐσεβείᾳ, τὸ δ᾽ εὐσεβὲς δίκαιον. τοῦ δὲ καλοῦ,
ὡς τὸ κατὰ Ἀλεξάνδρειαν, ὅτι εὐδοξίας ἕνεκα καὶ
κλέους ὁ Ἀλέξανδρος μεγίστην τῶν ὑφ᾽ ἡλίῳ πόλεων
25 ἠβουλήθη κατοικίσαι. τοῦ δὲ συμφέροντος, ὡς τὸ
καθ᾽ Ἡράκλειαν τὴν ἐν Πόντῳ, ὅτι τοὺς βαρβάρους
ἀναστέλλων Ἡρακλῆς τὸν ἐκεῖ τόπον κατῴκισε. τοῦ
δ᾽ ἀναγκαίου, ὡς τὸ κατὰ τὰς πόλεις τὰς κατ᾽ Ἴστρον
ποταμὸν ὑπὸ Ῥωμαίων κατοικισθείσας, τὰς καλου-
30 μένας Καρπίας, ὡς μὴ διαβαίνοντες οἱ βάρβαροι
193 κακουργοῖεν. ὑσῶν δὲ τοιούτων αἰτιῶν καὶ τοιου-
τοτρόπων, εἰδέναι σε χρή, ὅτι ἐνδοξότεραι μὲν αἱ

Digitized by Google

θεῖαι ἢ ἡρωϊκαί, τρίται δὲ αἱ ἀνθρωπικαί· καὶ πάλιν πρῶται μὲν αἱ ἐπ᾽ εὐφροσύνῃ, δεύτεραι δὲ αἱ ἐπὶ πένθει· καὶ πάλιν ἐνδοξότεραι μὲν αἱ ἐκ περιουσίας τῶν τελικῶν κεφαλαίων, χρησιμώτεραι δὲ αἱ ἀπὸ τῶν ἀναγκαίων καὶ συμφερόντων. ἐν μὲν οὖν ταῖς ἐνδοξο- 93
τέραις ἐπὶ πλέον διατριπτέον, ἐν δὲ ταῖς ἀδόξοις ἐπ᾽ 6
ἔλαττον· ὁ μέντοι τόπος ἀναγκαιότατος πρὸς ἔπαινον πόλεων ῥήτορι πανταχῆ. αὐτῶν δὲ τούτων τῶν αἰτιῶν μυθώδεις μὲν αἱ θεῖαι καὶ ἡρωϊκαί, πιθανώτεραι δὲ αἱ ἀνθρωπικαί. τὰς μὲν τοίνυν ἀνθρωπικὰς αὐξητέον, 10
τὰς δὲ ἡρωϊκὰς καὶ θείας καὶ πιστωτέον καὶ αὐξητέον. τοσαῦτά σοι καὶ περὶ τῆς τοῦ γένους ἐπιχειρήσεως ἔχομεν συμβαλέσθαι. τρίτον τοίνυν βιβλίον ἡμῖν γραφέσθω περὶ ἐπιτηδεύσεων καὶ πράξεων· καὶ γὰρ ἀπὸ τούτων δεῖν ἔφαμεν τὰς πόλεις ἐγκωμιάζειν. 15

ΠΩΣ ΔΕΙ ΑΠΟ ΕΠΙΤΗΔΕΥΣΕΩΝ ΤΑΣ ΠΟΛΕΙΣ ΕΓΚΩΜΙΑΖΕΙΝ. 194

III.

Τῶν τοίνυν ἐπιτηδεύσεων αἱ μὲν κατὰ τὴν τῆς πο- 1
λιτείας κατάστασιν θεωροῦνται, αἱ δὲ κατὰ τὰς ἐπιστήμας, αἱ δὲ κατὰ τὰς τέχνας, αἱ δὲ κατὰ τὰς δυνάμεις. 94
αὐτῶν δὲ τούτων τῶν μερῶν ἢ εἰδῶν ὅ τι χρὴ διαιρεῖ- 21
σθαι, πειράσομαι ποιῆσαι καταφανές. πολιτεῖαι μέν εἰσι τρεῖς, βασιλεία, ἀριστοκρατία, δημοκρατία, ταύταις δὲ παρακείμεναί εἰσι κακίαι, βασιλείᾳ μὲν τυραννίς, ἀριστοκρατίᾳ δὲ ὀλιγαρχία καὶ πλουτοκρατία λεγο- 25
μένη, δημοκρατίᾳ δὲ λαοκρατία. παρὰ πάσας δὲ ταύτας ἡ μικτὴ ἐκ πάντων τούτων, ὁποία ἥ τε Ῥωμαϊκὴ καὶ ἡ Λακωνικὴ τὸ παλαιόν. εἰ τοίνυν ἐπαινοίης πόλιν, εἰ μὲν τυραννουμένην, ὡς βασιλευομένην ἐπαινεῖν δεῖ, ὡς ἐν τοῖς Νικοκλείοις ὁ Ἰσοκράτης πεποίηκεν, εἰ δὲ 30
λαοκρατουμένην, ὡς δημοκρατουμένην, ὡς ἐν τῷ Πα-

www.libtool.com.cn
Digitized by Google

195 95 ναθηναϊκῷ Ἰσοκράτης, καὶ Πλάτων ἐν τῷ ἐπιταφίῳ· εἰ δὲ πλουτοκρατουμένην, ὡς ἀριστοκρατουμένην· εἰ δὲ μικτήν, ὅτι ἐξ ἁπασῶν εἴληφε τὰ κάλλιστα. τοῦτο δὲ ὁ Πλάτων περὶ τῆς Λακωνικῆς πολιτείας ἐν τοῖς Νό-
5 μοις εἴρηκεν, καὶ Ἀριστείδης ἐν τῷ Ῥωμαϊκῷ λόγῳ. εἴησαν δὲ ἐπαίνων ἀφορμαὶ παρὰ ταύτας ἁπάσας δεῖξαι πόλιν μὴ κατὰ τοὺς αὐτοὺς χρόνους ἁπάσαις κεχρημένην ἀλλ' ἄλλοτε ἄλλῃ, ὅπερ Ἰσοκράτης περὶ τῆς τῶν Ἀθηναίων πόλεως εἴρηκε καὶ Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. δεῖ δὲ νομίζειν περὶ πολιτείας, ἄριστον εἶναι τὸ ἑκοῦσαν, ἀλλὰ μὴ ἄκουσαν ἄρχεσθαι τὴν πόλιν, καὶ τὸ ἀκριβῶς φυλάττειν τοὺς νόμους, ἥκιστα δὲ νόμων δεῖσθαι. τοῦτο δὲ τὸ μέρος τῶν ἐπαίνων κινδυ-
96 νεύει σχεδὸν ἀργὸν εἶναι· ὑπὸ γὰρ μιᾶς αἱ Ῥωμαϊκαὶ
196 ἅπασαι νῦν διοικοῦνται πόλεις, τελειότητος δὲ ἕνεκεν
16 ἐχρῆν περὶ αὐτοῦ μνησθῆναι.

Αἱ δὲ κατὰ τὰς ἐπιστήμας ἐπιτηδεύσεις, εἰ κατὰ πόλιν εἴησαν εὐδόκιμοι, ἀστρολογία καὶ γεωμετρία, ἢ μουσική, ἢ γραμματική, ἢ φιλοσοφία· αἱ γὰρ τοιαῦ-
20 ταί εἰσιν αἱ κατ' ἐπιστήμην ἐπιτηδεύσεις. φασὶ γὰρ [οὐ] Μυτιληναίους ἐπὶ κιθαρῳδίᾳ μέγιστον φρονῆσαι, Θηβαίους δὲ ἐπὶ αὐλητικῇ, Δηλίους ἐπὶ χοροστατικῇ, ἔτι δὲ καὶ νῦν τοὺς Ἀλεξανδρέας ἐπὶ γραμματικῇ γεωμετρίᾳ καὶ φιλοσοφίᾳ.

25 Αἱ δὲ κατὰ τὰς τέχνας ἐπιτηδεύσεις αἱ μέν εἰσι βάναυσοι, αἱ δὲ ἐλευθέριοι. βάναυσοι μὲν χρυσοχοϊκὴ καὶ χαλκευτικὴ καὶ τεκτονικὴ καὶ ὅσαι τοιαῦταί εἰσιν. ** ἔστιν οὖν καὶ ἀπὸ τούτων ἐπαινέσαι πόλιν ἢ εἰς πλῆθος ἢ εἰς ἀκρίβειαν. φασὶ γὰρ Ἀθηναίους μὲν
30 ἐπὶ ἀγαλματοποιΐα καὶ ζωγραφίᾳ, καὶ Κροτωνιάτας ἐπὶ ἰατρικῇ μέγιστον φρονῆσαι, καὶ ἄλλους ἐπ' ἄλλαις τέχναις.

Digitized by Google

Αἱ δὲ κατὰ τὰς δυνάμεις ἐπιτηδεύσεις ῥητορικὴ καὶ 197
97
ἀθλητικὴ καὶ ὅσα τοιαῦτα. Αἰγινῆται μὲν γὰρ ἐπὶ
ἀθλητικῇ καὶ Ἑρμουπολῖται μεγαλοφρονοῦσι.

Παρὰ πάσας δὲ ταύτας τὰς ἐπιτηδεύσεις καὶ τὰ
ἐνεργήματα κοσμούμεθα, εἰ κοσμίως διοικεῖται ἡ πόλις· 5
ἀνήκει δὲ ἐπὶ τὴν τῶν ἀνδρῶν καὶ τὴν τῶν γυναικῶν
δίαιταν καὶ τὴν τῶν παίδων διαγωγήν. δεῖ γὰρ τὸ
αὐτὸ ἀποφαίνειν προσῆκον καὶ γυναιξὶ καὶ ἀνδράσι καὶ
παισὶν ἐπὶ διαίτῃ ἀπονενεμημένον, ὅπερ ὁ Δίων ἐν τῷ
Ταρσικῷ ἐπιγραφομένῳ πεποίηκεν. ἀπὸ μὲν δὴ τούτων 10
τὰς τῶν πόλεων ἐπιτηδεύσεις δοκιμαστέον.

198
Τὰς δὲ πράξεις κατὰ τὰς ἀρετὰς καὶ τὰ μέρη αὐτῶν. 2
χρὴ δὲ καὶ περὶ τούτων σοι διελέσθαι. οὐκοῦν ἀρεταὶ 98
μέν, ὥσπερ ἔφαμεν, τέσσαρες· ἀνδρία, δικαιοσύνη,
σωφροσύνη, φρόνησις. πράξεις δὲ πᾶσαι, ὅσας ἢ ἰδιῶ- 15
ται ἢ πολῖται ἀποδείκνυνται, κατὰ ταύτας δοκιμάζον-
ται, καὶ αὐταὶ καὶ τὰ μέρη αὐτῶν. ἔστι δὲ δικαιοσύνης
μὲν μέρη, εὐσέβεια, δικαιοπραγία καὶ ὁσιότης. εὐ- 199
σέβεια μὲν περὶ τοὺς θεούς, δικαιοπραγία δὲ περὶ τοὺς 99
ἀνθρώπους, ὁσιότης δὲ περὶ τοὺς κατοιχομένους. τῆς 20
δ' αὖ περὶ τοὺς θεοὺς εὐσεβείας τὸ μέν τί ἐστι θεοφι-
λότης, τὸ δὲ φιλοθεότης. θεοφιλότης μὲν τὸ ὑπὸ τῶν
θεῶν φιλεῖσθαι καὶ παρὰ τῶν θεῶν πολλῶν τυγχάνειν,
φιλοθεότης δὲ τὸ φιλεῖν τοὺς θεοὺς καὶ φιλίαν ἔχειν
περὶ αὐτούς. τῆς δ' αὖ φιλοθεότητος τὸ μέν τί ἐστιν 25
ἐν λόγοις, τὸ δέ τι ἐν ἔργοις. ἔργα δ' ἢ ἴδια ἢ δημό-
σια, καὶ κατ' εἰρήνην ἢ πόλεμον· ἄλλως γὰρ οὐκ ἂν
εὐσέβεια φανείη πόλεως. δεῖ δὲ καὶ τούτων παραδείγ-
ματα ἑκάστων ἐκθέσθαι. τῆς μὲν θεοφιλότητος ἐκεῖνα
ἐγκώμια, ἃ περὶ Ἀθηναίων καὶ Ῥοδίων καὶ Κορινθίων 31
λέγεται. περὶ Ἀθηναίων μέν, ὅτι Ἀθηνᾶ καὶ Ποσει- 100

www.libool.com.cn
Digitized by Google

200 δῶν ἤρισαν περὶ γῆς αὐτῶν, περὶ δὲ Ῥοδίων, ὅτι ὗσεν
ὁ Ζεὺς χρυσῷ, περὶ δὲ Κορινθίων καὶ Ἰσθμοῦ, ὅτι
Ἥλιος καὶ Ποσειδῶν ἤρισαν, περὶ δὲ Δελφῶν Ἀπόλλων
καὶ Ποσειδῶν καὶ Θέμις καὶ Νύξ. ἐν δὲ τούτῳ τῷ μέρει
5 ἢ τοὺς πλείστους ἢ τοὺς ἀρίστους τῶν θεῶν ταῖς μεγί-
στοις τῶν τιμῶν ἢ ταῖς πρώταις ἢ ταῖς πλείσταις ἢ ταῖς
ἀναγκαιοτάταις ἀποφαίνειν χρὴ τὴν πόλιν τετιμηκότας.
πλείστους μέν, ὡς περὶ Ἀθηναίων λέγεται· καὶ γὰρ
Διόνυσον καὶ Ἀπόλλωνα καὶ Ποσειδῶνα καὶ Ἀθηνᾶν
10 καὶ Ἥφαιστον καὶ Ἄρην καὶ πάντας αὐτοὺς ἢ τοὺς
πλείστους τετιμηκέναι λέγουσι. τοὺς ἀρίστους δέ,
ὥσπερ Ὀλυμπίαν τὸν Δία καὶ Νεμέαν. ταῖς δὲ μεγί-
101 στοις, ὡς περὶ Ἀθηναίων, ὅτι σῖτον καὶ οἶνον αὐτοῖς
ἐδωρήσαντο· πλείσταις δέ, ὡς περὶ Ἀθηναίων· σχε-
15 δὸν γὰρ ἅπασαν τοῦ βίου τὴν κατασκευὴν αὐτοῖς ἀξιοῦσι
παρὰ τῶν θεῶν γεγενῆσθαι. ταῖς δὲ ἀναγκαιοτάταις,
201 ὡς τὸ περὶ Αἰγυπτίων· ἀστρολογίαν γὰρ καὶ γεωμε-
τρίαν ἀξιοῦσι παρ' αὐτῶν γεγενῆσθαι. καὶ μάλιστα ὡς
20 τὸ περὶ λόγων καὶ φιλοσοφίας· Ἀθηναίοις γὰρ μάλιστα
ταῦτα ὑπάρξαι δοκεῖ. οὕτως μὲν οὖν τὴν θεοφιλότητα
ἐγκωμιάσεις ὠνομάσθη, ἣν τῆς τεχνικῆς ἕνεκα χρείας
ἐπισκεπτέον. τὴν δ' αὖ φιλοθεότητα, ὥσπερ ἔφην,
102 κριτέον ἰδίᾳ μέν, εἰ τῶν πολιτῶν ἕκαστος τῆς περὶ τοὺς
25 θεοὺς θεραπείας ἐπιμελεῖται, δημοσίᾳ δὲ κατὰ πολ-
λοὺς τρόπους, εἰ τελετὰς κατεστήσαντο, εἰ πολλὰς ἑορ-
τὰς ἐνόμισαν, εἰ πλείστας θυσίας ἢ ἀκριβεστάτας, εἰ
πλεῖστα ἱερὰ ᾠκοδόμησαν ἢ πάντων θεῶν ἢ πολλὰ
ἑκάστου, εἰ τὰς ἱερωσύνας ἀκριβῶς ποιοῦνται· ἀπὸ
γὰρ τούτων αἱ τῶν πόλεων φιλοθεότητες ποιοῦνται.
202 τὴν μὲν οὖν τῶν καθ' ἕνα σπάνιον ἐν τοῖς χρόνοις
31 εὑρεῖν, τῆς δὲ κοινῆς εὐσεβείας καὶ περὶ τοὺς θεοὺς
σπουδῆς πολλαὶ ἂν μεταποιοῖντο πόλεις, ὥστ', εἰ τούτων

Digitized by Google

μίαν ἀποφαίνοις τὴν ἐγκωμιαζομένην, ἱκανὴν εὐφημίαν ἔσῃ πεπορισμένος. καὶ περὶ μὲν τῆς εἰς τοὺς θεοὺς εὐσεβείας ταῦτα.

Ἡ δ' αὖ δικαιοπραγία διαιρεῖται εἴς τε τοὺς ἀφικνουμένους ξένους καὶ εἰς ἀλλήλους, μέρος δ' αὐτῆς καὶ τὸ τοῖς ἔθεσιν ἴσοις καὶ φιλανθρώποις καὶ τὸ νόμοις ἀκριβέσι καὶ δικαίοις χρῆσθαι. εἰ γὰρ μὴ ξένους ἀδικοῖεν μηδὲ ἀλλήλους κακουργοῖεν, τοῖς δ' ἔθεσιν ἴσοις καὶ κοινοῖς καὶ τοῖς νόμοις χρῷντο δικαίοις, οἱ πολῖται ἄριστα καὶ δικαιότατα τὰς πόλεις οἰκήσονται. ἀλλὰ τὸ τῶν νόμων ἐν τοῖς νῦν χρόνοις ἄχρηστον· κατὰ γὰρ τοὺς κοινοὺς τῶν Ῥωμαίων νόμους πολιτευόμεθα, ἔθεσι δ' ἄλλη πόλις ἄλλοις χρῆται, ἐξ ὧν προσῆκον ἐγκωμιάζειν.

Τῆς τοίνυν ὁσιότητος διττὸς τρόπος· ἢ γὰρ περὶ τὴν ἐκφορὰν τῶν τετελευτηκότων αἱ τιμαὶ γίνονται ἢ περὶ τὰ νομιζόμενα καὶ τὰ μνήματα καὶ τοὺς τάφους. περὶ μὲν δὴ τὴν ἐκφοράν, ὡς τὸ Ἀθήνησι πρὸ ἡλίου ἀνίσχοντος, ἢ ἐν Θουρίοις νύκτωρ ἡ πρόθεσις, ἢ προθέσεως ἡμέρα τακτή, ὡς τὸ Ἀθήνησι καὶ ὅσα ἄλλα τοιαῦτα. περὶ δὲ τὰ ὅσια, τίνος ἀπάγειν χοάς, πόσας, τίνας μέχρι τίνος, ἐν ποίᾳ ἡλικίᾳ, τίνες αἱ ἀποφράδες ἡμέραι· πάντα γὰρ ταῦτα ὁσιότητός εἰσιν. αὕτη τῆς δικαιοσύνης ἡ διαίρεσις αὐτῆς καὶ τῶν μερῶν, πρὸς ἣν τὸν ἐγκωμιάζοντα εἰς δικαιοσύνην καὶ τὸν νοῦν τῶν πόλεων δεῖ βλέπειν.

Μετὰ τὴν δικαιοσύνην [καὶ] τὴν σωφροσύνην καὶ τὴν φρόνησιν ἐπισκεψώμεθα. σωφροσύνης μὲν οὖν διττὸς ἔλεγχος, ἔν τε τῇ κοινῇ πολιτείᾳ καὶ τοῖς ἰδίοις οἴκοις. ἐν πολιτείᾳ μὲν κοινῇ περί τε παίδων ἀγωγὴν καὶ παρθένων καὶ γάμων καὶ συνοικήσεων καὶ τῶν νομίμων τῶν ἐπὶ τοῖς ἁμαρτήμασιν τοῖς ἀκόσμοις. καὶ

www.libtool.com.cn
Digitized by Google

205 γὰρ γυναικονόμους πολλαὶ τῶν πόλεών εἰσιν αἳ χειροτονοῦσιν. ἐν ἄλλαις δὲ τῶν πόλεων οὔτε πρὸ πληθούσης ἀγορᾶς νέον φαίνεσθαι οὔτε μετὰ δείλην ὀψίαν καλόν, οὐδὲ γυναῖκα καπηλεύειν ἢ ἄλλο τι ποιεῖν τῶν
5 κατὰ τὴν ἀγοράν. ἐν ἐνίαις δὲ πανηγύρεσιν οὐδὲ γυ-
106 ναῖκες φαίνονται, ὥσπερ ἐν Ὀλυμπίᾳ. χρὴ τοίνυν καὶ ταῦτα ἐν τοῖς ἐγκωμίοις παρατηρεῖν. ἐν δὲ τοῖς ἰδίοις βίοις ἤδη καὶ εἰ ἐλάχιστα μοιχεία καὶ ἄλλα ἁμαρτήματα ἐν τῇ πόλει φαίνεται.

10 Φρονήσεως δὲ κατὰ τὸν αὐτὸν τρόπον. ἐν μὲν τοῖς κοινοῖς, εἰ τὰ νόμιμα καὶ περὶ ὧν οἱ νόμοι, τίθεται ἀκρι-
206 βῶς ἡ πόλις, κλῆρον ἐπικλήρων, καὶ ὅσα ἄλλα μέρη νόμων. ἀλλὰ καὶ τοῦτο τὸ μέρος διὰ τὸ τοῖς κοινοῖς χρῆσθαι τῶν Ῥωμαίων νόμοις, ἄχρηστον. ἰδίως δέ, εἰ πολλοὶ
15 ἐλλόγιμοι γεγόνασιν ἀπὸ τῆς πόλεως ῥήτορες, σοφισταί, γεωμέτραι, καὶ ὅσαι ἐπιστῆμαι φρονήσεως ἧρτηνται.

Ἡ δ' ἀνδρεία κατ' εἰρήνην καὶ κατὰ πόλεμον δοκιμάζεται. καὶ κατὰ μὲν εἰρήνην πρὸς τὰς ἐκ τοῦ δαιμονίου συντυχίας, σεισμούς, λιμούς, λοιμούς, αὐχ-
20 μούς, καὶ ὅσα τοιαῦτα. κατὰ δὲ πόλεμον πρὸς τὰς ἐν
107 τοῖς ὅπλοις πράξεις. πρὸς τὰ τέλη γὰρ νίκην ἢ ἥτταν ἀναγκαῖον γενέσθαι. χρὴ τοίνυν ἥτταν μὲν ἐρρωμένως, νίκας δὲ ἀνθρωπίνως ἀποφαίνειν ἐνηνοχυῖαν τὴν πόλιν. τῶν δ' ἐν τοῖς ὅπλοις πράξεων αἱ μὲν πρὸς Ἕλληνας,
25 αἱ δὲ πρὸς βαρβάρους· ἔτι δὲ αἱ μὲν ἐκ περιουσίας, αἱ δ' ἐξ ἀνάγκης. ἐνδοξότεραι μὲν τοίνυν αἱ ἐκ περιουσίας, δικαιότεραι δὲ αἱ ἐξ ἀνάγκης. τῶν δὲ πράξεων αἱ μὲν ἔνδοξοι, αἱ δὲ ἀμφίδοξοι, αἱ δὲ ἄδοξοι. ἔνδοξοι μέν, ὧν καὶ ἡ πρόφασις καλὴ καὶ τὸ τέλος, ὡς ἡ ἐν Μαρα-
30 θῶνι. καὶ γὰρ τὸ τέλος καὶ ἡ τοῦ τέλους πρόφασις τῆς βελτίστης μοίρας. ἀμφίδοξοι δέ, ὧν τὸ μὲν τέλος φαῦλον, ἡ δ' αἰτία καλή, ὡς τὸ ἐν Θερμοπύλαις Λακε-

www.libool.com.cn

Digitized by Google

δαιμονίων ἔργον· ἢ τὸ μὲν τέλος ἀγαθόν, ἡ δ' αἰτία
φαύλη, ὡς τὸ περὶ Μηλίους Ἀθηναίων ἔργον. ἄδοξοι 207
δέ, ὧν καὶ ἡ αἰτία καὶ τὸ τέλος φαῦλον, ὡς τὸ Λακε-
δαιμονίων περὶ Καδμείαν ἔργον. αὐτῶν δὲ τῶν ὑπο-
θέσεων αἱ μὲν κοιναί, αἱ δὲ ἴδιαι· ἴδιαι μέν, ὡς τὸ περὶ 108
Θυρέαν Λακεδαιμονίου ἔργον, κοιναὶ δέ, ὡς τὸ ἐν 6
Θερμοπύλαις Λακεδαιμονίων ἔργον. ἐνδοξότεραι τοί-
νυν αἱ κοιναί. ὡς δὲ χρὴ ταύτας τάττειν, ἐν ἄλλοις
δείξομεν.

Δοκεῖ δὲ ἴδιος τόπος εἶναι παρὰ τούτους ὁ ἀπὸ τῶν 10
τιμῶν, ὧν τετυχήκασιν αἱ πόλεις παρὰ βασιλέων ἢ ἀρ- 208
χόντων ἢ γνωρίμων ἀνδρῶν, οἷον ὅτι αὐτονόμους
ἀφῆκαν ἐνίας πόλεις [καὶ Ῥωμαίους] καὶ ἐλευθέρας.
ἀλλὰ τοῦτο ἐπιχείρημα ἂν εἴη μᾶλλον ἢ τόπος γενικός·
ἔστι γὰρ [ὁ] ἀπὸ κρίσεως ἐνδόξου, ἡμῖν δὲ νῦν οὐκ 15
ἐπιχειρημάτων συγγράμματος ἔσται σοι ἡ περὶ ταῦτα
ἔφοδος, γνωριμωτέρα δὲ ἡ περὶ τῶν γενικῶν καὶ ἀνω-
τάτω τόπων, ἀφ' ὧν πόλεις ἐστὶν ἐπαινεῖν. χρὴ δέ σε
μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι καὶ ἐπὶ μέρει τούτων ὅλαι
ὑποθέσεις γίνονται. καὶ γὰρ ἐπὶ λουτροῦ μόνου κατα- 109
σκευῇ καὶ ἐπὶ λιμένος καὶ ἐπὶ μέρει τινὶ τῆς πόλεως 21
ἀνοικοδομηθέντι ἔστι προσφωνεῖν. ἐπὶ μέντοι τούτων
διαμέμνησο μὴ τελέως τέμνειν, ἀλλὰ μόνον τὸ προστα-
χθὲν ἀναγκαίως βραχύτατα ἐπιδραμεῖν.

Ἔτι τοῖς τῶν πόλεων ἐγκωμίοις κἀκεῖνο χρὴ ἐπιση- 209
μήνασθαι, ὅτι τὰ ἐγκώμια γίγνεται τὰ μὲν κοινὰ παν- 26
τὸς τοῦ χρόνου, τὰ δ' ἴδια καιρῶν, ὅταν ἐν ἑορταῖς
ἢ πανηγύρεσιν οἱ λόγοι γίγνωνται, ἢ ἐν ἀγῶνι, ἢ ἐν
μονομαχίαις· κοινὰ δέ, ὅταν μηδεμίαν τοιαύτην πρό-
φασιν ἔχῃ. χρὴ τοίνυν τῶν πανηγυρικῶν τὴν πλείστην 30
διατριβὴν περὶ τὸν καιρὸν ἕκαστον ποιεῖσθαι, οἷον εἰ
ἑορτὴ εἴη ἢ πανήγυρις ἢ σύνοδος ἐν ἀγῶνι ἢ ἐνοπλίῳ

www.libtool.com.cn
Digitized by Google

ἢ γυμνικῷ ἢ μουσικῷ. ὅπως δὲ χρὴ τούτων ἕκαστον ἐπαινεῖν, νῦν ἤδη ἄκουε. ἐπαινεῖν χρὴ τὰς συνόδους καὶ πανηγύρεις ἢ ἐκ τῶν ἰδίων ἢ ἐκ τῶν κοινῶν. κοινῶν μὲν τῶν θετικῶν, ὅσα ἀγαθὰ ἐκ συνόδων γίνεται ἀνθρώποις· ἰδίων δέ, τὰ περιστατικὰ καλούμενα μόρια, ἀπὸ προσώπου τριχῶς, θεῶν εἰ ἑορταὶ ἢ ἡρώων ἢ βασιλέων, τίνες οἱ συνάγοντές εἰσι, τίνες οἱ συνιόντες. ἀπὸ τοῦ τόπου, εἰ ἐν εὐκαιρίᾳ κεῖται ὁ τόπος, ἔνθα ἡ σύνοδος, ἢ καὶ ἀπὸ τόπων πλεῖστον ἀπεχόντων συνέρχονται· τὰ γὰρ περισπούδαστα τίμια. ἀπὸ δὲ χρόνου, εἰ τοῦ ἔτους ἐν τῷ ὑγιεινοτάτῳ καὶ ἡδίστῳ καιρῷ. ἀπὸ δὲ αἰτίας, εἰ οἴονται ἡδίους καὶ βελτίους ἔσεσθαι. ἀπὸ ὕλης δέ, ἂν πολυτελεῖς καὶ σεμναί.

Δεῖ σοι ἴσως καὶ παραδείγματα τούτων εἰπεῖν, ἵν' ὑπάρχῃ ῥᾴδιον παρακολουθῆσαι. τῶν μὲν τοίνυν κοινῶν ἐστιν, οἷον τὸ Ἰσοκράτους, τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων δικαίως ἐπαινουμένων. ἡ μὲν πανήγυρις ἄγεται, θεῷ, ὡς Ὀλύμπια τῷ Διΐ· ἥρωϊ δὲ τὰ Ἴσθμια Παλαίμονι, καὶ Νέμεα Ἀρχεμόρῳ· βασιλεῖ δέ, ὡς τὰ σεβάστια πολλαχοῦ. τῶν δὲ συναγόντων, ὡς τῶν Ἀθηναίων ἢ Ῥωμαίων· συμβάλλεται γὰρ ἐπὶ δόξαν τῇ πανηγύρει καὶ τὸ ἐνδόξους εἶναι τοὺς ἀπαγγέλλοντας τὴν σύνοδον. τῶν δὲ συνιόντων ὡς πλείστων ἢ ὡς ἐνδοξοτάτων· ἐνδοξοτάτων μέν, ὡς οἱ Ὀλυμπίαζε· οἱ γὰρ γνωριμώτεροι συνέρχονται. πλείστων δέ, ὡς τὸ περὶ τὴν πανήγυριν τῶν Ἑβραίων ἐπὶ τὴν Συρίαν τὴν Παλαιστίνην· ἐξ ἐθνῶν γὰρ πλείστων συλλέγονται. κατὰ δὲ τὸν τόπον, ἔνθα μὲν ἡ πανήγυρις, ὡς τὸ περὶ Δελφῶν, ὅτι ἐν ὀμφαλῷ τῆς γῆς κεῖται· ὅθεν δὲ ὁρμῶνται οἱ συνιόντες, ὡς ἐπὶ τοῦ Πυθικοῦ ἀγῶνος ἐκ περάτων τῆς γῆς συνίασι· δι' οὗ δὲ τόπου συνέρχονται, ὡς τὸ περὶ Ὀλυμπίων· χαλε-

www.libtool.com.cn
Digitized by Google

πωτάτη γὰρ ἡ ἄνοδος, ὅμως δὲ παραβάλλονται οἱ ἄνθρωποι. ἀπὸ δὲ χρόνου κατὰ μὲν τὴν περίοδον, ἐὰν μὲν ᾖ ἐνιαύσιος, ὅτι οὐ σπανιότητί ἐστι περισπούδαστος, 113
ὥσπερ αἱ ἄλλαι, καὶ συνεχῶς γινομένη οὐδὲν ἐκείνων 212
ἀπολείπεται σεμνότητι, ὡς τὰ Λήναια, ὡς Ἐλευσίνια, 5
καὶ Νέμεα καὶ Ἴσθμια· ἐν δὲ πενταετηρικῇ ἢ τετραετηρικῇ ἢ πλειόνων, ὡς τὰ Πύθια καὶ Ὀλύμπια καὶ Δαίδαλα ἐν Πλαταιαῖς· δι' ἑξήκοντα γὰρ ἐτῶν ἄγεται.

www.ibtool.com.cn

Digitized by Google

www.libtool.com.cn

213

ΜΕΝΑΝΔΡΟΥ ΡΗΤΟΡΟΣ

ΠΕΡΙ ΕΠΙΔΕΙΚΤΙΚΩΝ.

---

1 Ὁ βασιλικὸς λόγος ἐγκώμιόν ἐστι βασιλέως, οὐκοῦν αὔξησιν ὁμολογουμένην περιέξει τῶν προσόντων ἀγαθῶν βασιλεῖ, οὐδὲν δὲ ἀμφίβολον καὶ ἀμφισβητούμενον ἐπιδέχεται διὰ τὸ ἅπαν ἔνδοξον τὸ πρόσωπον εἶναι, ἀλλ' ὡς ἐφ' ὁμολογουμένοις ἀγαθοῖς τὴν ἐργασίαν ποιήσῃ. λήψῃ τοίνυν ἐν τούτῳ τὰ προοίμια δηλονότι ἀπὸ τῆς αὐξήσεως, μέγεθος περιτιθεὶς τῇ ὑποθέσει, ὅτι δυσέφικτος, καὶ ὅτι καθῆκας ἑαυτὸν
214 εἰς ἀγῶνα οὐ ῥᾴδιον κατορθωθῆναι λόγῳ, ἢ τοὺς ἑαυτοῦ λόγους μακαρίσεις, ὅτι καθῆκον εἰς πεῖραν πραγμάτων, μετ' ἀγαθῆς καὶ λαμπρᾶς τῆς τύχης, ἧς εἰ λόγοι ἐπιτύχοιεν, μεγίστην ἄρασθαι δυνήσονται δόξαν· ἢ ὅτι ἄτοπόν ἐστι τοσούτων ἀγαθῶν παρὰ βασιλέων πειρωμένους μὴ τὸν πρέποντα καὶ ὀφειλόμενον αὐτοῖς ἔρανον ἀποδιδόναι· ἢ ὅτι δύο τὰ μέγιστα τῶν ὑπαρχόντων ἐν τῷ βίῳ τῶν ἀνθρώπων ἐστὶν εὐσέβεια περὶ τὸ θεῖον καὶ τιμὴ περὶ τὸν βασιλέα, ἃ προσήκει καὶ θαυμάζειν καὶ ὑμνεῖν κατὰ δύναμιν. δέχεται δὲ τὰ προοίμια τοῦ λόγου καὶ ἐκ παραδειγμάτων ἀορίστων ἀπίστως αὐξήσεις, οἷον ὡς ἂν εἰ λέγοιμεν, ὥσπερ δὲ πελάγους ἀπείρου τοῖς ὀφθαλμοῖς

Digitized by Google

μέτρον οὐκ ἔστι λαβεῖν, οὕτω καὶ βασιλέως εὐφημίαν λόγῳ περιλαβεῖν οὐ ῥᾴδιον. οὐ μόνον δὲ ἐπὶ τοῦ βασιλικοῦ τοῦτο εὕροις ἄν, ἀλλὰ καὶ ἐπὶ πάσης ἐπιδεικτικῆς ὑποθέσεως, καὶ μάλιστα ἐν τοῖς συντόνοις τῶν ἐπιδεικτικῶν. ὥσπερ οὖν τὸ κρεῖττον 215
ὕμνοις καὶ ἀρεταῖς ἱλασκόμεθα, οὕτω καὶ βασιλέα 6
λόγοις. ὅταν αὐξήσεως ἕνεκα παραλαμβάνηται, λήψει [δὲ] δευτέρων προοιμίων ἐννοίας ἢ ἀπὸ Ὁμήρου τῆς μεγαλοφωνίας, ὅτι ταύτης μόνης ἐδεῖτο ἡ ὑπόθεσις, ἢ ἀπὸ Ὀρφέως τοῦ Καλλιόπης ἢ ἀπὸ τῶν Μουσῶν 10
αὐτῶν, ὅτι μόλις ἂν καὶ αὗται πρὸς ἀξίαν τῆς ὑποθέσεως εἰπεῖν ἐδυνήθησαν, ὅμως δὲ οὐδὲν κωλύει καὶ ἡμᾶς ἐγχειρῆσαι πρὸς δύναμιν. ἡ τρίτη δὲ τοῦ προοιμίου ἔννοια, (καθόλου δὲ τούτου μέμνησο τοῦ παραγγέλματος) προκαταρκτικὴ γενέσθω τῶν κεφα- 15
λαίων, λοιπὸν ὡς διαποροῦντος τοῦ λέγοντος, ὅθεν χρὴ τὴν ἀρχὴν τῶν ἐγκωμίων ποιήσασθαι.

Μετὰ τὰ προοίμια ἐπὶ τὴν πατρίδα ἥξεις. ἐνταῦθα δὲ διασκέψῃ κατὰ σαυτόν, πότερον ἔνδοξός ἐστιν ἢ οὔ, καὶ πότερον πατρίδος περιβλέπτου καὶ 20
λαμπρᾶς ἢ οὔ. κἂν μὲν ἔνδοξος ἡ πατρὶς τυγχάνῃ, προσθήσεις τὸν περὶ ταύτης λόγον, καὶ πρὸ τοῦ γένους ἐρεῖς, οὐκ ἐνδιατρίβων μὲν εἰς τὸ τοιοῦτον οὐδὲ προχέων ἐνταῦθα πολλοὺς τοὺς λόγους· οὐ γὰρ ἴδιον τοῦτο μόνου τοῦ βασιλέως τὸ ἐγκώμιον, ἀλλὰ κοι- 25
νὸν πρὸς πάντας τοὺς οἰκοῦντας τὴν πόλιν· διόπερ 216
τὰ μὴ ἀναγκαῖα λυσιτελεῖ παρατρέχειν. ἂν δὲ μὴ ἡ πόλις ἔνδοξος ᾖ, ζητήσεις τὸ ἔθνος ἅπαν, εἰ ἀνδρεῖον ὑπείληπται καὶ ἄλκιμον, εἰ περὶ λόγους ἔχει ἢ κτῆσιν ἀρετῶν, ὡς τὸ Ἑλληνικόν, εἴτε νόμιμον, ὡς τὸ Ἰτα- 30
λικόν, ἢ ἀνδρεῖον, ὡς τὸ τῶν Γαλατῶν καὶ Παιόνων, καὶ ἀντὶ τῆς πατρίδος ἀπὸ τοῦ ἔθνους λήψῃ

www.libtool.com.cn
Digitized by Google

βραχέα, προσοικειῶν κἀνταῦθα τοῦ βασιλέως τὸν ἔπαινον καὶ κατασκευάζων, ὅτι ἀναγκαῖον τὸν ἐκ τῆς τοιαύτης πόλεως ἢ τοῦ τοιούτου ἔθνους τοιοῦτον εἶναι, καὶ ὅτι τῶν ὁμοφύλων πάντων ἐπαινετῶν ὄντων αὐτὸς μόνος διήνεγκεν. οὗτος γοῦν καὶ μόνος ἠξιώθη τῆς βασιλείας· εἶτα ἐξ ἱστορίας παραδείγματα, ὅτι πάντων ὄντων ἀνδρείων Θετταλῶν ὁ Πηλέως ἠξιώθη τῆς ἡγεμονίας τοῦ γένους, δηλονότι τῷ πάντων διαφέρειν. ἐὰν δὲ μήτε ἡ πατρὶς μήτε τὸ ἔθνος τυγχάνῃ περίβλε-
217 πτον, ἀφήσεις μὲν τοῦτο, θεωρήσεις δὲ πάλιν, πότε-
11 ρον ἔνδοξον αὐτοῦ τὸ γένος ἢ οὔ. κἂν μὲν ἔνδοξον ᾖ, ἐξεργάσῃ τὰ περὶ τούτου, ἐὰν δὲ ἄδοξον ᾖ ἢ εὐτελές, μεθεὶς καὶ τοῦτο ἀπ' αὐτοῦ τοῦ βασιλέως τὴν ἀρχὴν ποιήσῃ, ὡς Καλλίνικος ἐποίησεν ἐν τῷ μεγάλῳ βασι-
15 λικῷ· ἢ ἄλλως τοιαῦτα περὶ τοῦ γένους ἐρεῖς, ὅτι εἴχομεν εἰπεῖν τι περὶ τοῦ γένους, ἐπεὶ δὲ νικᾷ τὰ τοῦ βασιλέως, σπεύδωμεν ἐπὶ βασιλέα. οἱ μὲν οὖν ἄλλοι γένη κοσμείτωσαν, λεγόντων περὶ αὐτῶν ἃ βούλονται, ἐγὼ δὲ μόνον ἐπαινέσω τοῦτον ἄνευ τοῦ γένους· ἀρκεῖ
20 γὰρ αὐτὸς χωρὶς ἐπεισάκτου τινὸς εὐφημίας ἔξωθεν. ἢ οὕτως· πολλοὶ τῷ μὲν δοκεῖν ἐξ ἀνθρώπων εἰσί, τῇ δ' ἀληθείᾳ παρὰ τοῦ θεοῦ πέμπονται καί εἰσιν ἀπόρροιαι ὄντως τοῦ κρείττονος· καὶ γὰρ Ἡρακλῆς ἐνομίζετο μὲν Ἀμφιτρύωνος, τῇ δ' ἀληθείᾳ ἦν Διός· οὕτω
25 καὶ βασιλεὺς ὁ ἡμέτερος τῇ μὲν δόξῃ ἐξ ἀνθρώπων, τῇ
218 δ' ἀληθείᾳ τὴν καταβολὴν οὐρανόθεν ἔχει. οὐ γὰρ ἂν τοσούτου κτήματος καὶ τοσαύτης ἀξίας ἔτυχε, μὴ οὐχὶ ὡς κρείττων γεγονὼς τῶν τῇδε. ταῦτα καὶ τὰ τοιαῦτα περὶ τοῦ γένους ἀφοσιωσάμενος πάλιν ζήτει τὰ περὶ
30 γενέσεως αὐτοῦ τοῦ βασιλέως. εἰδέναι δὲ χρὴ τοῦτο ἀκριβῶς, ὅτι, ἐὰν μὲν ἔχωμεν μεθόδῳ τινὶ κρύψαι τὸ ἄδοξον, ὥσπερ ἐπὶ τοῦ γένους εἰρήκαμεν ὅτι, ἐὰν μὴ

Digitized by Google

ὑπάρχῃ τοῦτο ἔνδοξον, ἐρεῖς αὐτὸν ἐκ θεῶν γενέσθαι, καὶ δὴ τοῦτο ποιήσομεν· εἰ δὲ μή, παρελευσόμεθα. οὐκοῦν ἔστω σοι μετὰ τὴν πατρίδα καὶ μετὰ τὸ γένος τρίτον κεφάλαιον τὸ περὶ τῆς γενέσεως, ὡς ἔφαμεν, εἴ τι σύμβολον γέγονε περὶ τὸν τόκον ἢ κατὰ γῆν ἢ κατ' οὐρανὸν ἢ κατὰ θάλασσαν, καὶ ἀντεξέτασον τοῖς περὶ τὸν Ῥωμύλον καὶ Κῦρον καὶ τοιούτοις τισὶ κατὰ τὴν γένεσιν. καὶ γὰρ κἀκείνοις συνέβη τινὰ θαυμάσια, τῷ μὲν Κύρῳ τὰ τῆς μητρὸς ὀνείρατα, τῷ δὲ τὰ περὶ τὴν λύκαιναν· κἂν μὲν ᾖ τι τοιοῦτον περὶ τὸν βασιλέα, ἐξέργασαι, ἐὰν δὲ οἷόν τε ᾖ πλάσαι καὶ ποιεῖν τοῦτο πιθανῶς, μὴ κατόκνει· δίδωσι γὰρ ἡ 219 ὑπόθεσις διὰ τὸ τοὺς ἀκούοντας ἀνάγκην ἔχειν ἀβασανίστως δέχεσθαι τὰ ἐγκώμια. μετὰ τὴν γένεσιν ἐρεῖς τι καὶ περὶ φύσεως, οἷον ὅτι ἐξέλαμψεν ἐξ ὠδίνων εὐειδὴς τῷ κάλλει καὶ καταλάμπων τὸ φαινόμενον ἀστέρι καλλίστῳ κατ' οὐρανὸν ἐφάμιλλος. ἓξῆς δὲ κεφάλαιόν ἐστιν ἡ ἀνατροφή, εἰ ἐν βασιλείοις ἀνετράφη, εἰ ἁλουργίδες τὰ σπάργανα, εἰ ἐκ πρώτης βλάστης ἐν βασιλικοῖς ἀνετράφη κόλποις· ἢ οὐχ οὕτως μέν, ἀνελήφθη δὲ εἰς βασιλείαν νέος ὢν ὑπό τινος μοίρας εὐτυχοῦς. κἀνταῦθα θήσεις παραδείγματα [ζητήσεις] ὅμοια, ἐὰν ᾖ· ἐὰν δὲ μὴ τὴν ἀνατροφὴν ἔνδοξον ἔχῃ, ὡς Ἀχιλλεὺς παρὰ Χείρωνι, ζητήσεις τὴν παιδείαν καὶ ἐνταῦθα προσεπισημαίνων, ὅ τι βούλει. δεῖ δὲ ἐπὶ τοῖς εἰρημένοις καὶ τὴν φύσιν τῆς ψυχῆς αὐτοῦ διεξελθεῖν, ἐν ᾧ ἐρεῖς τὴν φιλομάθειαν, τὴν ὀξύτητα, τὴν περὶ τὰ 220 μαθήματα σπουδήν, τὴν ῥᾳδίαν κατάληψιν τῶν διδασκομένων. κἂν μὲν ἐν λόγοις ᾖ καὶ φιλοσοφίᾳ καὶ λόγων γνώσει, τοῦτο ἐπαινέσεις· ἐὰν δ' ἐν μελέτῃ πολέμων καὶ ὅπλων, τοῦτο θαυμάσεις, ὡς ἀγαθῇ μοίρᾳ γενόμενον προμνηστευσαμένης αὐτῷ τῆς τύχης· καὶ

Digitized by Google

ὅτι ἐν οἷς ἐπαιδεύετο διαφέρων τῶν ἡλίκων ἐφαίνετο, ὡς Ἀχιλλεύς, ὡς Ἡρακλῆς, ὡς οἱ Διόσκουροι. τὰ δὲ ἐπιτηδεύματα χώραν ἐξετάσεως ἔξει, ἐπιτηδεύματα δ' ἐστὶν ἄνευ ἀγώνων [πράξεις] ἤθη· καὶ γὰρ τὰ ἐπιτηδεύματα ἤθους ἔμφασιν περιέχει, οἷον ὅτι δίκαιος ἐγένετο ἢ σώφρων ἐν τῇ νεότητι, καθάπερ καὶ Ἰσοκράτης ἐποίησεν ἐν τῷ Εὐαγόρᾳ, ἐν οἷς καὶ μικρὸν προελθὼν εἶπεν, ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα συνηυξήθη καὶ ἄλλα προσεγένετο, ὡς καὶ Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, ὅτι φιλάνθρωπος ἡ πόλις, ὡς ἐπιτήδευμα [γὰρ] τοῦτο ἐξήτασεν, ὑποδεχομένη τοὺς καταφεύγοντας. ἀκολουθεῖ τοίνυν τοῖς ἐπιτηδεύμασι λοιπὸν ὁ περὶ τῶν πράξεων λόγος.

221 2 Χρὴ δὲ γινώσκειν καὶ φυλάττειν τὸ παράγγελμα, ὅτι, ὅταν μέλλῃς ἀπὸ κεφαλαίου μεταβαίνειν εἰς κεφάλαιον, δεῖ προοιμιάζεσθαι περὶ οὗ μέλλεις ἐγχειρεῖν, ἵνα προσεκτικὸν τὸν ἀκροατὴν ἐργάσῃ καὶ μὴ ἐᾷς λανθάνειν μηδὲ κλέπτεσθαι τῶν κεφαλαίων τὴν ζήτησιν· αὐξήσεως γὰρ οἰκεῖον τὸ προσεκτικὸν ποιεῖν τὸν ἀκροατὴν καὶ ἐπιστρέφειν ὥσπερ μεγίστων ἀκούειν μέλλοντα. τίθει δὲ καὶ σύγκρισιν ἐφ' ἑκάστῳ τῶν κεφαλαίων τούτων, ἀεὶ συγκρίνων φύσιν φύσει καὶ ἀνατροφὴν ἀνατροφῇ καὶ παιδείαν παιδείᾳ, καὶ τοιαῦτα ἀνευρὼν τὰ παραδείγματα, ἐὰν Ῥωμαίων ἢ βασιλέων τις καὶ στρατηγῶν καὶ Ἑλλήνων ἐνδοξοτάτων. τὰς τοιαύτας τοίνυν διαιρήσεις πράξεις δίχα εἴς τε τὰ κατ' εἰρήνην καὶ
222 τὰ κατὰ πόλεμον. καὶ προθήσεις τὰς κατὰ τὸν πόλεμον, ἐὰν ἐν ταύταις λαμπρὸς ὁ ἐπαινούμενος φαίνηται· δεῖ γὰρ τὰς τῆς ἀνδρείας πράξεις πρώτας λαμβάνειν ἐπὶ τῶν τοιούτων ὑποθέσεων εἰς ἐξέτασιν· γνωρίζει γὰρ βασιλέα πλέον ἡ ἀνδρεία. ἐὰν δὲ μηδὲ εἷς πόλεμος αὐτῷ πεπραγμένος τύχῃ, ὅπερ σπάνιον, ἤξεις ἐπὶ τὰ

Digitized by Google

τῆς εἰρήνης ἀναγκαίως. εἰ μὲν οὖν τὰ κατὰ τὸν πόλεμον ἐγκωμιάζεις, ἐπιστατέον, ὅτι ἀπὸ τῆς ἀνδρείας ἐρεῖς μόνον, οὐκ ἀφ' ἑτέρων τινῶν· εἰ δὲ τὰ κατὰ τὴν εἰρήνην, τῆς μὲν ἀνδρείας οὐκέτι, ἑτέρων δέ τινων· διαίρει γὰρ ἁπανταχοῦ τὰς πράξεις ὧν ἂν μέλλῃς ἐγκωμιάζειν, εἰς τὰς ἀρετάς.

Ἀρεταὶ δὲ τέσσαρές εἰσιν, ἀνδρεία, δικαιοσύνη, σωφροσύνη, φρόνησις, καὶ ὅρα, τίνων ἀρετῶν εἰσιν αἱ πράξεις, καὶ εἰ κοιναί τινές εἰσι τῶν πράξεων τῶν τε κατὰ τὸν πόλεμον καὶ κατ' εἰρήνην ἀρετῆς μιᾶς, ὥσπερ ἐπὶ τῆς φρονήσεως· φρονήσεως γάρ ἐστι καὶ τὸ στρατηγεῖν καλῶς ἐν τοῖς πολέμοις, φρονήσεως δὲ καὶ τὸ καλῶς νομοθετεῖν καὶ τὸ συμφερόντως διατιθέναι καὶ διοικεῖν τὰ κατὰ τοὺς ὑπηκόους. οὐκοῦν ἐν ταῖς πράξεσι τοῦ πολέμου τὰ κατὰ τὴν ἀνδρείαν ἐρεῖς καὶ τὰ τῆς φρονήσεως, ὅσα τῶν κατὰ τὸν πόλεμον οἰκεῖα ταύτῃ. διαγράψεις δὲ ἐν ταῖς πράξεσι ταῖς τοῦ πολέμου καὶ φύσεις καὶ θέσεις χωρίων, ἐν οἷς οἱ πόλεμοι, καὶ ποταμῶν δὲ καὶ λιμένων καὶ ὀρῶν καὶ πεδίων, καὶ εἰ ψιλοὶ ἢ δασεῖς οἱ χῶροι, καὶ εἰ κρημνώδεις. ἐκφράσεις δὲ καὶ λόχους καὶ ἐνέδρας καὶ τοῦ βασιλέως κατὰ τῶν πολεμίων καὶ τῶν ἐναντίων κατὰ τοῦ βασιλέως· εἶτα ἐρεῖς, ὅτι σὺ μὲν τοὺς ἐκείνων λόχους καὶ τὰς ἐνέδρας διὰ φρόνησιν ἐγίνωσκες, ἐκεῖνοι δὲ τῶν ὑπὸ σοῦ πραττομένων οὐδὲν συνίεσαν. καὶ μὴν καὶ πεζομαχίας ἐκφράσεις καὶ ἱππέων διασκευάσεις ἱππομαχίας καὶ ὅλου στρατοπέδου πρὸς ὅλον στρατόπεδον μάχην· ἤδη δέ που καὶ ναυμαχίαν, εἰ γένοιτο, οἷα πολλὰ παρὰ τοῖς συγγραφεῦσιν, ἐν τοῖς Μηδικοῖς παρὰ Ἡροδότῳ, παρὰ Θουκυδίδῃ πάλιν ἐν τοῖς Πελοποννησιακοῖς, καὶ Θεοπόμπῳ ἐν τοῖς Φιλιππικοῖς καὶ Ξενοφῶντι ἐν τῇ Ἀναβάσει καὶ τοῖς Ἑλληνικοῖς βιβλίοις. καὶ μὴν καὶ αὐτοῦ τοῦ

βασιλέως ἐκφράσεις μάχας καὶ περιθήσεις ἅπασαν ἰδέαν καὶ ἐπιστήμην, ὡς Ἀχιλλεῖ, ὡς Ἕκτορι, ὡς Αἴαντι περιτίθησιν ὁ ποιητής. διαγράψεις δὲ καὶ πανοπλίαν βασιλέως καὶ ἐπιστρατείας, ἐπιτείνας μὲν τῷ καιρῷ τῆς ἀριστείας καὶ τῆς συμπλοκῆς, ὅταν βασιλέως ἀριστείας ἐκφράζῃς. ἐνταῦθα καιρὸν ἕξεις καὶ ἀνεῖναι κατὰ μέσον τὸν λόγον (καὶ γὰρ τοῦτο παρειλήφαμεν παρὰ τῶν νεωτέρων καινοτομηθὲν) καὶ φωνὴν καθάπερ ἐν δράματι ἢ χώρᾳ ἢ ποταμῷ περιτιθέναι· ποταμῷ μέν, ὡς ὁ ποιητής,

ὦ Ἀχιλεῦ, πέρι μὲν κρατέεις, πέρι δ' αἴσυλα ῥέζεις.

χώρᾳ δὲ ὁμοίως, ὅταν εἴπωμεν ἐκείνην καταμέμφεσθαι τὴν θρασύτητα τὴν τῶν τολμησάντων ἀντιστῆναι, καὶ ὅτι ἐστενοχωρεῖτο τοῖς τῶν πεσόντων σώμασιν· οἷον κἀμοὶ δοκεῖν, εἰ ποιητικὸς ἦν ὁ Ἴστρος, ὥσπερ ὁ ποταμὸς ἐκεῖνος ὁ ποιητικὸς Σκάμανδρος, εἶπεν ἄν,

ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τι πῇ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν.

καὶ τὰ τοιαῦτα. μετὰ δὲ τὴν ἄνεσιν ἐπάξεις πάλιν καὶ ἄλλα κατορθώματα, καὶ τρόπαια τροπαίοις συνάψεις, καὶ νίκας νίκαις, ἱππέων φυγάς, πεζῶν φόνους. ἐνταῦθα δὲ καιρὸν ἕξεις καὶ ἐπισυνάψαι περὶ φρονήσεως, ὅτι αὐτὸς ἦν ὁ διατάττόμενος, αὐτὸς ὁ στρατηγῶν, αὐτὸς ὁ τὸν καιρὸν τῆς συμβολῆς εὑρίσκων, σύμβουλος θαυμαστός, ἀριστεύς, στρατηγός, δημηγόρος. μετὰ τὸ τέλος τῶν πράξεων ἢ καὶ πρὸς τῷ τέλει τῶν πράξεων ἐρεῖς τι καὶ περὶ τρίτης ἀρετῆς, λέγω δὴ τῆς φιλανθρωπίας. μόριον δὲ τῆς φιλανθρωπίας ἡ δικαιοσύνη, ὅτι νικήσας ὁ βασιλεὺς οὐ τοῖς ὁμοίοις ἠμύνατο τοὺς προάρξαντας ἀδίκων ἔργων, ἀλλ' ἐμέρισε κατὰ τὸ δίκαιον τὰς πράξεις τιμωρίᾳ καὶ φιλανθρωπίᾳ, καὶ ὅσα ἠγεῖτο πρὸς σωφρονισμὸν ἀρκεῖν ἐργασάμενος, κἀν-

www.libtool.com.cn
Digitized by Google

ταῦθα στήσας φιλανθρωπίᾳ τὰς πράξεις ἀνῆκε συγχωρήσας τὸ λείψανον τοῦ γένους σώζεσθαι ἅμα μέν, ἵνα μνημεῖον τοῦ πάθους τοῦ γεγονότος σώζηται τὸ λειπόμενον, ἅμα δέ, ἵνα καὶ τὴν φιλανθρωπίαν ἐνδείξηται. 226
τέλος δ' ἐπιθεὶς ταῖς κατὰ τὸν πόλεμον πράξεσι μετα- 5
βήσῃ λοιπὸν ἐπὶ τὸν λόγον τὸν περὶ τῆς εἰρήνης. τοῦτον δὲ διαιρήσεις εἰς σωφροσύνην, εἰς δικαιοσύνην καὶ εἰς φρόνησιν. καὶ ἐν μὲν τῇ δικαιοσύνῃ τὸ ἥμερον τὸ πρὸς τοὺς ὑπηκόους ἐπαινέσεις, τῆς δὲ πρὸς τοὺς δεομένους φιλανθρωπίας τὸ εὐπρόσοδον. οὕτως οὐ μόνον 10
ἐν τοῖς κατὰ τὸν πόλεμον ἔργοις ὁ βασιλεὺς ἡμῖν θαυμάσιος, ἀλλὰ καὶ ἐν τοῖς κατ' εἰρήνην θαυμασιώτερος· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἔργων; καὶ προσθήσεις, ὅτι καθάπερ οἱ Ἀσκληπιάδαι σώζουσιν, ἢ καθάπερ τοὺς καταφεύγοντας ἐπὶ τὰ ἄσυλα τεμένη τοῦ κρείτ- 15
τονος ἔστιν ἰδεῖν ῥᾳστώνης τυγχάνοντας· οὐ γὰρ ἀποσπᾶν ἐπιχειροῦμεν οὐδένα, οὕτως ὁ βασιλέως ὄψεσιν ἐντυχὼν τῶν δεινῶν ἀπήλλακται. καὶ ἐρεῖς ὅτι δικαίους ἄρχοντας κατὰ ἔθνη καὶ γένη καὶ πόλεις ἐκπέμπει φύλακας τῶν νόμων καὶ τῆς τοῦ βασιλέως δικαιοσύνης 20
ἀξίους, οὐ συλλογέας πλούτου. ἐρεῖς ἔτι καὶ περὶ τῶν φόρων οὓς ἐπιτάττει, καὶ ὅτι τοῦ σιτηρεσίου τῶν στρα- 227
τευμάτων στοχάζεται καὶ τοῦ κούφως καὶ ῥᾳδίως δύνασθαι φέρειν τοὺς ὑπηκόους. ἐρεῖς τι καὶ περὶ νομοθεσίας, ὅτι νομοθετεῖ τὰ δίκαια, καὶ τοὺς μὲν ἀδίκους 25
τῶν νόμων διαγράφει, δικαίους δὲ αὐτὸς θεσπίζει· τοιγάρτοι νομικώτεροι μὲν οἱ νόμοι, δικαιότερα δὲ τὰ συμβόλαια τῶν ἀνθρώπων πρὸς ἀλλήλους. ἐὰν δέ τις ὑπολάβῃ τὴν νομοθεσίαν φρονήσεως εἶναι μόνης, γινωσκέτω ὅτι τὸ μὲν νομοθετῆσαι μόνης φρονήσεως, τὸ δὲ 30
προστάττειν πράττειν τὰ δέοντα δικαιοσύνης, οἷον ὁ μὲν τύραννος, πολλάκις συνίησι διὰ φρόνησιν ἃ συμ-

www.liptol.com.cn
Digitized by Google

φέρει αὐτῷ νομοθετεῖν ἢ μή, νομοθετεῖ τὰ ἄδικα, ὁ δὲ βασιλεὺς τὰ δίκαια. μετὰ τὴν δικαιοσύνην ἐπαινέσεις αὐτοῦ τὴν σωφροσύνην, ἀκολουθεῖ δὲ μάλιστα τῇ δικαιοσύνῃ ἡ σωφροσύνη. τί οὖν ἐνταῦθα ἐρεῖς; ὅτι διὰ βασιλέα σώφρονες μὲν οἱ γάμοι, γνήσιοι δὲ τοῖς πατράσιν οἱ παῖδες, θέαι δὲ καὶ ἀγῶνες καὶ πανηγύρεις μετὰ τοῦ προσήκοντος κόσμου καὶ τῆς πρεπούσης σωφροσύνης γίνονται· οἷον γὰρ ὁρῶσι τὸν βασιλέως βίον, τοιοῦτον ἐπανῄρηνται. εἰ δὲ ἐπ' ἀξίας εἴη καὶ τιμῆς μείζονος ἡ βασιλίς, ἐρεῖς τι καὶ κατὰ καιρὸν ἐνθάδε· ἣν θαυμάσας ἠγάπησε, ταύτην κοινωνὸν τῆς ἑαυτοῦ βασιλείας πεποίηται, καὶ οὐδ' εἰ ἔστιν ἄλλο οἷδε γυναικεῖον φῦλον. ἥξεις ἐπὶ τὴν φρόνησιν μετὰ ταῦτα. ἀεὶ δὲ μέλλων ἄρχεσθαι ἑκάστης τῶν ἀρετῶν χρῶ προοιμιαστικαῖς ἐννοίαις, ὡς ἔφαμεν. ἐρεῖς τοίνυν ἐπὶ τῇ φρονήσει, ὅτι σύμπαντα ταῦτα οὐκ ἂν ἤρκεσε πρᾶξαι βασιλεύς, οὐδ' ἂν τοσούτων πραγμάτων ὄγκον διήνεγκεν, εἰ μὴ φρονήσει καὶ συνέσει τῶν ἐπὶ γῆς ὑπερέφερε, δι' ἣν καὶ αἱ νομοθεσίαι καὶ αἱ σωφροσύναι καὶ αἱ λοιπαὶ κατορθοῦσθαι πεφύκασιν ἀρεταί· εἶτα ὀξὺς ἰδεῖν, ἐνθυμηθῆναι δεινός, προϊδέσθαι τὸ μέλλον κρείττων μάντεως, ἄριστος γνώμων κρῖναι τὴν ἑτέρων εὐβουλίαν, ἱκανὸς τὰ δυσχερῆ καὶ ῥᾴδια γνῶναι.

Ἐπὶ τούτοις μὲν καταπαύσεις τὸν λόγον τὸν περὶ τούτων, μνημονεύσεις δὲ μετὰ τοῦτο τῆς τύχης, λέγων ὅτι συμπαρομαρτεῖν δὲ ἔοικεν ἐφ' ἅπασι καὶ πράξεσι καὶ λόγοις τῷ βασιλεῖ τῷ μεγάλῳ τύχη λαμπρά· κατορθοῖ γὰρ ἕκαστον κρεῖττον εὐχῆς, καὶ ὅτι παίδων γένεσις αὐτῷ δεδώρηται, ἂν οὕτω τύχῃ, καὶ φίλοι πάντες εὔνοι καὶ δορυφόροι κινδυνεύειν ὑπὲρ αὐτοῦ πρόθυμοι. ἥξεις δὲ ἐπὶ τὴν τελειοτάτην σύγκρισιν, ἀντεξετάζων τὴν αὐτοῦ βασιλείαν πρὸς τὰς πρὸ αὐτοῦ βασιλείας,

www.libtool.com.cn

Digitized by Google

οὐ καθαιρῶν ἐκείνας· ἄτεχνον γάρ, ἀλλὰ θαυμάζων μὲν ἐκείνας, τὸ δὲ τέλειον ἀποδιδοὺς τῇ παρούσῃ. οὐκ ἐπιλήσῃ δὲ τοῦ προειρημένου θεωρήματος, ὅτι ἐφ' ἑκάστῳ τῶν κεφαλαίων ποιήσει συγκρίσεις, ἀλλ' ἐκεῖναι μὲν ἔσονται μερικαί, οἷον παιδείας πρὸς παιδείαν ἢ σωφροσύνης πρὸς σωφροσύνην, αὗται δὲ περὶ ὅλης ἔσονται τῆς ὑποθέσεως, ὡσανεὶ βασιλείαν ὅλην ἀθρόως καὶ ἐν κεφαλαίῳ πρὸς ὅλην βασιλείαν συγκρίνομεν, οἷον τὴν Ἀλεξάνδρου πρὸς τὴν παροῦσαν. μετὰ τὴν σύγκρισιν οἱ ἐπίλογοι. ἐν τούτοις ἐρεῖς τὰς εὐετηρίας, τὰς εὐδαιμονίας τῶν πόλεων, ὅτι πλήρεις μὲν ὠνίων αἱ ἀγοραί, πλήρεις δὲ ἑορτῶν καὶ πανηγύρεων αἱ πόλεις, γεωργεῖται μετ' εἰρήνης ἡ γῆ, πλεῖται ἡ θάλασσα ἀκινδύνως, εὐσέβεια δὲ ἡ περὶ τὸ θεῖον ηὔξηται, τιμαὶ δὲ κατὰ τὸ προσῆκον ἑκάστοις νέμονται, οὐ δεδοίκαμεν βαρβάρους, οὐ πολεμίους, ὀχυρώτερον τοῖς βασιλέως ὅπλοις τετειχίσμεθα ἢ τοῖς τείχεσιν αἱ πόλεις, αἰχμαλώτους οἰκέτας κεκτήμεθα αὐτοὶ μὴ πολεμοῦντες, παρὰ δὲ τῆς βασιλέως χειρὸς νικώσης δεχόμενοι. τίνας οὖν εὐχὰς εὔχεσθαι δεῖ τῷ κρείττονι τὰς πόλεις ἢ ὑπὲρ βασιλέως ἀεί; τί δὲ μεῖζον αἰτεῖν παρὰ τῶν θεῶν ἢ βασιλέα σώζεσθαι; ὄμβροι γὰρ κατὰ καιρὸν καὶ θαλάσσης φοραὶ καὶ καρπῶν εὐφορίαι διὰ τὴν τοῦ βασιλέως δικαιοσύνην ἡμῖν εὐτυχοῦνται· τοιγάρτοι καὶ ἀμειβόμεναι αὐτὸν αἱ πόλεις καὶ ἔθνη καὶ γένη καὶ φυλαὶ στεφανοῦμεν, ὑμνοῦμεν, γράφομεν, πλήρεις εἰκόνων αἱ πόλεις, αἱ μὲν πινάκων γραπτῶν, αἱ δέ που καὶ τιμιωτέρας ὕλης. ἐπὶ τούτοις εὐχὴν ἐρεῖς αἰτῶν παρὰ θεοῦ εἰς μήκιστον χρόνον προελθεῖν τὴν βασιλείαν, διαδοθῆναι εἰς παῖδας, παραδοθῆναι τῷ γένει.

ΠΕΡΙ ΕΠΙΒΑΤΗΡΙΟΥ.

Ἐπιβατήριον ὁ βουλόμενος λέγειν δῆλός ἐστι βου-

λόμενος προσφωνῆσαι ἢ τὴν ἑαυτοῦ πατρίδα ἐξ ἀποδημίας ἥκων, ἢ πόλιν ἑτέραν, εἰς ἣν ἂν ἀφίκηται, ἢ καὶ ἄρχοντα ἐπιστάντα τῇ πόλει. οὐκοῦν ἐν τούτοις ἅπασι τὸ προοίμιον ἐκ περιχαρείας εὐθύς· δεῖ γὰρ συνηδόμενον φαίνεσθαι ἢ ταῖς πόλεσιν, ὅτι θαυμάσιόν τινα καὶ ἐπαινούμενον ἄρχοντα δέχονται, ἢ τῷ ἄρχοντι, ὅτι ἐπ' ἀγαθῇ τινι μοίρᾳ ἥκει, ἢ καὶ αὐτὸν ἑαυτῷ τὸν λέγοντα ὅτι τεθέαται ἢ πόλιν ἢ ἄρχοντα, ὃν [πάλαι τε καὶ ἐκ πλείονος] ἰδεῖν ἐπεπόθει· κἂν μὲν ἄρχοντα, εὐθὺς ἐρεῖς· ἀλλ' ἥκεις μὲν ἐπ' αἰσίοις συμβόλοις ἄνωθεν λαμπρός, ὥσπερ ἡλίου φαιδρά τις ἀκτὶς ἄνωθεν ἡμῖν
232 ὀφθεῖσα, οὗ πάλαι μὲν ἀγαθὴ φήμη διήγγειλε τὴν ἐπ' αἰσίοις ἄφιξιν καὶ εὐκταιοτάτην μοῖραν τῶν ὑπηκόων· εἶτα κατασκευάσεις, ὅτι βεβαιοῖς ἐν ἔργῳ τὴν φήμην, ἢ ὅτι ὑπερβάλλεις τὴν φήμην, ἢ ὡς ἂν ὁ καιρὸς διδῷ. εἶτα μετὰ τὸ προοίμιον τοῦτο ἥξεις εἰς τὸν περὶ τῶν ὑπηκόων λόγον. διπλοῦς δ' οὗτος· ἢ γὰρ κακῶς πεπονθότων αὐτῶν παρὰ τοῦ μικρῷ πρόσθεν ἄρχοντος διατυπώσεις καὶ αὐξήσεις τὰ δυσχερῆ, μηδὲν βλασφημῶν τὸν παυσάμενον, ἀλλὰ ἁπλῶς τὴν δυστυχίαν τῶν ὑπηκόων λέγων, εἶτα ἐπάξεις, ὅτι ὥσπερ νυκτὸς καὶ ζόφου τὰ πάντα κατειληφότος αὐτὸς καθάπερ ἥλιος ὀφθεὶς πάντα ἀθρόως τὰ δυσχερῆ διέλυσας, καὶ ἐργάσῃ τοῦτο καὶ οὐ παραδραμεῖς, ὅτι τοίνυν ἀνέπνευσαν ἅπαντες ὥσπερ νέφους τινὸς τῶν δεινῶν παραδραμόντων· ἢ οὐδὲν πεπονθότων ἐρεῖς· αὐτίκα μὲν ἐπαυσάμεθα μεγίστας εὐεργεσίας ὁμολογοῦντες τῷ ἄρχοντι, ἄρτι δὲ ἀκούσαντες ἀγαθῶν ἀγγελίαν καὶ μέλλοντες ἀφ' ἱερῶν ἐφ' ἱερά, ὡς ἂν εἴποι τις, καὶ ἐκ τῶν καλλιόνων φαιδροὶ καὶ γεγηθότες ἀπηντήκαμεν. εἶτα
233 μετὰ ταῦτα πάλιν ἐρεῖς, ὅτι τάς τε ἄλλας χάριτας μεγίστας τοῖς βασιλεῦσιν ὀφείλοντες, ἐφ' οἷς ὑπὲρ ἡμῶν

www.libtool.com.cn
Digitized by Google

ἀθλοῦσι, καὶ ἐπὶ τούτοις ἂν μείζους ὁμολογήσαιμεν,
ὅτι τοιοῦτον ἡμῖν κατέπεμψαν. πειρῶ δ' ἐν τοῖς τοιού-
τοις λόγοις ἀεὶ συντέμνειν τὰ βασιλέως ἐγκώμια, καὶ
μηδὲν διατρίβειν, ἵνα μὴ διπλῆν ποιήσῃς τὴν ὑπόθεσιν.
www.libool.com.cn
ἐὰν μὲν οὖν ἔχῃς πράξεις εἰπεῖν τοῦ ἄρχοντος, ἐρεῖς· 5
εἰ δὲ μή, περιέργως ἢ πατρίδα ἢ ἔθνος ἐκφράσεις καὶ
χωρογραφήσεις τῷ λόγῳ ἀπὸ τῶν ἐπισημοτάτων καὶ
θρυλουμένων περὶ τῆς χώρας ἢ τῆς πατρίδος, ὅτι Ἰτα-
λιώτης, ἐκ ποίας δὲ χώρας ἢ πόλεως περιωνύμου, οἷον
τῆς Ῥώμης, ζητήσεις δὲ καὶ τοῦ γένους πράξεις. εἰ δὲ 10
εὐπορείης πράξεων τοῦ ἐπαινουμένου, ἐκ τούτων θη-
ράσεις τὸν ἔπαινον, ὥστε μὴ αὐχμηρὰν καὶ ἄγονον
παρασχέσθαι τὴν ὑπόθεσιν· ἔπειτα λέγε· πείθομαι δὲ
τὸν ἐκ τοιούτων γεγονότα πρὸς τοὺς ἑαυτοῦ πατέρας
ἁμιλλώμενον ἀγαθὸν περὶ ἡμᾶς γενέσθαι καὶ δίκαιον· 15
καὶ γὰρ καὶ ἐκεῖνοι δίκαιοι· οὐκοῦν δικαίως μὲν ἡμῖν
ὑπὲρ τὸν Αἰακόν, ὑπὲρ τὸν Μίνωα, ὑπὲρ τὸν Ῥαδά-
μανθυν· καὶ τούτου ἄμεινον ἤδη προμαντεύομαι, Ἕλ-
ληνες. καὶ εἰπὼν τὰ τοιαῦτα καὶ πλείω περὶ δικαιοσύ-
νης, ὅτι οὐδεὶς ἀδίκως οἰκήσει τὸ δεσμωτήριον ἢ δίκην 20
δώσει τῷ νόμῳ, οὐ προκριθήσεται πλούσιος, οὐ χαμαὶ
πεσεῖται λόγος τοῦ πένητος δίκαιος, πεπαύσθωσαν
ἡμῖν οἱ πλούσιοι ταῖς περιουσίαις κομπούμενοι, πε- 234
παύσθωσαν οἱ πένητες ὀδυρόμενοι τὴν ἀσθένειαν, ἤξεις
ἐπὶ τὸν τῆς ἀνδρείας ἔπαινον, ὅτι πρεσβεύσει πρὸς 25
βασιλέα ὑπὲρ ἡμῶν τοῖς γράμμασι· καὶ γὰρ οἱ πατέρες
ἀεὶ ἐπρέσβευσαν αὐτοῦ, ἢ πολλάκις ἄρχοντας εἰ ἔχοις
λέγειν. ἀντιστήσεται τοῖς δεινοῖς, ὥσπερ ἀγαθὸς κυ-
βερνήτης ὑπὲρ τοῦ σκάφους ὑπερέχοντος τοῦ κλύδωνος.
καὶ τὰς ἀρετὰς δὲ τὰς ἄλλας οὕτως ἐκ μεθόδου προάξεις 30
προλέγων, ὅτι τοιόσδε ἐστὶ καὶ τοιόσδε, οἷον ὅτι
σώφρων τυγχάνων ἔσται κρειττων κέρδους, κρειττων

Digitized by Google

ἡδονῶν· καὶ ἐπάξεις μετὰ ταῦτα τὸν περὶ τῆς φρονήσεως λόγον, ἐπισφραγιζόμενος τὰ προειρημένα, ὅτι πάντα δὲ ταῦτα ποιήσει διὰ φρόνησιν καὶ σύνεσιν· ὃς γὰρ ἀγνοεῖ τῶν προσηκόντων οὐδέν, περὶ πάντων δὲ ἀκριβῶς ἐπισκέπτεται, πῶς οὐ δῆλός ἐστιν ὁμολογουμένως μέλλων ἄρχειν ἐπ' ἀγαθῷ τῶν ὑπηκόων καλῶς. τάξεις δ' ἀεὶ τὰς ἀρετὰς ἐν ἁπάσῃ ὑποθέσει, ὡς ἄν σοι συμφέρειν ὁρᾷς, καὶ ὡς ἂν ἴδῃς ὑποδεχομένην τὴν ἀκολουθίαν τοῦ λόγου. ἐπειδὴ δὲ συγκρίσεις οὐ δυνάμεθα τάττειν πρὸς τὰς πράξεις διὰ τὸ μηδέπω πεφηνέναι τοῦ ἄρχοντος πράξεις, συγκρίνομεν αὐτοῦ τὸ γένος γένει ἐνδόξῳ ἢ τῶν Ἡρακλειδῶν ἢ τῶν Αἰακιδῶν. ἐν δὲ ταῖς ἀρεταῖς οὐ συγκρίνομεν· τί γὰρ ἂν καὶ συγκρίναιμεν μηδέπω μηδενὸς γεγονότος; ἐν μεθόδῳ δὲ εἰσάξομεν, ἐν μὲν τῇ δικαιοσύνῃ οὕτως· οὐ γὰρ δὴ Φωκίων μὲν καὶ Ἀριστείδης καὶ εἴ τις τοιοῦτος ἕτερος τῆς ἐκ τῶν ἔργων εὐδοξίας ἐπεθύμησαν, ὁ δὲ ἡμέτερος παρόψεται τὴν ἐκ τούτων εὔκλειαν, ἀλλ' ὥσπερ ἐκεῖνοι δι' ἀρετὴν ἀείμνηστοι γεγόνασιν, οὕτως καὶ αὐτὸς ἐπιθυμήσει μνήμην καλλίστων ἔργων ἐν ταῖς διανοίαις ταῖς ἡμετέραις καταλιπεῖν, ζηλώσει τὸν Μίνωα, μιμήσεται τὸν Ῥαδάμανθυν, ἁμιλληθήσεται πρὸς τὸν Αἰακόν· καὶ καθ' ἑκάστην τῶν ἀρετῶν οὕτως ποιήσεις, ἀπὸ τοῦ μέλλοντος κατ' εἰκασμὸν καὶ κατὰ τὸ ἀκόλουθον τὸν ἔπαινον ὁριζόμενος. τὰς δὲ συγκρίσεις τὰς πρὸς ὅλην τὴν ὑπόθεσιν ἐργασόμεθα οὕτως· ὅσοι μὲν οὖν γεγόνασιν ἄρχοντες καὶ παρ' ἡμῖν καὶ παρ' ἑτέροις, ἢ τῷ γένει μόνῳ σεμνύνεσθαι ἔδοξαν, ἢ φρόνησιν προὐβάλλοντο ἢ τῶν ἄλλων μίαν ἀρετῶν· οὗτος δὲ ὅτι τῷ γένει πάντων κρείττων ἐστί, καθάπερ καὶ ὁ ἥλιος τῶν ἀστέρων δέδεικται, μετὰ μικρὸν δὲ καὶ ἐπὶ ταῖς ἀρεταῖς θαυμασθήσεται, κρείττων μὲν ἐν δικαιοσύνῃ τῶν ἐπὶ

www.libtool.com.cn

Digitized by Google

δικαιοσύνῃ φρονούντων ὀφθείς, κρείττων δὲ ἐν ἀνδρείᾳ, καὶ κρείττων δὲ ἐν σωφροσύνῃ, ἢ οὐκ ἔλαττον τῶν ἐπὶ τοῖς ἔργοις τοῖς ἐπὶ τούτων δοξάντων μέγα φρονεῖν. ἐξέσται δέ σοι καὶ ἡμιθέων καὶ στρατηγῶν μνημονεῦσαι ἐν τῇ συγκρίσει πάσας ἐνταῦθα τὰς ἀρετὰς συγκρίνοντι. τοὺς δὲ ἐπιλόγους ἐργάσῃ, ὡς ἀπὸ τοῦ σκοποῦ τῆς ὑποθέσεως δεξιούμενος τοὺς ὑπηκόους, οἷον ὅτι προσαπηντήκαμεν δέ σοι ἅπαντες ὁλοκλήροις τοῖς γένεσι, παῖδες, πρεσβῦται, ἄνδρες, ἱερέων γένη, πολιτευομένων συστήματα, δῆμος περιχαρῶς δεξιούμενοι, πάντες φιλοφρονούμενοι ταῖς εὐφημίαις, σωτῆρα καὶ τεῖχος, ἀστέρα φανώτατον ὀνομάζοντες, οἱ δὲ παῖδες τροφέα μὲν ἑαυτῶν, σωτῆρα δὲ τῶν πατέρων· εἰ δὲ δυνατὸν ἦν καὶ ταῖς πόλεσιν ἀφεῖναι φωνὴν καὶ σχήματα λαβεῖν γυναικῶν ὥσπερ ἐν δράμασι, εἶπον ἄν· ὦ μεγίστης ἀρχῆς, ἡδίστης δὲ ἡμέρας, καθ' ἣν ἐπέστη νῦν ἡλίου φῶς φαιδρότερον· νῦν ὥσπερ ἔκ τινος ζόφου προσβλέπειν δοκοῦμεν λευκὴν ἡμέραν· μετὰ μικρὸν ἀναθήσομεν εἰκόνας, μετὰ μικρὸν ποιηταὶ καὶ λογοποιοὶ καὶ 237
ῥήτορες ᾄσουσι τὰς ἀρετὰς καὶ διαδώσουσιν εἰς γένη πάντων ἀνθρώπων· ἀνοιγέσθω θέατρα, πανηγύρεις ἄγωμεν· ὁμολογοῦμεν χάριτας καὶ βασιλεῦσι καὶ κρείττοσι. καὶ ταῦτα μὲν περὶ ἄρχοντος ἀρτίως τοῖς ὑπηκόοις ἐπιστάντος εἰρήκαμεν, ἐὰν δέ τινος λέγωμεν ἐπιβατήριον ἄρχοντος μὲν πάλαι τοῦ ἔθνους, ἄρτι δὲ ἐπιστάντος τῇ ἡμετέρᾳ, τὰ μὲν αὐτά, οἷα καὶ ἐκ περιχαρείας εἰρήκαμεν, δεῖ λαμβάνειν· ἐρεῖς δὲ τὰς πράξεις καθ' ἑκάστην μὲν τῶν ἀρετῶν, μετὰ δὲ τὰ ἐκ περιχαρείας. οὕτω δὲ διαιρήσεις τὸν λόγον βασιλέως· δι' ὀλίγων ἐρεῖς ἐγκώμιον, γένος ἐὰν ἔχῃ λαμπρόν, διὰ βραχέων ὁμοίως καὶ τοῦτο, εἶτα τὰς πράξεις καθ' ἑκάστην τῶν ἀρετῶν ἰδίᾳ συγκρινεῖς, εἶτα ἀθρόαν σύγκρι-

www.libtool.com.cn

σιν, εἶτα τοὺς ἐπιλόγους. δοκεῖ δὲ περιττὸν ἔχειν ὁ ἐπιβατήριος λόγος κατὰ τοῦ προσφωνητικοῦ τὸ ἐκ περιχαρείας κεφάλαιον μετὰ τὰ προοίμια, καὶ ταῦτα ἐκ περιχαρείας λαμβανόμενα· ὅμως δὲ οὐδὲν κωλύει μετὰ τὰ προοίμια τελείαν ἐργασίαν τῶν κεφαλαίων δίδοσθαι. χρήσῃ δὲ ἐν ταῖς τοιαύταις ὑποθέσεσι ταῖς τῶν προσφωνητικῶν καὶ τῶν ἐπιβατηρίων ἢ ἑνὶ προοιμίῳ ἢ καὶ
238 δευτέρῳ πολλάκις, ἔστι δὲ ὅτε καὶ τρισὶ χρήσῃ, ὅταν ἀπαιτῇ καὶ τοῦτο ἡ ὑπόθεσις.

Ἐὰν δέ τις τῷ εἴδει τούτῳ τῷ ἐπιβατηρίῳ καὶ πρὸς πόλιν θέλῃ χρήσασθαι, ἴστω ὡς ἀπὸ τῆς διαθέσεως καὶ τῆς εὐνοίας τῆς περὶ τὴν πόλιν, ὡς ἔχει, καὶ ἀπὸ τῆς ὄψεως τῆς φανερᾶς τῆς πόλεως λήψεται τὴν χορηγίαν τοῦ λόγου ἐκ μεθόδων καὶ τῶν πατρίων μεμνημένος· οἷον ἐπόθουν μὲν πάλαι καὶ γυμνάσια καὶ θέατρα ταῦτα καὶ ἱερῶν κάλλη καὶ λιμένων τῆσδε τῆς πόλεως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν παρ' ἡμῖν ἐξαιρέτων τὰς ὑπερβολάς; εἶδον δὲ καὶ νῦν ἄσμενος καὶ γέγηθα τῇ ψυχῇ τὰ ἐξαίρετα· ἄλλοι μὲν γὰρ ἄλλοις χαίρουσιν, οἱ μὲν
20 ἵπποις, οἱ δὲ ὅπλοις, ἐγὼ δὲ ἀγαπῶ τὴν ἐμαυτοῦ πατρίδα καὶ νομίζω μηδὲν διαφέρειν τὴν περὶ ταύτην ἐπιθυμίαν τῆς περὶ τὴν ἀκτῖνα, ἣν ὁ ἥλιος ἐξ ὠκεανοῦ ἐκτείνει φανείς· τί γὰρ ἂν γένοιτο μεῖζον πόλεως, ἣν ὁ δεῖνα ἔκτισεν; εἶτα ἔπαινον ἐρεῖς διὰ βραχέων τοῦ κτί-
25 σαντος, κἂν μὲν βασιλέως ἔργον ἡ πόλις τυγχάνῃ, συνῳδοὶ δ' ὦσιν οἱ νῦν βασιλεύοντες τῷ τότε, ἐρεῖς, ὅτι ὁ τούτων πρόγονος ἔκτισεν· ἡ γὰρ βασιλεία καὶ τὸ ἀξίωμα συνάπτει τὰ γένη· ἐὰν δὲ ὡς τύραννον μισῶσιν, ὅτι πάσης τῆς οἰκουμένης ἡ πόλις, καὶ ὅτι τινὰς
30 μὲν τῶν πόλεων ἀνὴρ εἷς ἢ βασιλεὺς εἷς ἔκτισε, ταύτην δὲ ἡ οἰκουμένη σύμπασα. οὐκοῦν μετὰ τὰ προοί-
239 μια ὄντα ἐκ περιχαρείας κεφάλαιον ἐργάσῃ ἔχον ἐναν-

Digitized by Google

τίου αὔξησιν οὕτως· ὅτι ἐδυσχέραινον δὲ ὡς ἔοικεν τὸν παρελθόντα χρόνον καὶ ἡνιώμην ἀθεάμων ὑπάρχων κάλλεων τοσούτων καὶ πόλεως, ἣν μόνην καλλίστην πόλεων ὁ ἥλιος ἐφορᾷ· ἐπειδὴ δὲ εἶδον, ἐπαυσάμην τῆς λύπης, ἀπεσεισάμην δὲ τὴν ἀνίαν, ὁρῶ δὲ ἅπαντα ὧν ἐπόθουν τὴν Θέαν, οὐκ ὀνειράτων εἰκόνας οὐδὲ ὥσπερ ἐν κατόπτρῳ σκιάς, ἀλλ' αὐτὰ τὰ τεμένη, αὐτὴν τὴν ἀκρόπολιν, αὐτοὺς τοὺς νεὼς καὶ· λιμένας καὶ στοάς. δεύτερον δὲ κεφάλαιον ἐρεῖς μετὰ τοῦτο αὐτοῦ τοῦ κτίσαντος ἔπαινον σύμμετρον. τρίτον κεφάλαιον, ἐν ᾧ τὴν φύσιν τῆς χώρας ἐκφράσεις, ὅπως μὲν ἔχει πρὸς θάλασσαν, ὅπως δὲ πρὸς ἤπειρον, ὅπως δὲ πρὸς ἀέρας· διεξεργάσῃ δὲ τούτων ἕκαστον συμμέτρως, καὶ ἐν μὲν τῷ κατ' ἤπειρον ἐκφράσεις πεδίων κάλλη, ποταμῶν, λιμένων, ὀρῶν· ἐν δὲ τῷ κατὰ θάλατταν, ὅπως ἐπιτηδείως ἔχει πρὸς τοὺς καταίροντας καὶ τίσι πελάγεσι περικλείεται, ἐν ᾧ καὶ ἔκφρασις πελάγους· ἐν δὲ τῷ κατὰ τοὺς ἀέρας, ὅτι ὑγιεινῶς ἔχει, καὶ συγκρινεῖς τούτων ἕκαστον, τὴν μὲν χώραν ἑτέρᾳ χώρᾳ, οἷον ὅτι ἐν καλῷ μὲν κεῖται, καθάπερ ἡ Ἰταλία, διαφέρει δὲ τῷ ἐκείνην μὲν ἐν μέρει τινὶ τῆς οἰκουμένης πλησίον βαρβάρων κεῖσθαι ἢ καὶ πρὸς τῷ τέλει τῆς οἰκουμένης, ταύτην δὲ ἢ πλησίον Ἑλλάδος εἶναι ἢ κατὰ τὸ μέσον τῆς οἰκουμένης, καὶ εὐφυέστερον ἔχειν πρὸς ἤπειρον καὶ πρὸς θάλασσαν· τὸ δὲ πρὸς τοὺς ἀέρας ἢ πρὸς τοὺς Ἀθηναίων ἀέρας ἢ πρὸς τοὺς Ἴωνας. εἶτα μετὰ τὰς συγκρίσεις ταύτας καὶ τὴν ἐργασίαν τῶν ἐπιχειρημάτων συνάψεις, τὰ κατὰ τὴν πόλιν ὅπως ἔχει, καὶ αὐτὴ φύσεως ἐν τῇ χώρᾳ· ἀκολουθεῖ γὰρ τῷ λόγῳ τῷ περὶ φύσεως τῆς χώρας καὶ ὁ λόγος ὁ περὶ τῆς φύσεως τῆς πόλεως, ἐν ᾧ ἐρεῖς, πότερον ἐν μέσῳ κεῖται τῆς χώρας, ἢ πρὸς θάλασσαν μᾶλλον, ἢ πρὸς τοῖς ὄρεσιν. ἰδίαν

www.libtool.com.cn

μέντοι ἐργασίαν ὁ περὶ τῆς θέσεως τῆς πόλεως ἕξει, ἄμφω δὲ εἰς ἓν κεφάλαιον ἀνάγειν τό τε κατὰ τὴν φύσιν τῆς χώρας καὶ τὸ κατὰ τὴν θέσιν τῆς πόλεως οὐδὲν κωλύει, λέγω δὲ εἰς τὸ τῆς φύσεως κεφάλαιον· ταὐτὸν γάρ ἐστιν ἐπὶ τῆς χώρας καὶ φύσις καὶ θέσις, πλὴν ὅτι ἡ μὲν θέσις τὸ κεῖσθαι σημαίνει, ἡ δὲ φύσις τὰ ἐν τῇ θέσει, ὥσπερ βλαστήματα καὶ ὄρη καὶ πεδία καὶ ποταμοὺς καὶ φυτά, ὥστε ἡ μὲν θέσις ἔσται καὶ φύσις, οὐ πάντως δὲ ἡ φύσις θέσις· φυτὰ γὰρ καὶ ποταμοὺς καὶ ὀρῶν ὑπεροχὰς καὶ τὰ τοιαῦτα ὁ τῆς φύσεως παρέχει
241 λόγος· ἵνα δὲ συντόμως εἴπω, ὁ περὶ τῆς φύσεως τῆς χώρας λόγος διττός ἐστιν· ὁ μὲν γάρ ἐστι τῆς θέσεως, ὡς ἔχει πρὸς ἑκάτερον τῶν στοιχείων, ὁ δὲ τῶν ἐν τῇ χώρᾳ βλαστημάτων. μετὰ δὲ τὸν περὶ τῆς φύσεως λόγον τὸν περὶ τῆς ἀνατροφῆς θήσεις, ἐὰν ἔχῃς ἐν πατρίοις, ὡς ὁ Ἀριστείδης εὐπόρησεν εἰπών, ὡς Ἀθηναῖοι παρὰ τῆς Δήμητρος καρποὺς ἔλαβον, καὶ λαβόντες τοῖς ἄλλοις μετέδοσαν· ἐὰν δὲ μὴ ἔχῃς, ἐπαίνεσον τὰ ἔθη, ὡς ἐν κεφαλαίῳ τῶν ἐπιτηδευμάτων· ἐπιτηδεύματα γάρ ἐστιν ἔνδειξις τοῦ ἤθους καὶ τῆς προαιρέσεως τῶν ἀνδρῶν ἄνευ πράξεων ἀγωνιστικῶν. ἐρεῖς οὖν ὅτι πρὸς τοὺς ξένους φιλάνθρωπος, ὅτι πρὸς τὰ συμβόλαια νόμιμος, ὅτι μεθ' ὁμονοίας συνοικοῦσιν ἀλλήλοις, καὶ ὅτι ὁποῖοι πρὸς ἀλλήλους, τοιοῦτοι καὶ πρὸς τοὺς ἔξωθεν. ἐφ' ἅπασι δὲ τούτοις τοῖς κεφαλαίοις, ἐπειδήπερ ἐπιβατήριον ὑπεθέμεθα, προσθήσεις ἐκεῖνα συχνότερον, ἵνα μὴ ἀπάδῃ τῆς ἐπαγγελίας ὁ λόγος· ταῦτά με ἦν τὰ ἐφελκόμενα, ταῦτα ἐπόθουν, διὰ τοῦτο οὔτε νύκτα οὔτε ἡμέραν ἐδόκουν ἡσυχάζειν φλεγόμενος τοῖς περὶ ταῦτα ἔρωσι, καὶ οὐ ταῦτά με μόνον πρὸς τὸν πόθον διήγειρεν, ἀλλὰ τούτων πλείω καὶ θαυμασιώτερα, οἷς συνάψεις τὰ ἑξῆς ἐγκώμια.

www.libtool.com.cn
Digitized by Google

Ἐὰν δὲ μὴ ἐπιβατήριος ὁ λόγος ᾖ, ἄλλως δὲ πάτριος, περὶ μὲν ἐρώτων καὶ περιχαρείας ἐρεῖς οὐδέν, 242
ἁπλῶς δὲ ἄνευ τῆς τοιαύτης προσθήκης ἐργάσῃ τὸ ἐγκώμιον πατρίοις χρώμενος τοῖς κεφαλαίοις ἐφεξῆς, ὡς προείρηται καὶ ῥηθήσεται. ἔστι δὲ κεφάλαια ἐκεῖνα 5
περὶ ὧν εἰρήκαμεν, φύσις, ἀνατροφή, ἐπιτηδεύματα, ἰδιάζον δὲ κεφάλαιον τοῦ ἐπιβατηρίου τὸ ἐκ περιχαρείας, τὰ δὲ λοιπὰ κοινά. μετὰ τοίνυν τὰ ἐπιτηδεύματα θήσεις τὰς πράξεις εἰς τέσσαρας ἀρετάς, δικαιοσύνην, ἐν ᾗ μαρτυρίαν μεταλήψῃ τῶν περιοίκων, ὅτι ταύτην ἡγού- 10
μενοι τὴν πόλιν ὅρον εἶναι δικαιοσύνης ἥκουσι παρ' ἡμᾶς δικασόμενοι· καθάπερ οἱ Ἀθηναῖοι τὸν Ἄρειον πάγον δικαιοσύνης δικαστήριον παρειλήφασιν, οὕτω καὶ τὴν ἡμετέραν οἱ ἀστυγείτονες, καὶ οὐδεὶς ἐνεκάλεσεν οὔτε ξένος οὔτε ἰδιώτης τῶν παρ' ἡμῖν, οὔτε ἀστυγει- 15
τόνων πόλει τῇ ἡμετέρᾳ, οὔτε περιοίκων, οὔτε περὶ ὅρων, οὔτε περὶ ὧν εἰώθασιν ἀμφισβητεῖν αἱ πόλεις. εἶτα ἀπὸ τῶν καταπλεόντων ἐμπόρων, ὅτι αἱροῦνται τὰς ἄλλας πόλεις καταλιπόντες εἰς τὴν ἡμετέραν καταίρειν πεπειραμένοι τῆς ἡμετέρας φιλανθρωπίας· εἶτα 20
κατασκευάσεις ὅτι μὴ τὸ τέλος φορτικὸν εἰσπραττόμεθα, ὅτι μηδὲ ξημιοῦνται παρὰ τοὺς νόμους. τὴν δὲ σωφροσύνην ἀπὸ ἐγκρατείας ἐρεῖς, ἀπὸ τῆς τῶν νέων ἀγωγῆς, καὶ κατασκευάσεις, ὅτι οἱ μὲν περὶ λόγους καὶ φιλοσοφίαν ἔχουσιν, οἱ δὲ περὶ τέχνας καὶ ἄλλας 243
ἐπιστήμας. ἀνάγκη δὲ τοὺς περὶ ταῦτα ἔχοντας Ἀφρο- 26
δίτης μὲν ἀτόπων νόμων ὑπερορᾶν, παρασκευάζειν δὲ τὴν ψυχὴν τὰ βελτίω περιεργάζεσθαι. περὶ δὲ τῆς φρονήσεως οὕτως ἐρεῖς, ὅτι θαυμάζοντες οἱ τὸ αὐτὸ ἔθνος καὶ γένος εἰλήχασι παρ' ἡμᾶς ἥκουσι συσκεψόμενοι περὶ 30
τῶν κοινῶν, ὥσπερ τὸ παλαιὸν παρ' Ἀθηναίους οἱ Ἕλληνες, καὶ κοινόν ἐστι συνέδριον καὶ βουλευτήριον

www.libtool.com.cn
Digitized by Google

τοῦ κοινοῦ γένους ἡ ἡμετέρα πόλις· καὶ ὅτι εἰ ἔδει νῦν νομοθετεῖν, ἐνομοθέτησεν ἂν τῷ κοινῷ γένει τῶν ἀνθρώπων, ὥσπερ τὸ παλαιὸν Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι τοῖς Ἕλλησι· ποῦ μὲν γὰρ Σόλωνες πλείους τῶν παρ' ἡμῖν; ποῦ δὲ Λυκοῦργοι βελτίους; ποῦ δὲ Μίνως καὶ Ῥαδάμανθυς, οἱ τῶν Κρητῶν νομοθέται; περὶ δ' ἀνδρείας ἐρεῖς, ὅτι πολλῶν πολλάκις πρεσβειῶν πρὸς βασιλέα καὶ ἐκ πολλῶν ἐθνῶν γεγενημένων οὐδένες μετὰ πλείονος παρρησίας καὶ σεμνότητος διελέχθησαν τῶν ἀπὸ τῆς ἡμετέρας. εἶτα ἐφ' ἑκάστῃ τῶν ἀρετῶν συγκρίσεις ἐργάσῃ, ἰδίαν μὲν καθ' ἑκάστην, μετὰ δὲ ταύτην ἐφ' ἁπάσαις αὐταῖς ἀθρόαν σύγκρισιν ἐργάσῃ
244 πόλεως πρὸς πόλιν, συλλαμβάνων ἅπαντα καὶ τὰ πρὸ τούτων ὁμοίως, φύσιν, ἀνατροφήν, ἐπιτηδεύματα, πράξεις· καὶ ἐν οἷς μὲν ἂν τούτων εὕρῃς σωζομένην τὴν ἰσότητα ἢ καὶ πλεονεξίαν παρὰ τῇ πόλει ἣν ἐπαινεῖς, ταῦτα ἀντεξετάσεις ἐν τῇ συγκρίσει, ἐν οἷς δ' ἂν εὑρίσκῃς αὐτὴν ἐλαττουμένην, ταῦτα παραδραμεῖς· καὶ γὰρ Ἰσοκράτης συγκρίνων Θησέα Ἡρακλεῖ, ἐν οἷς μὲν εὗρεν αὐτὸν πλεονεκτοῦντα, ἀντεξήτασεν, ἐν οἷς δὲ τὸν Ἡρακλέα, ταῦτα ἐσίγησε. μετὰ τὴν σύγκρισιν ἥξεις ἐπὶ τοὺς ἐπιλόγους, ἐν οἷς διαγράψεις αὐτὸ τὸ σχῆμα τῆς πόλεως, καὶ ἐρεῖς στοάς, ἱερά, λιμένας, εὐετηρίας, ἀφθονίαν, τὰ ἐκ τῆς θαλάσσης ἐπεισαγόμενα ἀγαθά, ἵππων δρόμους, ἂν ἔχῃ, ἀγώνων διαθέσεις, λουτρῶν ἀπολαύσεις, ὑδάτων ἐπιρροάς, ἅλση ἐν αὐτῇ τῇ πόλει, τὰ περὶ τὴν πόλιν, οἷον ἐὰν ἱερὸν πλησίον πολυτελὲς ᾖ, ἂν μαντεῖον, ἂν τέμενος θεοῖς ἀνακείμενον· καὶ γὰρ ταῦτα συντελεῖ πρὸς κόσμον τῇ πόλει· ἐφ' ἅπασι δὲ τούτοις τοῖς παραγγέλμασιν ἐντεύξει Καλλινίκου λόγοις καὶ Ἀριστείδου καὶ Πολέμωνος καὶ Ἀδριανοῦ, καὶ μιμήσῃ τὰς ἐργασίας ἐν μὲν τῷ τῆς φύσεως τόπῳ, ἐν δὲ

www.libtool.com.cn
Digitized by Google

τοῖς λοιποῖς ὡσαύτως, οὐχ ἧττον δὲ κἀν τοῖς ἐπιλόγοις τὸν ἐκείνων τρόπον ζηλώσεις.

Τὰ μὲν οὖν εἰρημένα καθολικῶς εἴρηται περὶ τοῦ πατρίου καὶ ἐπιβατηρίου· καὶ διακέκριται τὸ ἴδιον ἑκάστου ἐν τῇ διαιρέσει, ἐὰν δέ ποτε βουληθῇς εἰπεῖν, ὦ γλυκύτατε τῶν ἑταίρων, καὶ Τρωϊκὸν μὲν ἐγκώμιον τῆς χώρας, πρῶτον οὐδὲν ἄλλο ἐστὶν ἢ λόγος περιέχων ἔκφρασιν τῆς φύσεως καὶ τῆς θέσεως αὐτῆς ὅπως ἔχει πρὸς τὴν παρακειμένην ἤπειρον, ὅπως πρὸς τὴν γειτνιῶσαν θάλασσαν, ὅπως ἀέρων ἔχει εὐκρασίας, εἶτα ἐπὶ τούτοις λαμπρῶς καὶ διειργασμένως ἐκφράσεις, ἐρεῖς δὲ καὶ περὶ ποταμῶν καὶ ὀρῶν [καὶ ἵππων] καὶ πεδίων καὶ σπερμάτων καὶ δένδρων, ὅπως ἐπιτηδείως ἔχει πρὸς ταῦτα σύμπαντα, καὶ ὅτι τούτων οὐδενός ἐστιν ἐνδεής. καὶ τοῦτο μὲν δὴ κεφάλαιον περὶ τῆς θέσεως, πρὸς δὲ ἀπόδειξιν τούτου τοῦ κεφαλαίου λήψῃ τὰ ἀρχαῖα διηγήματα πρὸς πίστιν λέγων οὕτως· τοιγάρτοι διὰ τοῦτο καὶ κατὰ τοὺς παλαιοὺς χρόνους βασιλείας μεγίστας καὶ περιβοήτους εὐτυχήσαντας Δαρδάνου τοῦ Τρωὸς τὴν ἀρχὴν τοῦ Λαομέδοντος καὶ οἱ πατέρες ἡμῶν ἦρξαν οὐ μικρῶν θαλάσσης μέτρων, οὐδὲ νήσων τινῶν ἄρχουσιν, οὐδὲ περιγεγραμμένων τόπων, καθάπερ ἡ Πελοπόννησος, ἀλλ' ἦρξε μὲν Λυδίας, ἐπῆρξε δὲ Καρίας, καὶ προῆλθε τὴν ἑῴαν ἅπασαν καταστρεφόμενος, καὶ ὡμολόγησαν ἡμῖν δουλεύειν Αἰγύπτιοι καὶ Βλέμμυες καὶ Ἐρεμβῶν γένη, εἴπερ αὐτοὶ καὶ ἐν τοῖς τελευταίοις χρόνοις φαίνονται ὑπακούοντες ἡμῖν ἐν ταῖς συμμαχίαις καὶ κλήσεσιν. ἡ μὲν οὖν ἀπόδειξις τοῦ κεφαλαίου τοιαύτη, ὥστε συμπεπλήρωται τὸ κεφάλαιον τοῦτο τὸ περὶ τῆς φύσεως καὶ θέσεως τῆς χώρας ἀπὸ τῆς ἱστορίας. μετὰ ταῦτα ἐμβαλεῖς τὸν περὶ τῆς πόλεως λόγον οὕτω πως· τὸ μὲν οὖν παλαιὸν ἐρασθέντες τῆς χώρας θεοὶ καὶ Ποσειδῶν

www.libtool.com.cn
Digitized by Google

καὶ Ἀπόλλων μικρὸν ἀνωτέρω θαλάττης τὸ Ἴλιον τειχίζουσιν, ὥσπερ οὐδὲν κάλλιον νομίζοντες. εἶπερ οὖν περὶ τῶν Ἀθηναίων ἐρίζοις, εἶτα τὴν ἐκ κοινῆς γνώμης κατασκευήν, ὥσπερ τῆς ὅλης χώρας ἀκρόπολιν, οὐ δι' ἀπεχθείας ἀλλήλοις ἥκοντες, ὥσπερ ἐπὶ τῆς Ἀθηναίων πόλεως, ἀλλ' ὁμογνωμονοῦντες ἀμφότεροι. Ἀλέξανδρος δὲ μετὰ ταῦτα, ὁ μηδὲ Ἡρακλέους λειπόμενος μηδὲ Διονύσου νομισθεὶς εἶναι χείρων, ὁ τῆς οἰκουμένης τὸ μέγιστον καὶ πλεῖστον μέρος μιᾷ χειρὶ Διὸς παῖς ὄντως
247 χειρωσάμενος, ἐπιτηδειότατον χῶρον τοῦτον ὑπολαβών,
11 μεγίστην πόλιν καὶ ὁμώνυμον αὐτῷ κατασκευάσας, εἰς ταύτην τὴν ἡμετέραν ἤγειρε. μετὰ ταῦτα ἐρεῖς καὶ περὶ τῆς πόλεως, ὅπως καὶ αὐτὴ ἐν μέσῃ τῇ χώρᾳ κεῖται ἢ μικρὸν ἐπικλίνει πρὸς τὴν θάλασσαν, εἶθ' ἑξῆς ὥσπερ
15 ἔχει σύμπασα ἡ διαίρεσις.

ΠΕΡΙ ΛΑΛΙΑΣ.

4 Τὸ τῆς λαλιᾶς εἶδος χρησιμώτατόν ἐστιν ἀνδρὶ σοφιστῇ, καὶ ἔοικε δύο εἴδεσι τῆς ῥητορικῆς ὑποπίπτειν τῷ τε συμβουλευτικῷ καὶ τῷ ἐπιδεικτικῷ· πληροῖ γὰρ ἑκα-
20 τέρου τὴν χρείαν· καὶ γὰρ ἄρχοντας ἐὰν ἐγκωμιάσαι βουλώμεθα, πολλῶν ἐγκωμίων παρέχει τὴν ἀφθονίαν· καὶ γὰρ δικαιοσύνην αὐτῷ καὶ φρόνησιν καὶ τὰς λοιπὰς ἀρετὰς διὰ τῆς λαλιᾶς καταμηνύειν δυνάμεθα. καὶ μὴν καὶ συμβουλεῦσαι διὰ λαλιᾶς ὅλῃ τῇ πόλει καὶ ἀκροαταῖς
25 πᾶσι καὶ ἄρχοντι, εἰ βουλοίμεθα, προσδραμόντι πρὸς τὴν ἀκρόασιν ῥᾴδιον. καὶ μὴν καὶ αὐτῷ καταμηνῦσαί τινα ὀργὴν ἢ λύπην ἢ καὶ ἡδονὴν πρὸς τοὺς ἀκροατὰς διὰ λαλιᾶς οὐ κεκώλυται, ἔξεστι δὲ καὶ σχηματίσαι διάνοιαν ὅλην ἢ ἀποσκώπτοντα ἢ κωμῳδεῖν ἐπιχειροῦντα, ἦθός
30 τινος προαιρούμενον, ἢ ψέγοντα βίον, ἢ ἄλλο τι τῶν
248 τοιούτων. εἰπόντες δὲ τούτων παραδείγματα πειρα-

Digitized by Google

σόμεθα καὶ περὶ τῶν ὑπολοίπων τοῦ γένους διεξελθεῖν.

Ἄρχοντός τινος ἔθνους διὰ λαλιᾶς πρόκειται ἡμῖν ἐγκώμιον. οὐκοῦν ζητήσομεν ὁποῖός ἐστι περὶ βασιλέας, ὁποῖός ἐστι περὶ κατασκευὰς τῶν πόλεων, καὶ τῶν δημοσίων οἰκοδομημάτων, καὶ περὶ τὰς κρίσεις τῶν ἰδιωτῶν, ὁποῖος δὲ καὶ καθ' ἑαυτὸν τὸν τρόπον, ὁμιλητικὸς πρᾷος ἢ τοὐναντίον αὐστηρὸς καὶ κατεστυμμένος. οὐκοῦν ληψόμεθα πρὸς τοῦτο τὸ παράδειγμα ἱστορίαν ἀρχαίαν ἢ πλάσαντες αὐτοί, ἵνα μὴ δοκῶμεν γυμνοῖς αὐτοῖς τοῖς πράγμασιν ἐγχειρεῖν· οὐ γὰρ ἔχει τοῦτο ἡδονήν· χαίρει γὰρ τὸ τῆς λαλιᾶς εἶδος τῇ γλυκύτητι καὶ τῇ τῶν διηγημάτων ἁβρότητι. παραγένοιτο δ' ἂν ἡ γλυκύτης τῶν λόγων, εἰ παραδείγματα λέγοιμεν δι' ὧν ἐμφανιοῦμεν ὃ προαιρούμεθα, ἱστορίας ἡδίστας τοῖς ἀκροαταῖς μαθεῖν ἐκλεγόμενοι, οἷον περὶ θεῶν, ὅτι καὶ θεοὶ πεφύκασιν ἐπιμελεῖσθαι τῶν ἀνθρώπων, οἷον εἰ Ἡρακλέους μνημονεύοιμεν ὡς πειθομένου μὲν ἀεὶ τῷ Διὶ προστάττοντι, ἀθλοῦντος δὲ ὑπὲρ τοῦ βίου τῶν ἀνθρώπων, καὶ τοὺς μὲν ἀδίκους ἐξαιροῦντος, τοὺς ἀγαθοὺς δὲ ἐγκαθιστάντος πρὸς ἐπιμέλειαν τῶν πόλεων. εἰ Ἀγησίλαον λέγοιμεν, ὡς πειθόμενον Λακεδαιμονίων τοῖς προστάγμασιν, ἄρξαντα 249
δὲ τῆς Ἰωνίας καὶ τῆς Ἑλλησπόντου λαμπρῶς, καὶ θαυμασθέντα οὕτως, ὥστε καὶ ταινίαις ἀναδεθῆναι παρὰ τῶν ὑπηκόων καὶ ἄνθεσι βάλλεσθαι ταῖς πόλεσιν ἐπιδημοῦντα. μεστὴ δὲ καὶ ἡ ἱστορία Ἡροδότου γλυκέων διηγημάτων, ἐν οἷς ἡδονὴ παντοδαπῶς παραγίνεται τῷ λόγῳ οὐ μόνον ἀπὸ τῆς ξένης τῶν διηγημάτων ἀκοῆς, ἀλλὰ καὶ ἀπὸ τῆς ποίας συνθέσεως, ὅταν μὴ τραχείᾳ χρώμεθα τῇ ἐξαγγελίᾳ, μηδὲ περιόδους ἐχούσῃ καὶ ἐνθυμήματα, ἀλλ' ὅταν ἁπλουστέρα τυγχάνῃ καὶ ἀφε-

www.libtool.com.cn
Digitized by Google

λεστέρα, οἷα ἡ Ξενοφῶντος καὶ Νικοστράτου καὶ Δίωνος τοῦ Χρυσοστόμου καὶ Φιλοστράτου τοῦ τῶν Ἡρωικῶν τὴν ἐξήγησιν καὶ τὰς Εἰκόνας γράψαντος ἐρριμμένη καὶ ἀκατασκεύαστος. χρὴ δὲ καὶ ὀνείρατα πλάττειν καὶ ἀκοήν τινα προστιθέσθαι ἀκηκοέναι, καὶ ταύτην βούλεσθαι ἐξαγγέλλειν τοῖς ἀκούουσιν, ὀνείρατα μέν, ὡς εἰ λέγοιμεν, ὅτι παραστὰς νύκτωρ Ἑρμῆς προστάττοι κηρύττειν τὸν ἄριστον τῶν ἀρχόντων, καὶ πειθόμενος τοῖς ἐκείνου προστάγμασιν ἐρῶ κατὰ μέσον θεάτρων, ἅπερ ἐκείνου λέγοντος ἤκουσα· ἀκοὴν δὲ ὡς εἰ λέγοιμεν οὕτως, ὅτι ἀπήγγειλέ τις ἐμοὶ τῶν ἀπὸ ἀστυγείτονος πόλεως πολλὰς ἀρετὰς καὶ θαυμαστάς, ἃς ἐν ὑμῖν, εἰ σχολὴν ἀκούειν ἄγοιτε, φράσαι προαιροῦμαι.

Συμβουλεύσεις δὲ διὰ λαλιᾶς περὶ ὁμονοίας πόλει, ἀκροαταῖς, φίλοις, ἀντιπολιτευομένοις καὶ πλάττουσι συναγαγεῖν αὐτοὺς εἰς εὔνοιαν τὴν πρὸς ἀλλήλους· συμβουλεύσεις δέ ποτε καὶ ἐθέλειν ἀκούειν λόγων, εἰ μισολόγους γινώσκεις καὶ δυσχερῶς συνιόντας. ἐξαγγελεῖς δὲ σαυτοῦ πάθος, οἷον ὡς ἐν ὑποδείγματι, εἰ λέγοις ὅτι οὐκ ἀπαιτοῦσιν συνεχῶς αἱ ἀκροάσεις, οὐδὲ ἀναγκάζουσι λέγειν, πλάσας τοιοῦτον λόγον, ὅτι Ἀπόλλων πολὺς ἦν θεσπίζων περὶ τοὺς τρίποδας, καὶ καταλαβὼν Κασταλίαν καὶ τοὺς Δελφοὺς ἐπλήρου τὴν προφῆτιν μαντικοῦ τοῦ πνεύματος, τῶν δὲ Μουσῶν ἠμέλει· χαλεπαίνουσαι οὖν αἱ Μοῦσαι ἀξιοῦσι μαθεῖν τὴν αἰτίαν, διότι οὐ μετέχει χορείας τῆς ἐν Ἑλικῶνι μετὰ Μουσῶν, ἰδίᾳ δὲ φοιβάζει Μουσῶν ἐν τοῖς ἀδύτοις, καὶ ποθεῖ μᾶλλον τοὺς τρίποδας. σχηματίζων δὲ πρός τε σαυτὸν ἐρεῖς ταῦτα καὶ πρὸς τοὺς ἀκροατάς, ὅτι Ζεὺς ᾐτιᾶτο τὰς Μούσας, ὅτι οὐ προτρέπουσι τὸν Ἀπόλλωνα συγχορεύειν αὐταῖς καὶ πλήττειν τὴν λύραν· ἐμφανιεῖς δὲ καὶ ἡδονὴν σεαυτοῦ πρὸς τοὺς ἀκού-

www.libtool.com.cn

οντας οὕτως ὅταν ἀποδέχῃ τὴν ἀκοὴν αὐτῶν ὡς κριτι- 251
κῶς ἀκροωμένων, ὅτι ἥσθης ἐπὶ τῇ τοιαύτῃ διαθέσει
τῶν ἀκροατῶν, ὥσπερ Ἰσοκράτης ἥσθη τοῖς Ἕλλησιν
ἀναγνοὺς ἐν Ὀλυμπίᾳ τὸν πανηγυρικὸν λόγον, αἰσθανό-
μενος ὅτι κατεῖδον ἀκριβῶς τὸ μεγαλεῖον τοῦ λόγου. 5
ἀποσκώψεις δὲ πολλάκις καὶ ψέξεις ἀνωνύμως ὑπο-
γράφων τὸ πρόσωπον, εἰ βούλοιο, καὶ τὸ ἦθος διαβάλ-
λων, καὶ ὥσπερ ἐν τῷ ἐπαινεῖν ἐξῆν ἐκ πάσης ἀρετῆς
λαμβάνειν τὰ ἐγκώμια, οὕτως ἔξεστί σοι ἀπὸ πάσης
κακίας διαβάλλειν καὶ ψέγειν, ὅταν ἐθελήσῃς. ἔστι 10
δέ ποτε καὶ ἀπολογήσασθαι καὶ διαθεῖναι τὸν ἀκροα-
τὴν ἐπὶ παρόδου, ἣν μέλλει ποιεῖσθαι, πολλάκις μὲν
ἠθικῶς μετριάζοντα, ὅτι τέττιγας μιμεῖται τοὺς ᾠδι-
κοὺς τῶν ὀρνίθων, πολλάκις δὲ αἰτήσεις συγγνώμην
φάσκων ἐξ ὑπογύου σοι γεγενῆσθαι τὸ σπούδασμα, ἢ 15
ὅτι τῶν λόγων τὰς ἀπαρχὰς ἀνατίθης τῇ πατρίδι καὶ
τοῖς πολίταις, ᾗπερ Δήμητρι καὶ τῷ Διονύσῳ οἱ
γεωργοὶ τὰ θαλύσια.

Ἁπλῶς δὲ χρὴ γινώσκειν, ὅτι λαλιὰ τάξιν μὲν οὐ-
δεμίαν θέλει σώζειν καθάπερ οἱ λοιποὶ τῶν λόγων, 20
ἀλλὰ ἄτακτον ἐπιδέχεται τὴν ἐργασίαν τῶν λεγομένων·
ἃ γὰρ βούλει, τάξεις πρῶτα καὶ δεύτερα, καὶ ἔστιν 252
ἀρίστη τάξις τῆς λαλιᾶς τὸ μὴ κατὰ τῶν αὐτῶν βα-
δίζειν συνεχῶς, ἀλλ' ἀτακτεῖν ἀεί· ἀπὸ τοῦ γένους
ποτὲ ἐγκωμιάσεις, ἄλλοτε πάλιν ἀπὸ προαιρέσεως ἐγκω- 25
μιάσεις, ἄλλοτε ἀπὸ τῶν χθὲς καὶ πρώην συμβεβηκό-
των περὶ αὐτόν. καὶ ἀπὸ τύχης ἐγκωμιάσεις ποτὲ καὶ
ἀπὸ πράξεως ἄλλοτε. καὶ ταῦτα μὲν περὶ τούτων,
λεχθήσεται δὲ καὶ ἕτερα. ἐρεῖς τι καὶ εἰς τὴν σεαυτοῦ
πατρίδα ὡς χρονίως μὲν ἐπανελθὼν ἐπ' αὐτήν, ἀσμε- 30
νέστατα δὲ αὐτὴν θεασάμενος, καὶ τὸ Ὁμηρικὸν
ἐπιφωνήσεις

www.libtool.com.cn
Digitized by Google

κύσε δὲ ξείδωρον ἄρουραν,
χαίρων γαίῃ πατρῴῃ, καὶ ἀσπάσῃ τῷ λόγῳ τῶν ἀκροατῶν τὸ θέατρον, καὶ καθ' ἕνα ἕκαστον, ἀνωνύμως μέντοι, κοινῇ πάντας, μὴ ἐκ τοῦ προφανοῦς ὄνομα λέγειν, ἀλλὰ συγχαίρειν ἑαυτῷ ὅτι πρεσβύτας εἶδες, οὓς κατέλιπες ἀκμάζοντας, καὶ εἰς ἄνδρας τελοῦντας, οὓς ἐφήβους εἴασας, καὶ νεανίσκους εἶδες τελοῦντας εἰς παῖδας, καὶ ὅτι οὐδὲν γλύκιον πατρίδος οὐδὲ τοκήων γίνεται. ἁπλῶς δὲ χρὴ γιγνώσκειν περὶ λαλιᾶς, ὅτι πάντα ὅσα βουληθῶμεν ἐμφανίσαι διὰ ταύτης, ταῦτα ἐξέσται ἡμῖν λέγειν τάξιν μηδεμίαν ἐκ τέχνης
253 φυλάττουσιν, ἀλλ' ὡς ἂν προσπίπτῃ, στοχάζεσθαι μέντοι δεῖ ἑκάστου καιροῦ τῶν λεγομένων καὶ συνιέναι, ποῖον χρήσιμον εἰπεῖν πρῶτον, ποῖον δὲ δεύτερον. χρὴ δὲ καὶ μνημονεύειν αὐτῶν Ἀθηνῶν, ἐξ ὧν ἡ πάροδος, καὶ ἱεροφαντῶν καὶ δᾳδούχων καὶ Παναθηναίων, καὶ λόγων ἀγώνων καὶ μουσικῶν, καὶ παιδευτῶν καὶ νεολαίας· φέρει γὰρ ταῦτα πολλὴν γλυκύτητα. χρὴ δέ σε καὶ κιθαρῳδῶν ὀνόματα διαφόρων εἰδέναι, Ὀρφέως, Ἀρίονος, Ἀμφίονος καὶ τῶν περὶ αὔλησιν εὐδοκίμων καὶ μάντεων, καὶ ὅλως ἐνδόξων τεχνιτῶν πλεονεκτήματα ἐρεῖς· ἔτι δὲ περὶ ὀρῶν ἐπισήμων, Ὀλύμπου, Πιερίας, Ἴδης, Ἑλικῶνος, Παρνασσοῦ· πλείστην γὰρ ἡδονὴν ταῦτα παρέξει τῷ εἰδέι τῆς λαλιᾶς. πολὺς δὲ καὶ ὁ Διόνυσος ἔστω καὶ χορεῖαι καὶ Σειληνοὶ καὶ Σάτυροι, καὶ Ὠκεανὸς ποταμὸς καὶ Νεῖλος καὶ Ἴστρος καὶ Ἀχελῷος καὶ Εὐρυμέδων καὶ Θύμβρις, καὶ εἴ τις ἄλλος ἐπίσημος. χρησιμώτατοι δὲ πρὸς λαλιὰν καὶ οἱ Πλουτάρχειοι βίοι, ὥσπερ εἰς ἄλλην πολλὴν καὶ παντυδαπὴν παίδευσιν· καὶ γὰρ πλήρεις εἰσὶν ἱστοριῶν
254 καὶ ἀποφθεγμάτων καὶ παροιμιῶν καὶ χρειῶν· ταῦτα γὰρ πάντα καταμιγνύναι ταῖς λαλιαῖς χρήσιμον, ἵνα

πανταχόθεν τὴν ἡδονὴν θηρεύσωμεν. δεῖ δὲ ζητεῖν καὶ μεταμορφώσεις φυτῶν καὶ ὄρνεων [καὶ δένδρων]. γέγραπται δὲ καὶ Νέστορι ποιητῇ καὶ σοφισταῖς μεταμορφώσεις φυτῶν καὶ ὄρνεων, τούτοις δὲ τοῖς συγγράμμασιν ἐντυγχάνειν πάνυ λυσιτελεῖ. ἔχειν δὲ δεῖ σε μνήμην καὶ ποιητῶν ἐπισήμων Ὁμήρου, Ἡσιόδου, τῶν λυρικῶν. αὐτοί τε γὰρ καθ' ἑαυτοὺς ἄξιοι μνήμης, καὶ πολλοὺς μὲν ἐνεκωμίασαν, πολλοὺς δὲ ἔλεγξαν, παρ' ὧν δυνήσῃ λαβεῖν παραδείγματα. καὶ Ἀρχιλόχου δὲ οὐκ ἀμελήσεις, ἱκανῶς κολάσαντος τοὺς ἐχθροὺς τῇ ποιήσει, ἵνα καὶ αὐτὸς ὅταν ἐθέλῃς ψέγειν τινάς, ἔχῃς ἀποχρήσασθαι τἀνδρί· καλοὶ μὲν καὶ αὐτοὶ καθ' ἑαυτούς, ἀεὶ συνόντες βασιλεῦσι καὶ τυράννοις συμβουλεύοντες ἄριστα, καλὴ δὲ καὶ ἡ ἀπὸ τῶν ποιημάτων αὐτῶν ἐπιφώνησις καὶ μνήμη· γλυκεῖς γὰρ οἱ ἄνδρες καὶ ἡδονὴν ἐμποιῆσαι λόγων μάλιστα προσφορώτατοι.

Ὅτι μὲν οὖν ἐγκωμιάζειν καὶ ψέγειν καὶ ἀποτρέπειν διὰ λαλιᾶς ἔξεστι, καὶ ὅτι διαθέσεις τῆς ψυχῆς καταμηνύειν δέδονται διὰ τῆς λαλιᾶς, οἷον λύπη ἡδονὴ ὀργὴ ἤ τι τῶν τοιούτων, ἱκανῶς ἡμῖν προείρηται· ὁποῖον δὲ δεῖ τὸ εἶδος τῆς ἀπαγγελίας εἶναι, καὶ τοῦτο προστέθειται, ὅτι ἁπλοῦν καὶ ἀφελὲς καὶ ἀκατάσκευον· καὶ ὅτι οὐδεμίαν τάξιν ἀπὸ τῆς τέχνης νενομοθετημένην ἐπιδέχεται, καὶ τοῦτο μεμαθήκαμεν. προσκείσθω δὲ ὅτι οὐδὲ μακρὰς τὰς λαλιὰς εἶναι δεῖ, πλὴν εἰ δι' αὐτῶν ἐθέλοιμεν τὴν ἐπίδειξιν ποιήσασθαι· καλὸν γὰρ ἡ συμμετρία, καθάπερ οὐ καλὸν τὸ ἀδολεσχεῖν [καὶ πολλοὺς ἀναλίσκειν λόγους, ἱστορίας ἱστορίαις συνάπτοντα καὶ μύθους μύθοις καὶ διηγήματα] διηγήμασι· καὶ γὰρ ἀπειρόκαλον εἶναι τοῦτο πεπίστευται. ἔστι δὲ καὶ συντακτικὴ λαλιά, ὡς ἐὰν μέλλοντες ἀνάγεσθαι ἀπὸ τῶν Ἀθηνῶν ἐπὶ τὴν ἐνεγκοῦσαν, ἢ αὖ

www.libtool.com.cn
Digitized by Google

πάλιν ἀπὸ τῆς ἐνεγκούσης ἐπὶ τὰς Ἀθήνας ἐμφανίζωμεν, ὅτι δυσχεραίνομεν τὴν ἀπόλειψιν, ἐνδεικνύμενοι τοὺς ἀνιωμένους, εἶτα ἐκ μεθόδου ἥξομεν ἐπὶ τὰ ἐγκώμια τῆς πόλεως, ἣν ἂν ἀπολιπεῖν μέλλωμεν, οἷον τίς
5 ἂν ἕλοιτο ἀδακρυτὶ παραλιπεῖν, ὡς εἰ ἐπ' Ἀθηνῶν λέγοις, μυστήρια, κηρύγματα, ἱερά; Ἐλευσῖνάδε προστάττοντα βαδίζειν, καὶ ἄστυδε πάλιν ἀπ' Ἐλευσῖνος· τίς δ' ἂν ἀνέχοιτο ἀκροπόλεως τοιαύτης κάλλος καταλιπεῖν, ἱερά, Διονύσια, Παναθήναια, ἄνδρας λογάδας
256 σοφίας καὶ ἀρετῆς; καὶ ὅλως ἐφαρμόσομεν τὰ τῆς πόλεως
11 ἐξαίρετα, τὰ κάλλη τῶν οἰκοδομημάτων καὶ πανηγύρεων πολυτελείας.

Ἔστι δὲ καὶ ἐπιβατήριον εἰπεῖν λαλιὰν εὐθὺς ἐπιστάντα τῇ πατρίδι, ὡς μικρῷ πρόσθεν ἐμνημονεύσαμεν,
15 ἐν οἷς περὶ τῶν ἐπιφωνήσεων τῶν Ὁμηρικῶν ἐλέγομεν, ἐν ᾧ πάντως τὸν ἔρωτα τὸν περὶ τὴν πόλιν ἐνδείξεται ὁ λέγων ἀπὸ τοῦ παρεστῶτος χρόνου λαβὼν τὴν ἀρχήν, ὡς γεγηθώς, ὡς ἄσμενος προσέπλευσεν τοῖς λιμέσιν, ὡς εἶδε κάλλη πεδίων, ὡς προσέβαλεν ἀκροπόλει, ὡς
20 περιεπτύξατο τῶν πολιτῶν ἅπαντας καὶ ἕκαστον λέγων, ὡς πάντας ἐνόμισεν ἀδελφοὺς εἶναι αὐτοῦ τοὺς ἡλικιώτας καὶ πατραδέλφους τοὺς ἄλλους, καὶ γένος ἓν πᾶσαν τὴν πόλιν, καὶ ὅτι οὐκ ἐπελέλησο τῆς πατρίδος ἀποδημῶν προσθήσεις· ἀλλ' ἄγε διηγοῦ τὰ ἐξαίρετα
25 καὶ πάτρια, οἷα ταῖς ἄλλαις οὐ πρόσεστι πόλεσιν. εἶτα ἥξεις εἰς ἐγκώμιον ἄρχοντος, ἐὰν ὁ ἄρχων παρῇ, ἐπὶ τὸ τοῦ πατρὸς ἢ ἐπὶ τὸ τῆς πολιτείας, ὅτι τίς οὐκ ἂν ἐρασθείη τοιαύτης πολιτείας, ἐν ᾗ ὁμόνοια καὶ φιλία καὶ πάντες ἀρετῇ σύντροφοι, καὶ ὅσα τοιαῦτα. καὶ
257 ἁπλῶς πολυσχιδὴς ἡ τῆς λαλιᾶς χρεία. οἷδε γὰρ καὶ
31 πᾶσαν ὑπόθεσιν ἀνδρὶ πολιτικῷ περιεργάζεσθαι.

www.libtool.com.cn

Digitized by Google

ΠΕΡΙ ΠΡΟΠΕΜΠΤΙΚΗΣ.

Ἡ προπεμπτικὴ λαλιὰ λόγος ἐστὶ μετ' εὐφημίας τινὸς προπέμπων τὸν ἀπαίροντα. χαίρει δὲ ἀβρότητι καὶ διηγημάτων ἀρχαίων χάρισι. πολλοὶ δὲ τῆς προπεμπτικῆς τρόποι. εἷς μὲν ὁ δυναμένος συμβουλεύειν κατὰ μέρος δέξασθαι τῶν λοιπῶν μερῶν δεχομένων καὶ ἐγκώμια καὶ λόγους ἐρωτικούς, εἰ βούλεται προστιθέναι καὶ ταῦτα ὁ λέγων· δύναται δὲ συμβουλὴν ἐπιδέξασθαι, ὅταν ὁ πολλῷ κρείττων προπέμπῃ τὸν ἧττονα, ὡς ὅταν ὁ παιδευτὴς προπέμπῃ τὸν ἀκροατήν· δίδωσι γὰρ αὐτῷ συμβουλευτικὸν ἦθος τὸ οἰκεῖον ἀξίωμα. ἕτερος δὲ τρόπος ἂν γένοιτο, ἐν ᾧ δυνήσεταί τις ἐνδείξασθαι ἦθος ἐρωτικὸν καὶ διάπυρον περὶ τὸν προπεμπόμενον συμβουλὴν μὴ καταμιγνὺς τῆς ἀξίας ὑπαρχούσης ἐφαμίλλου καὶ τῆς δόξης ἴσης τῷ προπέμποντι καὶ τῷ προπεμπομένῳ, ὅταν ἑταῖρος ἑταῖρον προπέμπῃ· καὶ γὰρ εἰ βελτίων εἴη ὁ προπέμπων ἐνταῦθα τοῦ ἀπαίροντος, ἀλλ' οὖν ἡ κοινωνία τοῦ ὀνόματος καὶ τὸ ἀμφοτέρους εἶναι φίλους ἀφαιρεῖται τὸ ἀξίωμα τῆς συμβουλῆς τὸν λέγοντα. γένοιτο δ' ἂν καὶ ἄλλος τρόπος πλείονα διατριβὴν ἔχων περὶ τὰ ἐγκώμια μᾶλλον, σχεδὸν δὲ εἰπεῖν μικροῦ σύμπασαν, ὅταν ἐθέλῃ προϊστασθαι τῷ μὲν δοκεῖν προπεμπτικὸν λόγον, τῇ δ' ἀληθείᾳ ἐγκώμιον. ὥσπερ ἂν εἰ μέλλοιμεν προπέμπειν ἄρχοντα ἢ τῆς ἀρχῆς πεπαυμένον ἢ ἀφ' ἑτέρας εἰς ἑτέραν πόλιν μέλλοντα ἀπιέναι. λέγω δὲ ταῦτα οὐκ ἀποστερῶν οὐδένα τῶν προειρημένων τρόπων τῆς προπεμπτικῆς τῶν ἐρωτικῶν παθῶν· χαίρει γὰρ ἡ προπεμπτικὴ πανταχοῦ τούτοις, ἀλλ' ἐνδεικνύμενος ὅτι ὅπου μὲν μᾶλλόν ἐστιν αὐτῷ καταχρῆσθαι, ὅπου δὲ ἐπ' ἔλαττον. παραλήψῃ δὲ ἐπὶ τοῦ ἄρχοντος καὶ πόθον πόλεων ὁλοκλήρων περὶ αὐτὸν καὶ ἔρωτας.

www.libool.com.cn

Διαιρήσεις δὲ τὴν προπεμπτικὴν οὑτωσί πως. ὑποκείσθω δὲ ἡμῖν νέος συνήθης προπέμπων φίλον, οὐκοῦν ὁ τοιοῦτος ἐνταῦθα ὥσπερ τι πεπονθὼς τῶν ἀτόπων καὶ ἀπροσδοκήτων σχετλιάσει πρὸς τὴν τύχην ἢ πρὸς τοὺς ἐρῶντας, ὅτι μὴ συγχωροῦσι θεσμὸν φιλίας διαμένειν βέβαιον, ἀλλ' ἄλλοτε ἄλλους πόθους ἐμβάλλοντες παρασκευάζουσι τὸν πάλαι συνθέμενον καὶ ὁμολογήσαντα φιλίαν ἄλυτον διαφυλάξειν πάλιν ἐρᾶν πατρίδος, πάλιν γονέων ἐπιθυμεῖν, ὥσπερ ἐπιλανθανόμενον τῶν πρὸς τὸν φίλον αὐτῷ περὶ φιλίας συνθηκῶν· ἢ εἰσελεύσεται πρὸς τοὺς ἀκροατὰς ὥσπερ πρός
259 *τινας δικαστὰς γραφὴν ἀποφέρων κατὰ τοῦ φίλου, προσποιούμενος δῆθεν κατὰ τὴν πρὸς τὸν ἑταῖρον συνθήκην· καὶ ἐπάξεις πάλιν παρακαλῶν τοὺς ἀκροατὰς μὴ περιορᾶν παραβαίνοντα, ἐν οἷς καὶ ἱστορίας ἐρεῖς καὶ παραδείγματα. ἱστορίας μέν, ὅτι Θησεὺς καὶ Ἡρακλῆς ἑταῖροι γινόμενοι, καὶ Διομήδης καὶ Σθένελος, καὶ Εὐρύαλος δυσαπαλλάκτως ἀλλήλων εἶχον· ἐξ ἀλόγων δὲ παραδείγματα, ὅτι κἂν ταῖς ἀγέλαις καὶ ἵπποι καὶ μόσχοι συναφθέντες ἀλλήλοις συνηθείᾳ καὶ ὄρνιθες δυσχερῶς ἀλλήλων χωρίζονται. προϊὼν δὲ τῷ λόγῳ ὑπομνησθήσῃ, ἂν οὕτω τύχῃ, καὶ ἀσκήσεως κοινῆς καὶ παλαίστρας καὶ γυμνασίων τῶν αὐτῶν. μετὰ τὸν πρὸς τοὺς ἀκροατὰς λόγον, οὓς ὥσπερ δικαστὰς ὑπεθέμεθα, τρίτον ἐπὶ τούτοις εἰσάξεις πρὸς ἐποχὴν δῆθεν καὶ τὰ τῆς πόλεως ἐγκώμια. οὐδ' οὕτως ὁ τῶν Ἀθηναίων αἱρεῖ σε πόθος, οὐδὲ μυστηρίων καὶ τελετῶν, οὐδὲ μουσεῖα καὶ θέατρα λόγων, οὐδὲ παιδευτῶν φιλοτιμίαι περὶ τοὺς λόγους, Ἄρειος δὲ πάγος καὶ Λύκειον καὶ Ἀκαδημία καὶ ἀκροπόλεως κάλλος, ἃ διείργασται φιλοπόνως ἅμα καὶ χαριέντως; ἀνέραστος ἄρα ὡς ἔοικεν ἦσθα·*

www.lifool.com.cn

Digitized by Google

πῇ δὴ συνθεσίαι καὶ ὅρκια βήσεται ἡμῖν.
οἷος γὰρ ἦν ἆρα μεγαλοφρονῶν ἐπὶ φίλοις ἐγώ, οἷον δὲ 260
τεῖχος ἐδόκουν περιβεβλῆσθαι τὸν φίλον, νῦν δὲ γεγύμνωμαι καθάπερ Αἴας τῆς ἀσπίδος, οἰκήσω τόπους ἐρήμους καὶ ἐρημίας, ἀπάνθρωπος ἐπικληθήσομαι, 5
ὥσπερ τὸν Τίμωνά φασι· τί γὰρ δεῖ μοι συντίθεσθαι φιλίαν, ἵνα πάλιν καὶ παραβαίνοντος ἀνιαθῶ; μακαρίζω τῶν θηρίων ἐκεῖνα, ὅσα τὸν μονήρη βίον ἔοικεν ἀγαπᾶν. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα τὸ πρῶτον μέρος τῆς προπεμπτικῆς ἕξει, καὶ τοιοῦτον ἦθος ἐνδείξε- 10
ται καὶ συνήθη καὶ φίλον τὰ ἐρωτικὰ εἰπὼν ἐν τούτοις τῆς προπεμπτικῆς κατὰ διαίρεσιν. ἐπειδὰν δὲ ἐπὶ τὸ λειπόμενον μέρος ἔλθῃς τῆς λαλιᾶς, σχετλιάσεις πάλιν ὡς βουληθεὶς πεῖσαι, εἶτα ἀποτυχών, καὶ ἐπάξεις λέγων· οὐκοῦν ἐπειδὴ δέδοκται καὶ νενίκημαι, φέρε 15
δὴ καὶ τῇ βουλήσει συνδράμωμεν. ἐνταῦθα τοίνυν ἥξεις ἐπὶ τὰ ἐγκώμια ἐκ μεθόδου, ὡς εὐτυχεῖς μὲν οἱ γονεῖς τῆς βλάστης, εὐδαίμων δὲ καὶ ἡ πόλις ἐπὶ σοί· τοὺς μὲν γὰρ εὐφρανεῖς ταῖς ἀρεταῖς, τῆς δὲ προστήσῃ ἐν δικανικαῖς ἀγοραῖς, ἐν ῥητόρων ἀγῶσιν, ἐν πρε- 20
σβείαις καὶ λόγων φιλοτιμίαις. ἵνα δὲ σύστασιν λάβῃ ταῦτα, ἐρεῖς ὅτι σύνοιδας ἑαυτῷ δικαιοσύνην καὶ σωφροσύνην καὶ φρόνησιν καὶ ἀνδρείαν καὶ ἀρετὴν ἐκ λόγων, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ οἱ παιδευταὶ καὶ 261
ὅσοι συνήθεις γεγόνασιν. ἐν οἷς καὶ πράξεις ἐρεῖς πρὸς 25
ἀπόδειξιν τῶν ἀγαθῶν [καὶ] πράξεων ἂν εὐπορῇς· καὶ ὅτι βασιλεῦσι χρήσιμος ἔσται γνωσθεὶς διὰ τὴν ἀρετήν, καὶ ὅτι καὶ παιδευτηρίων προστήσεται ἴσως, οὐ μέντοι ὡς Ἰσοκράτης ἢ Ἰσαῖος ἢ Λυσίας ἤ τις τοιοῦτος ὅμοιος ἔσται· ἐρεῖς δὲ ταῦτα, ἐὰν πάνυ πεπαιδευμένον ὄντα λόγων 30
προπέμπῃς τινά· τούτῳ γὰρ ἁρμόσει τὸ τοιοῦτον ἐγκώμιον, ὅτι προστήσεται τυχὸν καὶ λόγων καὶ παιδεύσει

www.libtool.com.cn
Digitized by Google

νέους· ἐὰν γὰρ τῶν μὴ προσόντων αὐτῷ μνησθῇς, ἅπαντες ἴσασιν, ὅτι τούτων σύνεστιν οὐδὲν αὐτῷ, προσέτι καὶ ἀπίθανος εἶναι δόξεις, καὶ περὶ τῶν ἄλλων λόγων ὕποπτον καταστήσεις σεαυτὸν ἐκ τούτου καὶ προσάντη τὸν ἀκροατὴν τῷ λόγῳ. δεῖ γὰρ τοῖς ὡμολογημένοις πανταχοῦ συντρέχειν. ἐρεῖς δὲ καὶ ἐπὶ τῶν τοιούτων ὅτι καὶ ὅτε ἅμιλλαι λόγων ἐπὶ τῶν μουσείων
262 ἦσαν, ἐπηνεῖτο παρὰ τῶν καθηγεμόνων τῶν ἡλικιωτῶν μᾶλλον. καὶ ὥσπερ Ἔφορος ἐστεφανοῦτο καὶ Θεόπομπος, οἱ μαθηταὶ Ἰσοκράτους, ὡς διαφέροντες τῶν ἄλλων (καὶ γὰρ Ἰσοκράτης ἀρετῆς προὐτίθει ἀγῶνα τοῖς ἀρίστοις τῶν ἀκροατῶν κατὰ μῆνα στέφανον·) οὕτω καὶ οὗτος διαφέρων ἐφαίνετο καὶ ἐπαίνων ἠξιοῦτο οὐκ ἐλαττουμένων στεφάνων. ἐπειδὴ δὲ εἰς εὐδαιμονίαν συντελεῖ καὶ σώματος κάλλος, γράψον καὶ τὸν νεανίαν, οἷος μὲν ἰδεῖν, οἷος δ' ὀφθῆναι. ἐν ᾧ διαγράψεις αὐτοῦ καὶ ἶουλον καὶ ὀφθαλμοὺς καὶ κόμην καὶ τὰ λοιπά. ἵνα δὲ τὸν λόγον σεμνὸν ποιῇς τὸν περὶ τῆς γραφῆς καὶ τὴν διαβολὴν ἐκφύγῃς τὴν ἐκ τοῦ κάλλους, ἀπέργασαι τὸ ἦθος σεμνότερον, λέγων ὅτι κοσμεῖ δὲ τὸ εἶδος τῇ τῶν ἠθῶν ἐγκρατείᾳ, καὶ τῷ μὴ πολλοῖς ῥᾳδίως ἑαυτὸν ἐκδιδόναι, ἀλλὰ μόνον συνεῖναι τῶν ἀνδρῶν τοῖς ἀρίστοις καὶ λόγοις καὶ βιβλίοις. καιρὸν ἔχεις μετὰ ταῦτα καὶ τὴν πατρίδα ἐπαινέσαι τὴν ἐκείνου, ὅτι λαμπρὰ καὶ ἔνδοξος καὶ οὐ μείων τῶν πολυθρυλήτων, ἐν ᾗ λαμπρὸς ὀφθήσεται ἐν λαμπρᾷ καὶ εὐδαίμονι. εἶτα ἐπὶ τούτοις ἅπασιν ἀξιώσεις αὐτὸν μεμνῆσθαι τῆς πάλαι συνηθείας, τῆς εὐνοίας, τῆς φιλίας, καὶ παραμυθεῖσθαι
263 τὴν ἀπόστασιν μνήμαις καὶ λόγοις, κἂν μὲν πεζεύειν μέλλῃ, διάγραφε τὴν ὁδὸν καὶ τὴν γῆν δι' ἧς πορεύεται, οἷος μὲν ἔσται, ἐὰν οὕτω τύχῃ διὰ τῆς Θρᾴκης διιών, ἐπαινούμενος καὶ προπεμπόμενος ἐπὶ τοῖς λόγοις, θαυ-

Digitized by Google

μαζόμενος δὲ διὰ Λυδίας καὶ Φρυγίας· ἐὰν δὲ διὰ Θαλάττης ἀνάγηται, ἐκεῖ σοι μνήμη Θαλαττίων ἔσται δαιμόνων, Αἰγυπτίου Πρωτέως, Ἀνθηδονίου Γλαύκου, Νηρέως, προπεμπόντων τε καὶ συνθεόντων τῇ νηΐ, καὶ συνηδομένων δελφίνων τε ἅμα καὶ κητῶν, τῶν μὲν σαινόντων, τῶν δὲ ὑποφευγόντων, ὡς Ποσειδῶνος αὐτοῦ τὴν ναῦν προπέμποντος· ἡ δὲ ναῦς θείτω θεοῖς ἐναλίγκιον ἄνδρα φέρουσα, ἕως ἂν προσαγάγῃς αὐτὸν τοῖς λιμέσι τῷ λόγῳ, καταστρέψεις δὲ εἰς εὐχὴν τὸν λόγον αἰτῶν αὐτῷ παρὰ τῶν θεῶν τὰ κάλλιστα.

www.libtool.com.cn

ΠΕΡΙ ΕΠΙΘΑΛΑΜΙΟΥ.

Ὁ ἐπιθαλάμιος λέγεται ὑπό τινων καὶ γαμήλιος, λόγος δ' ἐστὶν ὑμνῶν θαλάμους τε καὶ παστάδας καὶ νυμφίους καὶ γένος, καὶ πρό γε πάντων αὐτὸν τὸν 264
θεὸν τῶν γάμων· χαίρει δὲ διηγήμασιν ἐπαφροδίτοις τε καὶ ἐρωτικοῖς· ταῦτα γὰρ οἰκεῖα τῇ ὑποθέσει. μετεχειρίσαντο δὲ τὸ εἶδος οἱ μὲν συντόνως, οἱ δὲ συγγραφικώτερον, καὶ δῆλον ὅτι ὁ μὲν σύντονος συνέστραπται λόγος ἅτε πολιτικῶς προϊών, καὶ ἕξεις τὰς ἀρετὰς τοῦ πολιτικοῦ λόγου προοίμιά τε ἐγκατεσκευασμένα, ἢ μέγεθος περιθήσεις τῇ ὑποθέσει αὔξων αὐτὴν ἀπὸ τῶν προσώπων τῶν ξευγνυμένων, ἂν ὦσιν οἱ νυμφίοι τῶν ἐνδόξων, ἢ τὴν αἰτίαν ἐν αὐτοῖς ἐρεῖς, δι' ἣν παρελήλυθας ἐπὶ τὸ λέγειν, ὅτι συγγενὴς τῶν γαμούντων, ὅτι παρακληθεὶς ἦλθον ἐπὶ τὸν λόγον, ὅτι ἔρανον ἀποδιδοὺς αὐτῷ προειληφὼς πρότερον χάριτας ἢ καὶ ἄλλως, ὅτι φιλίᾳ χαριζόμενος, ἢ ὅ τι περ ἂν παραπέσῃ τοιοῦτον, ἢ ὅτι ἀρχόντων καὶ πόλεων καὶ ἐθνῶν συνελθόντων καὶ συνεορτάξειν αἱρουμένων ἄτοπον ἦν αὐτὸν σιγᾶν καὶ μὴ χαρίζεσθαι τοσαύτῃ συνόδῳ καὶ συνεορτάζειν ἐθέλειν τοῖς παροῦσιν ἅπασιν.

Digitized by Google

μὴ ἀμοιρείτω μέντοι τὰ προοίμια χάριτος, κἂν σύντονα
τυγχάνῃ, ἀλλ' ἐχέτω μὲν ἐννοίας ἡδίστας ὡς ἔνι μάλιστα
πρεπούσας τῇ ὑποθέσει· εἰ δὲ μή, ὀνόματα γοῦν ἐπα-
φρόδιτα καὶ κεχαρισμένα παστάδων, ὑμεναίων, γάμων,
Ἀφροδίτης, ἐρώτων, ἵνα καὶ οἰκεῖα γένηται τῇ ὑποθέ-
σει καὶ τοῖς ἀκούουσιν ἥδιστα.

Καὶ τὰ μὲν προοίμια τοῦ συντόνου ταῦτα καὶ τού-
τοις παραπλήσια, τοῦ δὲ ἀνέτου καὶ συγγραφικοῦ λόγου
ἧττον μὲν ἐγκατάσκευα, οὐκ ἐμπερίβολα δέ, ἀλλ' ὡς
ἐν συγγραφῇ ἁπλωμένα μᾶλλον ἐννοίας ἔχοντα τὰς αὐ-
τάς. ἔστι δέ ποτε ἐν ἀνέτῳ λόγῳ καὶ ἀπὸ διηγήματος
ἄρξασθαι ἀνύοντά τι διὰ τοῦ διηγήματος τῶν προειρη-
μένων ἐννοιῶν, οἷον εἰ λέγοις, νέος ὢν ὅτι γαμοῦντος
Διονύσου τὴν Ἀριάδνην παρῆν ὁ Ἀπόλλων καὶ τὴν
λύραν ἔπληττεν· ἢ ὅτι Πηλέως γαμοῦντος παρῆσαν
μὲν ἅπαντες οἱ θεοί, προσῆσαν δὲ Μοῦσαι, καὶ οὐκ
ἠμέλει τῶν παρόντων ἕκαστος πρέπουσαν αὐτῷ δωρεὰν
χαρίζεσθαι τῷ γάμῳ, ἀλλ' ὁ μὲν ἐδίδου δῶρα, ὁ δὲ
ἔπληττε λύραν, αἱ δὲ ηὗλουν, αἱ δὲ ᾖδον, Ἑρμῆς δὲ
ἐκήρυττε τὸν ὑμέναιον· ὁρῶ δὲ καὶ νῦν παρ' ἡμῖν
ὅμοια. καὶ γὰρ οἱ μὲν σκιρτῶσιν, οἱ δὲ ἀνευάζουσιν,
ἐγὼ δὲ λέγω καὶ ᾄδω τοὺς γάμους. ἢ ἄλλως ὅτε ὁ Με-
γακλῆς ἐγάμει τὴν Ἀγαρίστην καὶ συνῆλθον τῶν Ἑλ-
λήνων οἱ ἄριστοι, τότε οὐδεὶς μὲν ποιητής, οὐδεὶς δὲ
λογοποιὸς ὑστέρει, ἀλλ' ὁ μὲν ῥήτωρ ἔλεγεν, ὁ δὲ συγ-
γραφεὺς βίβλους ἐν μέσοις ἀνεγίνωσκε, ἅπαντες δὲ
ἀνύμνουν τὸν γάμον· τῆσδε τῆς Σικυωνίας οὐ χείρων
ἡ παρ' ἡμῖν, ὥστε καὶ ταὐτὰ δεύτερα γίνεσθαι.

Καὶ περὶ μὲν προοιμίων τοσαῦτα· δώσει γὰρ ἡμῖν
ἡ ὑπόθεσις πρὸς τὰ τότε παρόντα πρόσφορα ἀληθεστέ-
ρας ἐννοίας καὶ μᾶλλον ἴσως οἰκείας· τὰ δὲ μετὰ τὰ
προοίμια ἔστω περὶ τοῦ θεοῦ τοῦ γάμου λόγος ὑπερ-

www.libtool.com.cn
Digitized by Google

θετικὸς καθόλου τὴν ἐξέτασιν περιέχων ὅτι καλὸν ὁ γάμος, ἄρξῃ δὲ ἄνωθεν, ὅτι μετὰ τὴν λύσιν τοῦ χάους εὐθὺς ὑπὸ τῆς φύσεως ἐδημιουργήθη ὁ γάμος, εἰ δὲ βούλει, ὡς Ἐμπεδοκλῆς φησι, καὶ ἔρως. γενόμενος δὲ ὁ θεὸς οὗτος συνάπτει μὲν οὐρανὸν τῇ γῇ, συνάπτει δὲ Κρόνον τῇ Ῥέᾳ, συνεργοῦντος αὐτῷ πρὸς ταῦτα τοῦ ἔρωτος· εἶτα ἐφεξῆς ἐρεῖς, ὅτι ἡ τῶν ὅλων διακόσμησις διὰ τὸν γάμον γέγονεν, ἀέρος, ἀστέρων, θαλάσσης· τοῦ γὰρ θεοῦ τούτου τὴν στάσιν παύσαντος καὶ συνάψαντος ὁμονοίᾳ καὶ τελετῇ γαμηλίῳ τὸν οὐρανὸν πρὸς τὴν γῆν ἅπαντα διεκρίθη καὶ στάσιν οἰκείαν ἔλαβεν. ὑποβαίνων δὲ πάλιν ἐρεῖς ἐξ ἀκολουθίας, ὅτι καὶ αὐτὸς τῇ βασιλείᾳ τῶν ὅλων τὸν Δία δημιουργήσας ἐπέστησε, καὶ οὐκ ἄχρι τῶν θεῶν ἔστη μόνον, ἀλλὰ καὶ τοὺς ἡμιθέους αὐτὸς παρήγαγεν πείσας θεοὺς συνελθεῖν τοὺς μὲν γυναιξί, τοὺς δὲ νύμφαις. μετὰ ταῦτα πάλιν ἐρεῖς ὅτι αὐτὸς τὸν ἄνθρωπον ὁμοίως φησὶ παρεσκεύασε καὶ σχεδὸν ἀθάνατον ἐφιλοτέχνησε, συμπαραπέμπων ἀεὶ τὰς διαδοχὰς τοῦ γένους τῷ μήκει τοῦ χρόνου, καὶ ὅτι βελτίων Προμηθέως ἡμῖν· ὁ μὲν γὰρ 267
τὸ πῦρ μόνον κλέψας ἔδωκεν, ὁ δὲ γάμος ἀθανασίαν 21
ἡμῖν χαρίζεται. ἐμπλεονάσεις δὲ τούτῳ τῷ μέρει δεικνύς, ὅτι δι' αὐτὸν θάλαττα πλεῖται, δι' αὐτὸν γεωργεῖται γῆ, ὅτι φιλοσοφία καὶ γνῶσις τῶν οὐρανίων δι' ἐκεῖνόν ἐστι, καὶ νόμοι καὶ πολιτεῖαι, καὶ πάντα ἁπλῶς τὰ ἀνθρώπινα· εἶτα οὐδὲ μέχρι τούτων στήσῃ, ἀλλ' ὅτι καὶ μέχρι πηγῶν καὶ ποταμῶν διικνεῖται ὁ θεὸς καὶ νηκτῶν καὶ χερσαίων καὶ ἀερίων. ἐν δὲ τούτοις ἅπασι διηγήματα θήσεις, ποταμῶν μέν, ὅτι Ἀλφειὸς ὁ Πισαῖος ἐρᾷ πηγῆς Σικελικῆς Ἀρεθούσης, καὶ βιάζεται τὴν φύσιν, καὶ καθάπερ νυμφίος ἐρωτικὸς κελαρύζων διὰ τῆς θαλάττης ἐπῄει ζέων εἰς τὴν νῆσον τῆς Σικελίας,

www.libtool.com.cn
Digitized by Google

καὶ εἰς κόλπους ἐμπίπτει τῆς ἐρωμένης Ἀρεθούσης καὶ μίγνυται. περὶ δὲ τῶν νηκτῶν δῆλον γὰρ ὅτι καὶ αὐτὰ
268 τὰ ζῶα τὰ κατὰ τὴν θάλατταν τελετὴν οἶδε γάμου, καὶ τὰ χερσαῖα καὶ τὰ πετεινὰ πάντα, καὶ τὸν ἀνήμερον
5 λέοντα καὶ φοβερὰ βρυχώμενον ἤγαγεν εἰς τὴν τελετὴν καὶ ὑπέζευξεν Ἀφροδίτης νόμῳ, καὶ τὰς ἀγριωτάτας παρδάλεις καὶ ὅσα τοιαῦτα. περὶ δὲ δένδρων ἐρεῖς, ὅτι κἀκεῖνα οὐκ ἄμοιρα γάμων· οἱ γὰρ ἐπὶ ταῖς κόμαις σύνδεσμοι φιλοτεχνήματα γαμούντων δένδρων εἰσί, καὶ
10 τοῦ θεοῦ ταῦτά ἐστιν εὑρήματα· ἔτι δὲ τούτου ἀνωτέρω ἐν τῇ μνήμῃ τῶν θεῶν ἐρεῖς διηγήματα ἢ καὶ δεύτερον, ἢ περὶ Ποσειδῶνος γαμοῦντος τὴν Τυρὼ ἐν ταῖς προχοαῖς Ἐνιπέως, [ποταμὸς δὲ Θετταλίας ὁ Ἐνιπεύς,] ἢ περὶ Διὸς γήμαντος τὴν Εὐρώπην καὶ τὴν Ἰὼ
15 καὶ ὅσα παραπλήσια τούτοις. πολλὴ δὲ ἱστορία τοιαύτη παρὰ ποιηταῖς καὶ συγγραφεῦσι, παρ' ὧν καὶ λήψῃ τὴν χορηγίαν, ἐπιφωνήσεις δὲ καὶ τῶν Σαπφοῦς ἐρωτικῶν καὶ τῶν Ὁμήρου καὶ Ἡσιόδου· πολλὰ δὲ αὐτῷ ἐν τοῖς Καταλόγοις τῶν γυναικῶν εἴρηται περὶ θεῶν
20 συνουσίας καὶ γάμου.

Μετὰ τὸν περὶ τοῦ γάμου λόγον, ἐν ᾧ τὸν θεὸν ὕμνησας, ἥξεις ἐπὶ τὰ τῶν γαμούντων ἐγκώμια. κοινὰ δὲ τὰ προειρημένα πάντα καὶ ῥηθησόμενα τοῦ τε συν-
269 τόνου καὶ τοῦ ἀνέτου λόγου, διοίσουσι δὲ τῷ χαρακτῆρι
25 μόνῳ τῆς ἀπαγγελίας τὰ τοιαῦτα ἐγκώμια. διττὴν δ' ἔχει τὴν μέθοδον· καὶ γὰρ γένος γένει συνάψεις κρίνων, ἵνα μὴ δοκῇς τὸν μὲν ἐλαττοῦν, τὸν δὲ αὔξειν, ἀλλὰ κατὰ ἀντεξέτασιν προάγων τὸν λόγον, ὅτι ὅμοιον ὁμοίῳ συνάπτεται· παρακολουθεῖ δὲ τῷ εἴδει τούτῳ
30 ἀσάφειά τις καὶ αὐχμηρότης διὰ τὴν μῖξιν, ἣν ὡς δυνατὸν φυλαττομένους χρὴ προλέγειν σαφηνείας φροντίζοντας. ἢ οὐ συνάψεις μὲν οὐδ' ἀντεξετάσεις, ἰδίᾳ δὲ

www.libtool.com.cn

Digitized by Google

ἐπαινέσεις πρότερον μὲν τὸ τοῦ νυμφίου, ἂν οὕτω τύχῃ, δεύτερον δὲ τὸ τῆς κόρης. δεῖ δὲ ζητεῖν τὸ ἐνδοξότερον ἐν τούτοις τοῖς καιροῖς καὶ τοῦτο πράττειν, οὐκ ἐνδιατρίψεις δὲ σφόδρα τῷ περὶ τοῦ γένους λόγῳ τὴν τοῦ μήκους ἀηδίαν προφυλαττόμενος, καὶ τῷ μήτε ἐπάγγελμα ταύτην ἔχειν τὴν ὑπόθεσιν, ἀλλὰ τοὺς γάμους μᾶλλον καὶ τὴν παστάδα. πρέπει δέ τί σοι ὀλίγα τεχνολογῆσαι περὶ τοῦ γένους. ἐὰν μὲν οὖν ἔνδοξα σφόδρα τυγχάνῃ τὰ γένη, αὔξειν δεῖ ταῦτα συλλαμβάνοντα ἀθρόως τὸν περὶ αὐτῶν λόγον δι' ὀλίγων, εἶτα ἀπὸ τῶν ἰδίων πάλιν αὔξειν ἀεὶ πράξεις αὐτῶν λέγοντα καὶ φιλοτιμίας. ἐὰν δὲ τῶν μετρίων καὶ μὴ περιβλέπτων τυγχάνῃ, δεῖ ζητεῖν τοὺς ἐγγὺς πατέρας, εἰ λαμπροὶ εἶεν κατὰ τὴν πόλιν ἢ εὐδόκιμοι, καὶ ἀπὸ τούτων πάλιν ἐπιχειρεῖν. εἰ δὲ οἱ ἐγγὺς μὲν πατέρες ἀφανεῖς, τὸ δὲ γένος ἐπισημότερον, μᾶλλον ἀπὸ τοῦ γένους πειρᾶσθαι χρὴ τὰ ἐγκώμια παραλαμβάνειν· θηρευέτω γὰρ ὁ λόγος τὰ ἐνδοξότερα. ἐὰν δὲ τὸ μὲν ἓν ἔνδοξον τῶν γενῶν τυγχάνῃ, τὸ δὲ οὔ, δεῖ ζητεῖν τοὺς ἐγγὺς πατέρας τῶν ἐνδόξων καὶ τὰς ἀρετάς, σωφροσύνην, ἐπιείκειαν τοῦ ἑτέρου γένους· οὐ γὰρ ἀπορήσεις ἀφορμῶν. εἰ δὲ μηδέτερον τῶν γενῶν ἔχοι μηδεμίαν λαμπρότητα, χρὴ τὸ ἦθος καὶ τὸν τρόπον καὶ τὴν ἐπιείκειαν ἐπαινέσαντα διὰ βραχέων, καὶ παρακλέψαντα τὸν περὶ αὐτῶν λόγον ἀναδραμεῖν ἐπὶ τοὺς νυμφίους.

Τρίτος τόπος ἐστὶν ὁ ἀπὸ τῶν νυμφίων, χαριέστατος δ' ἂν οὗτος γένοιτο, εἰ κατὰ συμπλοκὴν ἀντεξεταστικῶς προέλθοι, ὅτι θαυμάσιος μὲν ὁ νεανίας, θαυμασία δὲ ἡ κόρη, ἐν παιδείᾳ σοφὸς οὗτος ἐν λύρᾳ, καὶ ἐν μούσαις οὗτος ἀρίζηλος, ἐκείνη δὲ ἐν σεμνότητι· εἰ δ' οὐκ ἔχοις τοῦτο, λέγε, ὅτι οὗτος μὲν ἐν λόγοις, ἐκείνη δὲ ἐν ἱστουργίαις καὶ Ἀθηνᾶς καὶ Χαρίτων ἔρ-

www.libtool.com.cn
Digitized by Google

γοις. καὶ ἄνευ μὲν ἀντεξετάσεως, κατὰ συμπλοκὴν δὲ ἄλλως· ἀμφοτέρων δὲ τίς οὐκ ἂν τὰς ἀρετὰς ἐπαινέσειε, καὶ τὴν προσοῦσαν σωφροσύνην, καὶ τὴν ἐνυπάρχουσαν ἐπιείκειαν; δυνατὸν δὲ καὶ ἰδίᾳ καὶ χωρὶς ἑκάστου διελόμενον τὸν ἔπαινον ἐπαινεῖν· κάλλος δὲ παρ' ἀμφοῖν κατὰ ἀντεξέτασιν, πάντως οὐχ ἡ μὲν φυτῶν καλλίστῳ ἐλαίᾳ, ὁ δὲ φοίνικι παραπλήσιος; καὶ ὅτι ὁ μὲν ῥόδῳ προσέοικεν, ἡ δὲ μήλῳ. διαγράψεις δὲ καὶ τὸν νεανίαν οἷος ἰδεῖν, οἷος ὀφθῆναι, ὡς χαρίεις καὶ εὐπρόσωπος, ὡς ἰούλοις κατάκομος, ὡς ἄρτι ἡβάσκων, τῆς παρθένου γὰρ φυλάξῃ διὰ τὰς ἀντιπιπτούσας διαβολὰς κάλλος ἐκφράζειν, πλὴν εἰ μὴ συγγενὴς εἴης, καὶ ὡς εἰδὼς ἀναγκαίως λύοις τὸ ἀντιπῖπτον τῷ λέγειν τὸ ἀκηκόαμεν ταῦτα.

Τέταρτος τόπος ἐστὶν ἀπὸ τοῦ περὶ τὸν θάλαμον καὶ παστάδας θεοὺς γαμηλίους ἐρεῖν, ὡς ὅταν λέγωμεν, συνελήλυθε μὲν οὖν ἡ πόλις, συνεορτάζει δὲ ἅπας, πεπήγασι δὲ παστάδες οἷαι οὐχ ἑτέρῳ ποτέ, θάλαμος δὲ πεποίκιλται ἄνθεσι καὶ γραφαῖς παντοίαις, πολλὴν δὲ τὴν Ἀφροδίτην ἔχει· πείθομαι δὲ καὶ ἔρωτας παρεῖναι τόξα ἐντεινομένους, βέλη δὲ ἐφαρμόττοντας, φαρμάκοις πόθων τὰς ἀκίδας χρίσαντας, δι' ὧν τὰς ψυχὰς συγκυρώσουσιν ἀναπνεῖν ἀλλήλαις, ὑμέναιος δὲ ἀνάψει λαμπάδας ἡμῖν καὶ δᾷδας καὶ γαμήλιον πῦρ· χαίτων τε μνημονεύσεις καὶ Ἀφροδίτης, καὶ μετὰ μικρὸν λοχείας Ἀρτέμιδος, ὅτι ὀλίγῳ ὕστερον διαδέξεται λοχεία Ἄρτεμις, καὶ μαντεύσεται, καὶ τέξετε παῖδας ὑμῖν τε ὁμοίους καὶ ἐν ἀρετῇ λαμπρούς. εἶτα εἰς εὐχὰς καταστρέψεις τὸν λόγον· ἐξέσται δέ σοί ποτε καὶ φιλοτιμουμένῳ τὸν γάμον τὸν θεὸν ἐκφράσαι, οἷός ἐστι, καταρχὰς τοῦ λόγου ἐν τῇ θέσει, ὅτι νέος ἐστὶν ἀειθαλὴς ὁ γάμος, λαμπάδα φέρων ἐν ταῖν χεροῖν, ῥοδινὸς ἐν ἐρυ-

Digitized by Google

θήματι τὸ πρόσωπον καταλαμπόμενον, ἵμερον ἀποστάζων ἐκ τῶν ὀμμάτων καὶ τῶν ὀφρύων. ἐξέστω δέ σοι καὶ ἀντὶ τοῦ γάμου ἔρωτα ἐκφράσαι ἢ ἐν ἀρχῇ τοῦ λόγου ἢ πρὸς τῷ τέλει· ἂν μὲν γὰρ τὸν γάμον ὑποστήσῃ κατ' ἀρχάς, τὸν θάλαμον ἐκφράσεις ὀηλονότι· ἐὰν δὲ τὸν ἔρωτα, τοῦτον τὸν θεὸν ἐκφράσεις, ἐκφράσεις δὲ ἀκολούθως ποτὲ χοροὺς παρθένων καὶ καιρούς, καὶ χοροὺς ἠϊθέων καὶ κυβιστῶντας, οἷα παρ' Ὁμήρῳ ἐν τῇ ἀσπίδι· πρέποι δ' ἂν ταῦτα λέγειν πρὸς τῷ τέλει τοῦ λόγου, ὅταν ὁ λόγος εἰς τὸν θάλαμον καταντήσῃ· τοιούτων γὰρ 213
ἐνταῦθα ὁ καιρός, ἐν δὲ τῷ θετικῷ λόγῳ καταρχὰς 11
καιρὸν ἔχει μᾶλλον ἐκφράζειν τὸν θεὸν τῶν γάμων ἢ τὸν ἔρωτα, ὁπότερον ἂν τούτων ὑποστήσῃ.

www.libtool.com.cn

ΠΕΡΙ ΚΑΤΕΤΝΑΣΤΙΚΟΥ.

Ὁ κατευναστικὸς λόγος ἐστὶ συντονώτατος διὰ τῶν 7
καιρίων βαδίζων, καίρια δέ ἐστι τὰ πρόσφορα, πρός- 16
φορα δέ ἐστιν ὅσα τῷ θαλάμῳ ἁρμόζει καὶ τῇ τοῦ νυμφίου συζυγίᾳ καὶ ταῖς παστάσι καὶ ἔρωσί τε καὶ ὑμεναίοις καὶ τελετῇ γάμου. οἱ μὲν οὖν ποιηταὶ διὰ τοῦ παρορμᾶν ἐπὶ τὸν θάλαμον καὶ προτρέπειν προάγουσι 20
τὰ κατευναστικὰ ποιήματα, καὶ ἡμεῖς δὲ οὐ πόρρω τούτων στησόμεθα, ἀλλὰ παροξυνοῦμεν καὶ προτρεψόμεθα· ἔστι γὰρ ὁ κατευναστικὸς προτροπὴ πρὸς τὴν συμπλοκήν. ἐν τούτοις τοίνυν τὸν Ἡρακλέα παραλαμβάνωμεν καὶ ἕτερον εἴ τις ἀνδρεῖος περὶ γάμους γέγο- 25
νεν, οὐ τῇ πάσῃ ἐπεξιόντες τοῦ Ἡρακλέους ἀλκῇ, ἀλλὰ τοῖς περὶ γάμων αὐτῷ καὶ γυναικῶν καὶ νυμφῶν πεπραγμένοις, ἵνα καὶ χάριτας ὁ λόγος ἔχειν δοκῇ. ἐροῦμεν δὲ ἐγκώμιον τῆς νύμφης διὰ βραχέων, οὐ τὸ ἀπὸ τῆς σωφροσύνης οὐδὲ ἀπὸ φρονήσεως οὐδὲ τῶν λοιπῶν ἀρε- 30
τῶν τῆς ψυχῆς, ἀλλὰ τὸ ἀπὸ τῆς ὥρας καὶ τοῦ κάλλους·

Digitized by Google

τοῦτο γὰρ οἰκεῖον καὶ πρόσφορον μόνον, τοῦ νεανίσκου
τὴν ἀλκὴν καὶ τὴν ῥώμην παραινοῦντες μὴ καταισχῦναι
274 ταῦτα τοσούτων μαρτύρων γενησομένων τῇ ὑστεραίᾳ
τῆς τελετῆς. φυλακτέον δ' ἐν τούτῳ, μή τι τῶν αἰσχρῶν
5 μηδὲ τῶν εὐτελῶν ἢ φαύλων λέγειν δόξωμεν, καθιέν-
τες εἰς τὸ αἰσχρὰ λέγειν καὶ μακρά, παρ' ὅσα ἔνδοξά
ἐστι δικαίως, ἃ σεμνότητα φέρει καὶ ἔστιν εὐχαρῆ.
ἄρξῃ δ' οὕτω πως· τὴν μὲν παρασκευὴν τοῦ γάμου καὶ
τῶν ἀναλωμάτων τὸ πλῆθος, καὶ τῶν ἀρίστων ἀνδρῶν
10 τὴν σύνοδον οὐδενὸς ἕνεκα, ὦ νεανία, πεποιήμεθα,
ἀλλ' ἢ τῆς ἀλκῆς ἧς ἔχεις καὶ ῥώμης ἐπίδειξιν βουλό-
μενοί σε ποιήσασθαι, ἵνα ἐπί σοι σεμνυνώμεθα αὐτοί
τε οἱ τοῦ γένους καὶ ἡμεῖς ἡλικιῶται· σὺ δὲ μὴ ἐν φαύ-
λῳ τὰ τῆς ἐπιδείξεως ποιήσῃ· καὶ εἰ μὲν ἀθληταὶ ἦμεν,
15 καὶ ἀγωνίζεσθαι Ὀλυμπίασιν ἔδει ἢ Πυθοῖ πρὸς ἄνδρας
ἀθλητάς, ἐχρῆν καὶ βραβεῖον προκεῖσθαι, κήρυκα παρεῖ-
ναι καὶ κριτήν τινα τῆς δίκης, καὶ στάδιον ὑπάρχειν
δημόσιον· ἐπεὶ δὲ τελετὴ γάμου τὰ ὁρώμενα, βραβευ-
τὴς δὲ ἔρως, κῆρυξ δὲ ὑμέναιος, καὶ στάδιον ὑμῖν ὁ
20 θάλαμος, φέρε μὴ τὰ τῶν φευγόντων ἐν τοῖς πολέμοις
πάθῃς δεδοικὼς καὶ πρὸ τῆς συμβολῆς τὴν τροπήν,
ἀλλὰ νομίσας ἔνθεν μὲν παρεστάναι σοι πόθον, ἔνθεν
δὲ γάμον, ἔρωτα δὲ συμβραβεύειν, ὑμέναιον δ' ἐπιφω-
νεῖν, ἴθι, ὁ τῶν πατέρων ἀξίως ἀγωνιούμενος. καιρὸς
25 δὲ τελετῆς ὃς καὶ φίλος ἐστὶ τῷ θεῷ τῶν γάμων· ἕσπερος
μὲν γάρ ἐστιν ὕπαιθρος καὶ λαμπρός, ἅμαξα δὲ διαφα-
νὴς ἤδη, καὶ ὁ τῆς Ἀφροδίτης ἀστὴρ καταυγάζει τὸ
φαινόμενον, οὐρανὸς δὲ πεποίκιλται τοῖς χοροῖς τῶν
ἄστρων. καί τινα τοιαῦτα διεξελθὼν ἁβρῶς περὶ τοῦ
30 καιροῦ πάλιν ἐπιχειρήσεις ἀπὸ τῶν ἑστιωμένων, ἀπὸ
τῶν παρόντων, ὅτι οἱ μὲν ἐπικροτοῦσιν, οἱ δέ σε νῦν
ἐπὶ στόματος καὶ γλώσσης ἔχουσι καὶ τὴν κόρην, ὁπό-

www.libtool.com.cn
Digitized by Google

τερος ἄρ' ἰσχυρότερος πρὸς τὴν τελετὴν φανήσεται· διηγεῖται δὲ ἴσως ἕκαστος αὐτῶν πρὸς τὸν πλησίον οἰκεῖα νεανιεύματα· εἰσὶ δὲ οἱ καὶ εὐχόμενοι σφίσιν αὐτοῖς γενέσθαι παραπλησίαν πανήγυριν. προτρέψῃ δ' αὐτὸν καὶ ἀπὸ τοῦ κάλλους τοῦ θαλάμου, ὃν αἱ Χάριτες κατεποίκιλαν, καὶ ἀπὸ τῆς ὥρας τῆς κόρης καὶ ὁποῖοι περὶ ἐκείνην θεοὶ γαμήλιοι Ἀφροδίτη καὶ Ἵμερος προδώσουσί σοι ταύτην καὶ ἐγχειρίσουσιν, ἵνα δημιουργήσητε παῖδας ὁμοίους μὲν σοί, ὁμοίους δὲ ἐκείνῃ· ἐὰν δέ σε καὶ ἀπατᾶν ἐπιχειρήσῃ αἰμύλα κωτίλλουσα, φύλαξαι τὴν ἀπάτην· περίκειται γὰρ καὶ Ἀφροδίτης κεστόν, ἐν ᾧ διὰ λόγων ἐστὶν ἀπάτη. προτρέψῃ δ' αὐτὸν καὶ ἀπὸ τῆς ὥρας τῆς κόρης καὶ τῆς ἰδέας καὶ τοῦ κάλλους, καὶ ἐπάξεις ὅτι ὀνειράτων ὄψεις ἡδίστας ὄψεσθε μαντευομένας ὑμῖν ἐπ' αἰσίοις τὰ μέλλοντα, παίδων γενέσεις, βίου παντὸς ὁμόνοιαν, οὐσίας αὔξησιν, οἰκονομίαν τῶν ὄντων ἐπαινετήν. χρὴ δὲ παραγγέλλειν τῷ νυμφίῳ μέλλοντι ταῖς πράξεσιν ἐπιχειρεῖν εὐχὰς ποιεῖσθαι τῷ Ἔρωτι, τῇ Ἑστίᾳ, τοῖς γενεθλίοις, ἵνα συλλαμβάνωνται αὐτῷ πρὸς τὸ ἐγχείρημα, εἶτα εὐχὴν ἐπάξεις αἰτῶν παρὰ τῶν κρειττόνων αὐτοῖς εὐμένειάν τε καὶ ὁμόνοιαν, συμπλοκῆς ἑστίαν, κρᾶσιν ψυχῶν, ὥσπερ καὶ τῶν σωμάτων, ἵνα οἱ παῖδες ἀμφοτέροις ὅμοιοι γένωνται. οὕτω μὲν οὖν πως προάγειν τοὺς τοιούτους λόγους διὰ συντόμων δυνήσῃ· κἂν μὲν ἀδελφὸς ᾖ συγγενὴς ᾖ ὁ συναπτόμενος, λέγε τὰ πρόσφορα πρὸς συγγενεῖς, ὅτι ὁ προτρεπόμενός σοι οὐκ ἀλλότριος, ἀλλὰ φίλος καὶ εὖνους τῶν καὶ εἰς τὰ μάλιστά σοι συνηδομένων καὶ πείθεσθαι ἔδει. ἂν δὲ προειληφὼς ᾖς τῷ γεγαμηκέναι αὐτός, λέγε, ὅτι καὶ αὐτὸς ἔμπειρός εἰμι τῶν τοιούτων ἀγώνων, καὶ οὐχ ἡρέθην, οὐδ' ἡττήθην, ἀλλ' εἰ προὔκειτο στέφανος, ἐγὼ ἂν

www.libtool.com.cn
Digitized by Google

ἀπηνεγκάμην, ἄριστα διαθλήσας τότε. ἂν δὲ ἀλλότριος τυγχάνῃ, πάλιν καὶ τοῦτο διαιρήσεις· ἐὰν μὲν γὰρ νέος πρὸς νέον, ἐρεῖς τὸ Ὁμηρικὸν ἐκεῖνο

ἄλκιμος ἔσσ' ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

ἐὰν δὲ προελήλυθὼς τὴν ἡλικίαν, μὴ δοῦναι ὑπόνοιαν τοῖς παροῦσι περὶ σαυτοῦ ὡς ἀσθενοῦς, προσθήσεις δ' ὡς ἵνα καὶ παῖδας φυτεύσητε τῇ πατρίδι ἀκμάσαντες φιλοτιμίαις, ἐπιδόσεσι· προσθήσεις δέ που καὶ ἀπὸ τοῦ καιροῦ τι. εἰ μὲν γὰρ εἴη ἔαρ, ὅτι ἀηδόνες καὶ χελιδόνες ὑμᾶς καταμουσίζουσαι καὶ κατακηλοῦσαι νῦν μὲν εἰς ὕπνον καθέλκουσι, νῦν δὲ πάλιν ὑπὸ τὴν αὐγὴν τερετίζουσαι ἀναστήσουσι μεμνημένους, καὶ ὅτι νῦν ἡ γῆ ἄνθεσι καλλωπίζεται καὶ ὡραΐζεται τοῖς βλαστήμασιν, ὥσπερ καὶ ὑμεῖς ἐν ὥρᾳ καὶ ἀκμῇ τοῦ κάλλους τυγχάνετε, καὶ δένδρα δένδρεσιν ἐπιμίγνυται, ἵνα τοῦτο γένηται τελετὴ καὶ γάμος. ἐὰν δὲ μετόπωρον, ὅτι καὶ νῦν οὐρανὸς γαμεῖ τὴν γῆν ὄμβροις ἐπάρδων, ἵνα μετὰ μικρὸν ἐκφύσῃ καὶ κοσμήσῃ δένδροις τε καὶ βλαστήμασι. ἂν δὲ χειμών, ὅτι συνάγει ἡμᾶς εἰς θαλάμους καὶ οἰκουρεῖν ἀναγκάζει, καὶ ταῖς νύμφαις τοὺς νυμφίους συμπλέκεσθαι, καὶ πάντα ἐν θαλάμοις εἶναι, ἐπεὶ καὶ τὰς ἀνάγκας ἡμῖν καὶ φόβους ἐκ τῆς σφοδρότητος τῶν ἀέρων ἐστὶν ἐπάγων, καὶ ὥσπερ ἀναγκάζων γαμεῖν. ἐὰν δὲ θέρος, νῦν μὲν τὰ λήϊα κομᾷ τοῖς ἀστάχυσι καὶ ἡμερίδες τοῖς βότρυσι καὶ τοῖς ὡραίοις, καὶ κατάκομα τῶν δένδρων ἅλση καὶ γεωργία πᾶσα. εἶτα προσθήσεις, οἵας μὲν εὐχὰς εὔξονται ὑπὲρ ὑμῶν οἱ πατέρες, οἷα δὲ ηὔξαντο ταύτην ἐπιδεῖν τὴν ἡμέραν· πληροῦτε οὖν αὐτῶν τὸν πόθον, πληροῦτε τοῦ γένους τὰς ἐλπίδας. προσθήσεις δέ τι καὶ ἀπὸ ἱστορίας περὶ γάμου καὶ συμπλοκῆς, εἰ ἔχοις τινὰς νεανίας εἰπεῖν ἢ καὶ δένδρων ἔρωτας. ἐρεῖς τι καὶ περὶ Διονύσου, ὅτι

καλὸς πρὸς γάμους ὁ θεός, ἀλκῆς ἐμπιπλῶν, θάρσους πληρῶν, εὐτολμίαν διδούς· καὶ γὰρ αὐτὸς οὐκ ὀκνηρός, ἀλλ' εὔτολμος περὶ γάμους ὁ θεός· οὕτω καὶ Αἰακὸς Αἴγιναν τὴν Ἀσώπου κατενύμφευσεν, οὕτω καὶ Πηλεὺς τὴν Θέτιν, καὶ ὁ Ζεὺς τὴν Λήδαν, οὕτω καὶ Τηλέμαχος Πολυκάστην τοῦ Νέστορος, οὕτω καὶ τὴν 277
Ἀφροδίτην Ἀγχίσης ὁ βασιλεὺς τῆς περὶ τὴν Ἴλιον χώρας. ἐρεῖς τι καὶ πρὸς τοὺς ἀκούοντας, ὅτι ἕως αὐτοὶ τελοῦσι τὰ ὄργια τοῦ γάμου καὶ τελοῦνται, ἡμεῖς ῥόδοις καὶ ἴοις στεφανωσάμενοι καὶ λαμπάδας ἀνάψαντες περὶ τὸν θάλαμον παίξωμεν καὶ χορείαν στησώμεθα, καὶ τὸν ὑμέναιον ἐπιβοώμεθα, τὸ δάπεδον πλήττοντες τοῖς ποσίν, ἐπικροτοῦντες τῷ χεῖρε, ἐστεφανωμένοι πάντες, καὶ ὅσα προσέοικε τῇ τοιαύτῃ ὕλῃ προσάψεις. εἴρηνται δ' ἀφορμαὶ πλείους ἢ πρὸς ἓν σύνταγμα, ἵνα ᾖ σοι διαφόρως χρήσασθαι ἐν πλείοσιν ὑποθέσεσιν· οὐ γὰρ ἅμα πάντα ἐρεῖς, ἀλλ' ἀρκέσει σοι ἓν καὶ δεύτερον τῶν εἰρημένων. ὁδοποιήσει δέ σοι καὶ τὰ λοιπὰ ἡ θεωρία, καὶ ἀναστρέψεις τὰ πολλάκις ῥηθέντα, οἷον τὰ πρῶτα τελευταῖα ποιήσεις, καὶ τὰ τελευταῖα πρῶτα, καὶ ὅλως ἡ ἐξαλλαγὴ καὶ ἡ καινοτομία παρέξει σοι τὸ μὴ ταὐτὰ λέγειν· ἔστι γὰρ οὐκ ἀποδεδειγμένη διαίρεσις περὶ τοῦ τοιούτου εἴδους τοῦ λόγου, ἡμεῖς δὲ τὴν εἰρημένην ἐπινενοήκαμεν, ἣν οὐ πάντως φυλάττειν ἀναγκαῖον, διὰ τὸ μηδὲν ὁμοιοτεχνὲς τὰ τοιαῦτα ὁρίζειν· ὡς ἐμὲ γὰρ εἰδέναι οὐδέπω μέχρι καὶ τήμερον διαίρεσις ἐπεδείχθη τοιούτου λόγου. εἴ τι δὲ δεῖ στοχασάμενον τοῦ πρέποντος καὶ ἐγγὺς γενόμενον τοῦ δοκοῦντος εὖ ἔχειν εἰπεῖν, καλῶς ἂν ἔχοι προοιμιάζεσθαι μὲν οὐ μακρῷ προοιμίῳ ἢ ἀπὸ τῶν παρόντων, ὡς οὐ καλῶς ἐπέχοιεν ἔτι τὸν νεανίαν, ἢ ἀπὸ τοῦ νεανίσκου ὡς οὐκ ὀρθῶς ῥᾳθυμοῦντες τῆς ἀγωνίας, ἢ ἀπ' αὐτοῦ τοῦ λέγοντος,

www.libtool.com.cn
Digitized by Google

ὅτι συμβουλήν τινα ἥκω φέρων τῷ νεανίᾳ εἰς μέσον πεφροντικὼς ὑπὲρ αὐτοῦ καὶ σπουδάζων, αὐτὸν καλὸν ἐν ὑμῖν ὀφθῆναι, ἔσται οὐκ ἐγκατάσκευον τὸ προοίμιον, ἀλλ' ἀφελὲς καὶ ἁπλοῦν. ἔστι δ' ὅτε καὶ ἀπ' αὐτοῦ τοῦ πράγματος ληφθήσεται ἡ ἔννοια· τίνος ἕνεκεν ἡμῖν ἡ σύνοδος γέγονεν αὕτη; γάμου τοῦ νεανίου δηλονότι καὶ τελετῆς ἐρωτικῆς· τί οὖν οὐκ ἤδη τὸ πρᾶγμα τελεῖται, ἐφ' ᾧ δὴ καὶ συνελήλυθαμεν, συνησθησόμενοι τοῖς γινομένοις; εἶτα μετὰ τὸ προοίμιον ἥξεις ἐπὶ τὴν τοῦ νέου προτροπήν· ἦδειν σε ἐν τῷ πρὸ τούτου χρόνῳ οὐδενὸς δεύτερον ταῖς ἀρεταῖς ἐν κυνηγεσίοις, ἐν παλαίστραις, ταύτην ἐπίδειξαί μοι τὴν ῥώμην καὶ τὴν ἀλκὴν ἐπὶ τοῦ παρόντος, μηδένα τῶν παρόντων ὡς ὀνειδίζειν μέλλοντα φυλασσόμενος· γάμου γὰρ ἅπαντες παῖδες, καὶ οἱ μὲν ἐτελέσθησαν, οἱ δὲ μέλλουσιν, οἱ δὲ εὔχονται. εἶτα παρακαλέσεις καὶ τοὺς ἀκροατὰς συμπροτρέψασθαι καὶ ἑκόντα καὶ ἄκοντα παραπέμπειν ἐπὶ τὸν θάλαμον. μετὰ ταῦτα ἥξεις ἐπὶ τὸν καιρὸν καὶ τὴν ἑσπέραν, ἐν ᾧ διασκευάσεις καὶ διαγράψεις τὰ κάλλη τῆς νυκτός, τοὺς ἀστέρας, τὰ φέγγη τούτων, τὸν Ὡρίωνα, καὶ προσθήσεις ὅτι, ὥσπερ ἑκάστη τελετὴ καιρὸν οἰκεῖον καὶ ἐπιτήδειον ἔχει, οὕτω καὶ ὁ γάμος γέρας εἴληφε τὴν νύκτα παρὰ τῶν θεῶν. Πύθια μὲν γὰρ καὶ Ὀλύμπια καθ' ἡμέραν τιμᾶται, Βάκχῳ δὲ καὶ Ἀφροδίτῃ [νυκτὸς] ἔρωτι καὶ γάμῳ καὶ ὑμεναίῳ καθιέρωται νύξ. εἶτα ἀπὸ τοῦ παρελθόντος προτρέψῃ χρόνου λέγων· ἀναμνήσθητι τῆς μνηστείας, ἐν ὅσῳ χρόνῳ γέγονεν, ἐν ὅσοις ἔτεσι μόλις ἡμῖν κατωρθώθη, καὶ ὅτι ἐπένευσαν ἡμῖν οἱ πατέρες τῆς κόρης ὀψέ ποτε, εἰ ταύτην ἔχων παρὰ σαυτῷ ῥᾳθυμεῖς, ὥσπερ ἐπιλελησμένος. μετὰ ταῦτα καὶ τὸ τῆς ὥρας τοῦ ἔτους ἐπιχειρήσεις ἔαρος, μετοπώρου, χειμῶνος, θέρους, ὡς ἤδη προείρηται ἀπὸ

www.libtool.com.cn

Digitized by Google

τῶν περὶ ἕκαστον καιρὸν ἐξαιρέτων, ὡς ὑποδέδεικται ἤδη. μετὰ ταῦτα καιρὸν ἔχεις καὶ ἱστοριῶν μεμνῆσθαι, ἐν αἷς ἕτεροι φαίνονται συναφθέντες γάμοις θεοὶ καὶ ἡμίθεοι καὶ στρατηγῶν οἱ ἄριστοι, καὶ ἀριστέων οἱ ἐπιφανέστατοι. ἐπὶ τούτοις μνημονεύσεις καὶ τοῦ κάλλους τῆς κόρης καὶ τοῦ κάλλους τοῦ θαλάμου καὶ τῶν παστάδων, καὶ τῶν θεῶν δ' οὐκ ἀμελήσεις τῶν περὶ τὸν θάλαμον ὡς ἐνεργούντων καὶ συναντιλαμβανομένων τῷ μέλλοντι νυμφεύειν· καὶ καθ' ἡδονὴν δὲ θεοῖς ὁ γάμος, ἐν ᾧ καὶ θέσιν βραχεῖαν ἐρεῖς, ὅτι βουληθέντες αὐξάνεσθαι τῶν ἀνθρώπων τὸ γένος γάμον ἐπενόησαν καὶ μίξεις σώφρονας, καὶ εἰκὸς παρεῖναι αὐτοὺς ταῦτα νομοθετήσαντας, Ἀφροδίτην, ἔρωτας, ὑμεναίους, γάμους. εἶτα ἀπὸ τῆς ἐκβάσεως ἐπιχειρήσεις· τί οὖν τὸ ἀπὸ τοῦ γάμου κέρδος; ὁμόνοια καὶ οἴκου καὶ περιουσίας σωτηρία καὶ αὔξησις, καὶ τὸ μέγιστον παίδων γένεσις διαδόχων τοῦ γένους, φιλοτιμησομένων πατράσι, διαθησόντων ἀγῶνας, εἶτα εὐχὴν ἐπιθήσεις τοῖς εἰρημένοις, αὐτὸς αἰτῶν αὐτοῖς παρὰ τῶν κρειττόνων συζυγίαν ἡδίστην, εὐδαιμονίαν, βίον ἐπέραστον, παίδων γενέσεις καὶ ὅσα προείρηται. πειράσεις δὲ καὶ συντόμως ἅπαντα προαγαγεῖν ταῦτα πανταχοῦ τῆς χάριτος μόνον καὶ τῆς ὥρας φροντίζων. παραγίνεται δὲ χάρις καὶ ὥρα τῷ λόγῳ οὐκ ἐκ τῶν ἱστοριῶν μόνον καὶ ἐκ τοῦ διηγήματος, ἀλλ' ἐκ τῆς ἀφελείας καὶ ἁπλότητος τοῦ ἤθους τοῦ λέγοντος. ἀκατάσκευον γὰρ τὸν λόγον εἶναι δεῖ καὶ τὰ πολλὰ ἀσύνδετον, οὐ κώλοις, οὐδὲ περιόδοις συγκείμενον, ἀλλὰ συγγραφικώτερον, οἷόν ἐστι καὶ τὸ τῆς λαλιᾶς εἶδος. γένοιτο δ' ἂν καὶ ἀπὸ λέξεως ἐπιτετηδευμένης καὶ κεκαλλωπισμένης χάρις ἐν λόγῳ, οἷα ἐστὶν ἡ Πλάτωνος καὶ Ξενοφῶντος καὶ τῶν νεωτέρων, Δίωνος καὶ Φιλοστράτου καὶ τῶν σοφι-

www.libtool.com.cn

στῶν, ὅσοι καὶ συντιθέναι τὸ συγγραφικὸν εἶδος ἔδοξαν χαριέντως.

ΠΕΡΙ ΓΕΝΕΘΛΙΑΚΟΥ.

8 Ὁ γενεθλιακὸς λόγος διαιρεῖται οὕτως. πρῶτον μὲν
5 ἐρεῖς προοίμιον, μετὰ τὸ προοίμιον τὴν ἡμέραν ἐπαινέσεις καθ' ἣν ἐτέχθη ὁ ἐπαινούμενος, καὶ εἰ μὲν ἐν ἱε-
280 ρομηνίᾳ εἴη τεχθείς, ἢ ἐν ἄλλῃ τινὶ πανηγύρει, ἐρεῖς ἐγκώμιον ἀπὸ τῶν τῆς ἡμέρας, ὅτι ἐν ἱερομηνίᾳ ἐτέχθη, ὅτι ἐν πανηγύρει· εἰ δὲ μηδὲν ἔχοις εἰπεῖν τοιοῦτον,
10 ἐπαινέσεις τὴν ἡμέραν ἀπὸ καιροῦ, ὅτι θέρους ὄντος ἐτέχθη, ὅτι ἔαρος ἢ χειμῶνος ἢ μετοπώρου, εἰ οὕτω τύχοι, καὶ ἐρεῖς τοῦ καιροῦ τὰ ἐξαίρετα. μετὰ τὸν τῆς ἡμέρας ἔπαινον ἐπὶ τὸ ἐγκώμιον ἥξεις αὐτοῦ τοῦ γένους, εἶτα τῆς γενέσεως, εἶτα τῆς ἀνατροφῆς, εἶτα
15 τῶν ἐπιτηδευμάτων, εἶτα τῶν πράξεων. ἐρεῖς δὲ καθ' ἕκαστον τῶν κεφαλαίων, ὡς ἤδη φθάσαντες πυλλάκις εἰρήκαμεν, σύγκρισιν, εἶτα μετὰ τὸ καθ' ἕκαστον τῶν κεφαλαίων ἰδίαν σύγκρισιν ἐργάσασθαι ἐρεῖς τελευταῖον σύγκρισιν πρὸς ὅλην τὴν ὑπόθεσιν. μετὰ ταῦτα
20 πάλιν ἐπαίνει τὴν ἡμέραν οὕτως· ὦ πανευδαίμονος ἡμέρας ἐκείνης καθ' ἣν ἐτίκτετο, ὦ μητρὸς ὠδῖνες εὐτυχῶς ἐπὶ τοῦτο λυθεῖσαι. πρότερον ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς. ἐὰν δὲ κομιδῇ τινος νέου γενεθλιακὸν μέλλῃς λέγειν, ἐρεῖς ὅτι τοῦτο αὐτὸ τοῦ νέου τὸ μέγι-
25 στον, ὅτι τοὺς λόγους ἐφ' ἑαυτὸν ἤδη κεκίνηκεν, εἶτα μετὰ τὰ προοίμια τὴν ἡμέραν ἐγκωμιάσεις, καθ' ἣν ἐτέχθη, τῇ μεταχειρίσει τῇ προειρημένῃ χρώμενος.
281 μετὰ ταῦτα ἐρεῖς γένος, εἶτα τὴν γένεσιν, εἶτα τὴν φύσιν· ἐπεὶ δὲ οὐδὲν ἔχεις ἕτερον παρὰ ταῦτα εἰπεῖν
30 τοῦ νέου (νέος γὰρ ὢν οὐδέπω πράξεις ἐπεδείξατο), ἐρεῖς ἐκ μεθόδου ἐγκωμιάζων οὕτω· τοῦτο δὲ τεκμαιρό-

Digitized by Google

μενος περὶ τῶν μελλόντων μαντεύομαι, ὅτι παιδείας εἰς ἄκρον ἥξει καὶ ἀρετῆς, ὅτι φιλοτιμήσεται πόλεσιν, ἀγῶνας διαθήσει, κοσμήσει πανηγύρεις, καὶ τὰ τοιαῦτα.

www.libtool.com.cn

ΠΕΡΙ ΠΑΡΑΜΥΘΗΤΙΚΟΥ.

Ὁ παραμυθητικὸς δὲ λόγος ὀδύρεται μὲν καὶ αὐτὸς τὸν πεπτωκότα καὶ ἐπὶ μέγεθος ἐγείρει τὴν συμφορὰν αὔξων, ὡς οἷόν τέ ἐστι τῷ λόγῳ τὸ πάθος, ἐκ τῶν ἀφορμῶν ὧν εἴπομεν περὶ μονῳδίας, χρὴ δὲ εἰδέναι ὅτι συνίσταται ἡ μονῳδία ἐκ τῶν ἐγκωμιαστικῶν γένους, φύσεως, ἀνατροφῆς, παιδείας, ἐπιτηδευμάτων, πράξεων. οὐ μὴν φυλάξεις τὴν ἀκολουθίαν τῶν ἐγκωμίων διὰ τὸ μήθ' ἑαυτοῦ δοκεῖν εἶναι τὸν λέγοντα, ἀλλ' ἐξεστηκέναι 252
ὑπὸ τοῦ πάθους. τὰ δὲ ἐγκώμια διαιρήσεις κατὰ τοὺς τρεῖς χρόνους, ὡς διῄρηται. ὁ μέντοι γε παραμυθούμενος ἐπιχειρήσας ἐκ τούτων ἐν τῷ πρώτῳ μέρει τοῦ λόγου, οἷον ὅτι νέος ὤν, ἂν τοῦτο τύχῃ, παρ' ἡλικίαν πέπτωκεν, οὐχ ὡς ἂν εὔξαιτό τις, καὶ γένος ἐστέρησεν τῆς ἐλπίδος καὶ γονέας καὶ πατρίδα· οὐ γὰρ ἦν ὁ τυχών, ἀλλὰ τοῖος καὶ τοῖος· διὸ οὐδὲ μέμφομαι πενθοῦντας καὶ ζητοῦντας τοιοῦτον, καὶ τὸν ἐπ' αὐτῷ θρῆνον αὐξήσας, ὡς ἐνδέχεται, ἐπὶ δεύτερον ἥξεις μέρος τοῦ λόγου τὸ παραμυθητικόν, ἄρξῃ δὲ οὕτω πως· θαυμάζω δὲ εἰ μὴ ἐπελήλυθεν ὑμῖν, ὦ παρόντες γονεῖς, ἐννοεῖν, ἃ φησιν ἄριστος ποιητὴς Εὐριπίδης, ἄριστος ὡς ἀληθῶς Μουσῶν νομίζεται τρόφιμος· χρὴ γὰρ

τὸν μὲν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά·
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας, εὐφημοῦντας ἐκπέμπειν δόμων.

οὐ θήσεις δὲ ἐξάπαντος τὰ ἰαμβεῖα διὰ τὸ εἶναι αὐτὰ συνήθη τοῖς πολλοῖς καὶ γνώριμα, ἀλλὰ παραδώσεις

μᾶλλον· καὶ ὅσα Ἡροδότῳ περὶ Κλεόβιδος καὶ Βίτωνος εἴρηται. καὶ φιλοσοφῆσαι δὲ ἐπὶ τούτοις οὐκ ἀπειρόκαλον καθόλου περὶ φύσεως ἀνθρωπίνης, ὅτι τὸ θεῖον κατέκρινε τῶν ἀνθρωπίνων τὸν θάνατον, καὶ ὅτι πέρας
253 ἐστὶν ἅπασιν ἀνθρώποις τοῦ βίου ὁ θάνατος, καὶ ὅτι
6 ἥρωες καὶ θεῶν παῖδες οὐ διέφυγον. ἐν ᾧ καιρὸν ἔχεις θεῖναι καὶ διηγήματα, καὶ ὅτι πόλεις ἀπόλλυνται, καὶ ἔθνη ἐστὶν ἃ παντάπασιν ἐξέλιπεν, καὶ ὅτι βελτίων ἐστὶ τάχα ἡ μετάστασις τοῦ τῇδε βίου, ἀπαλλάττουσα
10 πραγμάτων ἀδίκων, πλεονεξίας, ἀδίκου τύχης· οἷον γὰρ τὸ πλεῖον τὸ πράγμασιν ἀνθρωπίνοις συμπλέκεσθαι, νόσοις, φροντίσι. ἐρεῖς δὲ μετὰ ταῦτα, ὅτι εἰ μὲν κέρδος τὸ βιοῦν, ἱκανῶς ἀπολέλαυκε, καὶ λέξεις ἃ σύνοιδας περὶ αὐτοῦ, ὥφθη μὲν ἐν λόγοις εἰ οὕτω τύχοι, ἐν
15 πολιτείαις· εἰ δὲ ἀτύχημα, τύχης τὸ πίπτειν ἐνθάδε, ἐξέφυγε τὰ μιαρὰ τοῦ βίου, εἶτα ὅτι πείθομαι τὸν μεταστάντα τὸ ἠλύσιον πεδίον οἰκεῖν, ὅπου Ῥαδάμανθυς, ὅπου Μενέλεως, ὅπου παῖς ὁ Πηλέως καὶ Θέτιδος, ὅπου Μέμνων· καὶ τάχα που μᾶλλον μετὰ τῶν θεῶν διαιτᾶ-
20 ται νῦν, περιπολεῖ τὸν αἰθέρα καὶ ἐπισκοπεῖ τὰ τῇδε· καὶ τάχα που καὶ μέμφεται τοῖς θρηνοῦσι· συγγενὴς γὰρ οὖσα τοῦ θείου ἡ ψυχὴ κἀκεῖθεν κατιοῦσα σπεύδει πάλιν ἄνω πρὸς τὸ συγγενές· οὕτω καὶ τὴν Ἑλένην, οὕτω καὶ τοὺς Διοσκούρους καὶ τὸν Ἡρακλέα λέγουσιν
25 συμπολιτεύεσθαι μετὰ τῶν θεῶν· ὑμνῶμεν οὖν αὐτὸν ὡς ἥρωα, μᾶλλον δὲ ὡς θεὸν αὐτὸν μακαρίσωμεν, εἰκόνας γράψωμεν, ἱλασκώμεθα ὡς δαίμονα. ἔστω δὲ σύμμετρον καὶ τούτου τοῦ λόγου τὸ μῆκος. γνωστέον
284 δὲ ὅτι καὶ συντόνῳ λόγῳ παραμυθεῖσθαι δυνατὸν καὶ
30 συγγραφικῷ πάλιν, ὡς ἄν τις βούληται.

ΠΕΡΙ ΠΡΟΣΦΩΝΗΤΙΚΟΥ.

10 Ὁ προσφωνητικὸς λόγος ἐστὶν εὔφημος εἰς ἄρχοντας

λεγόμενος ὑπό τινος, τῇ δὲ ἐργασίᾳ ἐγκώμιον, οὐ μὴν τέλειον· οὐ γὰρ ἔχει πάντα τὰ τοῦ ἐγκωμίου, ἀλλὰ κυρίως ὁ προσφωνητικὸς γίνεται, ὅταν ἐξ αὐτῶν τῶν πραττομένων ὑπ᾽ αὐτοῦ πράξεων ὁ λόγος τὴν αὔξησιν λαμβάνῃ. διαιρεῖται δὲ οὕτως. μετὰ τὰ προοίμια ἤξεις ἐπὶ τὸν τῶν βασιλέων ἔπαινον, καὶ τοῦτον ἐρεῖς διὰ πάνυ βραχέων διαιρῶν αὐτὸν δίχα εἰς τὰ κατὰ πόλεμόν τε καὶ εἰρήνην, οὐκ ἐνδιατρίψεις δὲ διότι οὐ τέλειόν ἐστι βασιλέων ἐγκώμιον· αὐξήσεως γὰρ ἕνεκα παραλαμβάνεται ἐν τῷ προσφωνητικῷ τῶν ἐπαίνων τοῦ ἄρχοντος. ἀπὸ δὲ τοῦ λόγου τοῦ κατὰ τοὺς βασιλέας ἤξεις ἀκολούθως ἐπὶ τοῦ προσφωνουμένου ἔπαινον, λέγων ὅτι τά τε ἄλλα θαυμάσιοι οἱ βασιλεῖς καὶ ἐν ταῖς τῶν ἀρχόντων αἱρέσεσιν· οἷον γὰρ ὑμῖν νῦν τοῦτον τὸν γεννάδαν κατέπεμψαν ἐπὶ σωτηρίᾳ τοῦ γένους, ὃν εὐθέως ἐπαινέσεις μάλιστα μέν, ὡς ἔφην, ἀπὸ τῶν πράξεων, οὕτω γὰρ ἄμεινον. εἰ δ᾽ ἄρα φιλότιμος καὶ σφόδρα ἔνδοξος εἴη τὸ γένος, μνημονεύσεις διὰ βραχέων καὶ γένους, εἶθ᾽ οὕτω τῶν πράξεων, καὶ μάλιστα μὲν ἀπὸ τοῦ παρόντος χρόνου καὶ τῆς παρούσης ἀρχῆς τῶν ἐν χερσί· μνημονεύσεις δὲ καί, εἰ τύχοι ἄρξας ἑτέραν ἀρχὴν καὶ ἐνδόξους ἔχει τὰς πράξεις, τῶν τότε πράξεων.

Ὑπομεριεῖς δὲ τὸν ἐπὶ ταῖς πράξεσιν ἔπαινον εἰς τέσσαρας ἀρετάς, φρόνησιν, δικαιοσύνην, σωφροσύνην, ἀνδρείαν· καὶ ἐν μὲν τῇ φρονήσει τὴν ἐμπειρίαν τῶν νόμων, τὴν παίδευσιν ἐπαινέσεις, τὸ προορᾶσθαι τὰ μέλλοντα, τὸ περὶ τῶν παρόντων ἀκριβῶς βουλεύεσθαι δύνασθαι, τὸ βασιλεῦσιν ἀντιγράφειν, περὶ ὧν ἂν ἐπιστέλλωσιν, οὕτως ὥστε ἐκείνους ἐπαινεῖν καὶ θαυμάζειν τὸ διελέγχειν τοὺς ῥήτορας, τὸ γινώσκειν ἐκ προοιμίων τὴν ὅλην διάνοιαν τῆς ὑποθέσεως, ἐν ᾧ καὶ

www.lbtool.com.cn
Digitized by Google

καιρὸν ἔξεις Δημοσθένους καὶ Νέστορος καὶ νομοθετῶν ἀρίστων μνήμην ποιεῖσθαι· τεχνικὸν γὰρ καθ' ἕκαστον μέρος ἀρετῆς καὶ συγκρίσεις οἰκείας παραλαμβάνειν, ἵνα ὁ λόγος δι' αὐτῶν πλείους τὰς αὐξήσεις λαμβάνῃ. ἐν δὲ τῇ δικαιοσύνῃ πάλιν ἐρεῖς τὴν πρὸς τοὺς ὑπηκόους φιλανθρωπίαν, τὸ ἥμερον τοῦ τρόπου, τὸ ὁμιλητικὸν πρὸς τοὺς προσιόντας, τὸ καθαρὸν ἐν ταῖς δίκαις καὶ ἀδωροδόκητον, τὸ μὴ πρὸς χάριν, μὴ πρὸς ἀπέχθειαν κρίνειν τὰς δίκας, τὸ μὴ προτιμᾶν τοὺς εὐπόρους τῶν ἀδυνάτων, τὸ πόλεις ἐγείρειν· ἐν ᾧ μέρει καὶ Ἀριστείδης ἔστω καὶ Φωκίων, καὶ εἴ τις Ῥωμαίων ἐξ ἱστορίας λαμπρὸς ἐκ δικαιοσύνης. οὐχ ἁπλῶς ἐρεῖς τὰς ἀρετάς, ὅτι δίκαιος, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ἐπιχειρήσεις πάλιν, ὅτι οὐκ ἄδικος, οὐκ ὀργίλος, οὐ δυσπρόσωπος, οὐ χάριτι κρίνων, οὐ δωροδέκτης· πέφυκε γὰρ ὁ λόγος αὔξησιν λαμβάνειν, ὅταν καὶ τὰς κακίας ἐξαίρῃς καὶ τὰς ἀρετὰς αὔξειν ἐθέλῃς. μετὰ ταύτην ἥξεις ἐπὶ τὴν σωφροσύνην, ἐν δὲ ταύτῃ πάλιν ἐρεῖς τὴν περὶ τὰς ἡδονάς, τὴν περὶ γέλωτα ἐγκράτειαν. ἐνταῦθα Διομήδης ἔχει καιρὸν πρὸς τὴν σύγκρισιν ὁ τιτρώσκων τὴν Ἀφροδίτην διὰ τὴν σωφροσύνην· μόνος γὰρ ἀνάλωτος τῶν Ἀφροδίτης παθῶν. καὶ Ἱππόλυτος δ' ἔστω· καὶ γὰρ καὶ οὗτος σώφρων ὑπείληπται. τὴν δὲ ἀνδρείαν θαυμάσιος ἀπὸ τῆς πρὸς βασιλέα παρρησίας, ἀπὸ τῆς ὑπὲρ τῶν ὑπηκόων πρὸς τὰ λυποῦντα μάχης, ἀπὸ τοῦ μὴ ὀκλάζειν, μηδὲ ἐνδιδόναι πρὸς φόβους, ἐν ᾧ καὶ οἱ Αἴαντες καὶ Περικλῆς καὶ Ἀλκιβιάδης, καὶ εἴ τις τοιοῦτος. οὐκ ἐνδιατρίψεις δὲ τούτοις, οὐδὲ ἐπεξελεύσῃ ἀκριβῶς ἅπασι· τοῦτο γὰρ ἐγκωμίου τελείου, ἀλλὰ γέγραπται μὲν ἐνθάδε ὑφ' ἡμῶν καὶ εἴρηται, ἵνα μηδὲν παραλιπεῖν δοκῶμεν, ἀλλ' ἔχῃς εὐπορίαν πανταχόθεν, χρήσῃ δὲ τοῖς κατεπείγουσιν· ἔστι γὰρ ὁ προσφωνητι-

www.libtool.com.cn

κὸς ἐγκωμίου εἰκών, ἀκροθιγῶς τῶν ἐγκωμιαστικῶν τόπων ἐφαπτόμενος, οὐκ ἐνδιατρίβων ὡς ἐγκωμίῳ τελείῳ, εἰ μή τις ἐθέλοι διὰ φιλοτιμίαν ὡς πρὸς τελείαν ὑπόθεσιν τὸν προσφωνητικὸν ἀπεργάζεσθαι.

www.libtool.com.cn

Ἴξεις μετὰ τὰς ἀρετὰς ἐπὶ συγκρισιν· ἄλλο γάρ ἐστι τὸ συγκρίνειν ἀθρόως, καὶ ἄλλο τὸ μερικῶς. κατὰ μέρος μὲν οὖν ἐστι πολλάκις τὸ συγκρίνειν, οἷον ὅταν δικαιοσύνην συγκρίνωμεν δικαιοσύνῃ, φρονήσει φρόνησιν, ἀθρόως δέ, ὅταν ἀρχὴν ὅλην πρὸς ὅλην ἀρχήν. ἐρεῖς δ' ὡς Ὅμηρος

πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων.

οἷον πολλοὶ πολλάκις γεγόνασιν ἄρχοντες καλοὶ κἀγαθοί, οἱ μὲν ἐπὶ τῆς Ἀσίας, οἱ δὲ ἐπὶ τῆς Εὐρώπης, ἐπαινετοὶ μὲν κἀκεῖνοι καὶ οὐδενὸς τῶν εἰς ἀρετὴν ἐνδεεῖς, ἀλλὰ σοῦ βελτίων οὐδείς· ὑπερβέβηκας γὰρ ἀθρόως ἅπαντας. εἶτα ἐπίλογον ἐπὶ τούτοις ἐργάσῃ. πρὸ δὲ τοῦ ἐπιλόγου ἐὰν τὴν πόλιν, ἐν ᾗ καὶ ὁ λόγος, βουληθῇς ἐπαινέσαι (οὐ γὰρ ἀεὶ τοῦτο ποιήσεις, πλὴν εἰ βούλοιο)· ἐρεῖς τι καὶ περὶ αὐτῆς ὧδέ πως, ὅτι λαμπρὰ μὲν ἡ πόλις ἡμῖν ἄνωθεν λιμένων κατασκευαῖς καὶ οἰκοδομημάτων κάλλεσι, καὶ ἀέρων εὐκρασίαις καὶ τείχεσι, σὺ δ' αὐτὴν περιβλεπτοτέραν ἀπείργασο. οἱ δὲ ἐπίλογοι ἔξουσιν ἄλλα τοιαῦτα· ἀναθῶμεν τοῦτο τὸ ξίφος μὴ Ἄρεϊ μηδὲ Λειμῷ μηδὲ Φόβῳ, τοῖς Ἄρεος παισίν, ἀλλὰ Δίκῃ καὶ Θέμιδι ἀνάθημα καθαρὸν φόνων, καὶ εὐαγεῖς χοροὺς ἱστάτωσαν αἱ πόλεις, ᾀδέτωσαν, ψηφίσματα γράφωμεν πρὸς βασιλέας ἐπαινοῦντες θαυμάζοντες αἰτοῦντες χρόνους εἰς ἀρχὴν πλείονας, πέμπωμεν εἰκόνας εἰς Δελφούς, εἰς Ὀλυμπίαν, Ἀθήναζε, πρῶτον πληρώσαντες τὰς πόλεις τὰς ἡμετέρας, γραφέσθω δὲ νῦν περὶ αὐτὸν ἔχων κύκλῳ τὸ γένος τῶν

Digitized by Google

ὑπηκόων, εὐφημοῦντας ἅπαντας, ἐπικροτοῦντας, προηγείσθωσαν τῷ πίνακι καὶ πόλεις γυναικῶν σχήμασι, φαιδραὶ καὶ γεγηθυῖαι, καὶ ὅσα ἐνδέχεται ἀπὸ τῶν πραγμάτων τούτοις προσθήσεις.

www.libtool.com.cn

ΠΕΡΙ ΕΠΙΤΑΦΙΟΥ.

Λέγεται μὲν παρ' Ἀθηναίοις ἐπιτάφιος ὁ καθ' ἕκαστον ἐνιαυτὸν ἐπὶ τοῖς πεπτωκόσιν ἐν τοῖς πολέμοις λεγόμενος λόγος, εἴληφε δὲ τὴν προσηγορίαν οὐδαμόθεν ἄλλοθεν ἢ ἀπὸ τοῦ λέγεσθαι ἐπ' αὐτῷ τῷ σήματι, οἷοί εἰσιν οἱ τρεῖς Ἀριστείδου λόγοι· οἵους γὰρ εἶπεν ὁ πολέ-
288 μαρχος, ἐπειδὴ καὶ τούτῳ τὸ τῆς τιμῆς ταύτης ἀποδέδοται παρ' Ἀθηναίοις, τοιούτους ὁ σοφιστὴς συνέταξεν. ἐκνενίκηκε δὲ διὰ τὸ χρόνον πολὺν παρεληλυθέναι ἐγκώμιον γενέσθαι· τίς γὰρ ἂν ἔτι θρηνήσειε παρ' Ἀθηναίοις τοὺς πρὸ πεντακοσίων ἐτῶν πεπτωκότας, Θουκυδίδης δὲ λέγων ἐπιτάφιον ἐπὶ τοῖς πεσοῦσι κατ' ἀρχὰς τοῦ Πελοποννησιακοῦ πολέμου οὐχ ἁπλῶς ἐγκώμιον εἶπε τῶν ἀνδρῶν, ἀλλὰ καὶ ἐπεσημήνατο, ὅτι πεσεῖν ἐδύναντο· ἀλλὰ καὶ ἀπὸ τοῦ θρήνου τὸ πρέπον ἐφυλάξατο διὰ τοῦ πολέμου τὴν χρείαν, ὅπερ ἦν ῥήτορος, δακρύειν οὓς προετρέπετο πολεμεῖν· ἔθηκε δὲ τὸν ἀπὸ τῆς παραμυθίας τόπον. οὕτω καὶ Ἀριστείδης, εἴποτε ἔλεγε
289 τούτους τοὺς λόγους ἐπὶ τοῖς προσφάτως πεσοῦσιν, ἐχρήσατο ἂν τοῖς τοῦ ἐπιταφίου κεφαλαίοις, ὅσα ἐστὶν αὐτῷ οἰκεῖα· νῦν δὲ χρόνος πολὺς παρεληλυθὼς οὐκέτι δίδωσι χώραν οὔτε θρήνοις οὔτε παραμυθίαις· λήθη τε γὰρ ἐγγέγονε τῷ θρήνῳ τοῦ πάθους, καὶ ὃν παραμυθησόμεθα οὐκ ἔχομεν· οὔτε γὰρ πατέρες ἐκείνων οὔτε τὸ γένος γνώριμον. ἄτοπον δὲ ὅλως εἰ καὶ γνώριμον τυγχάνοι, καὶ προσέτι ἄκαιρον τὸ μετὰ πολὺν χρόνον ἐγείρειν εἰς θρῆνον ἐθέλειν κεκοιμισμένης ἤδη

Digitized by Google

τῷ χρόνῳ τῆς λύπης. οὐκοῦν ὁ μετὰ χρόνον πολὺν λεγόμενος ἐπιτάφιος καθαρόν ἐστιν ἐγκώμιον, ὡς Ἰσοκράτους ὁ Εὐαγόρας. εἰ δὲ μὴ πάνυ μετὰ πολὺν λέγοιτο, ἀλλ' ἑπτά που μηνῶν ἢ ὀκτὼ παρελθόντων ἐγκώμιον μὲν λέγειν δεῖ, πρὸς δὲ τῷ τέλει χρῆσθαι τῷ παραμυθητικῷ κεφαλαίῳ οὐδὲν κωλύσει, πλὴν ἐὰν μὴ συγγενὴς ἐγγυτάτω τυγχάνῃ τοῦ τεθνεῶτος ὁ λέγων. τούτῳ γὰρ οὐδὲ μετ' ἐνιαυτὸν δίδωσιν ἀνάπαυλαν τοῦ πάθους ἡ μνήμη· διόπερ οὗτος σώσει καὶ μετ' ἐνιαυτὸν τοῦ παθητικοῦ λόγου τὸν χαρακτῆρα.

Διαιρεθήσεται δὲ ὁ ἐπιτάφιος λόγος, ὁ παθητικός, ὁ ἐπὶ προσφάτῳ τῷ τεθνεῶτι λεγόμενος τοῖς ἐγκωμιαστικοῖς κεφαλαίοις, πανταχοῦ ἐφεξῆς ἑκάστῳ τῶν κεφαλαίων παραμιγνυμένου τοῦ πάθους ἐκ μεταχειρίσεως οὕτω πως· συνοδύρομαι τῷ γένει τὸ πάθος, ὡς τὴν ἐπιβολὴν τοῦ θρήνου πόθεν ποιήσομαι; ἀπὸ τοῦ γένους εἰ βούλεσθε πρῶτον· τοῦτο γὰρ αὐτὸ κρηπὶς τῶν ὅλων. οὐκοῦν ὅτι λαμπρὸς τοῦτο ἐρεῖς, καὶ τῶν ἐν τῇ πόλει μᾶλλον ἐνδοξότατος, ἀλλ' ὥσπερ λαμπάδα ἠμμένην ἐν τῷ γένει τὸν πεπτωκότα τοῦτον δαίμων ἀπέσβεσε· χρὴ γὰρ τὰ κεφάλαια μὴ καθαρεύειν τῶν θρήνων, ἀλλὰ κἂν γένος λέγῃς, θρηνεῖν κατ' ἀρχὰς τοῦ γένους καὶ τελευτῶντος, κἂν ἕτερόν τι κεφάλαιον. εἶτα μετὰ τὸ γένος τὰ περὶ τὴν γένεσιν αὐτοῦ ἐρεῖς· ὦ ματαίων μὲν ἐκείνων συμβόλων, ματαίων δὲ ὀνειράτων ἐπ' ἐκείνῳ φανέντων ὅτε ἐτίκτετο, ὦ δυστυχοῦς μὲν τῆς ἐνεγκούσης, ᾠδῖνος δὲ ἐπὶ τούτοις δυστυχεστέρας· ᾠδινε γὰρ ἡ μήτηρ σύμβολα· ὁ δεῖνα δὲ προεφήτευσεν αὐτὰ κάλλιστα, τῶν δὲ οἰκείων καὶ τῶν φίλων εὔελπις ἦν ἕκαστος, ἔθυον δὲ θεοῖς γενεθλίοις, βωμοὶ δὲ ἠμάττοντο, ἦγε δὲ πανήγυριν ὁ σύμπας οἶκος· δαίμων δέ,

Digitized by Google

ὡς ἔοικεν, ἐπετώθασε τοῖς γινομένοις, παρεδίδοτο δὲ τροφεῦσιν ὁ παῖς· κρείττους εἶχον ἐν τούτῳ τὰς ἐλπίδας οἱ τρέφοντες. ἀλλ' οἵμοι τῶν κακῶν, καὶ τοίνυν οὗτος ἀνήρπασται. ὁμοίως δὲ καὶ τοῖς λοιποῖς ἐπεξελεύσῃ κεφαλαίοις τοῖς ἐγκωμιαστικοῖς, αὔξων δὲ καὶ τὸν θρῆνον. δεῖ δήπου καὶ ἡπλωμένην ἀπαγγελίαν τῶν θρήνων, ἵνα καὶ ἡ λαμπρότης τῶν προσώπων
292 φαίνηται, ἐπίστρεφε δὲ τὸν ἀκροατὴν αὖθις ἐπὶ τὸν θρῆνον. καὶ ὕλη σοι γινέσθω τὰ ἐγκώμια τῶν θρήνων. ἐγκωμιάσεις δὲ ἀπὸ πάντων τῶν τόπων τῶν ἐγκωμιαστικῶν, γένους, γενέσεως, φύσεως, ἀνατροφῆς, παιδείας, ἐπιτηδευμάτων, τεμεῖς δὲ τὴν φύσιν δίχα, εἴς τε τὸ τοῦ σώματος κάλλος, ὅπερ πρῶτον ἐρεῖς, εἴς τε τὴν τῆς ψυχῆς εὐφυΐαν. πιστώσῃ δὲ τοῦτο διὰ τριῶν κεφαλαίων τῶν ἑξῆς, λέγω δὲ διὰ τῆς ἀνατροφῆς καὶ τῆς παιδείας καὶ τῶν ἐπιτηδευμάτων· ἐργαζόμενος γὰρ αὐτοῦ τὸ ἐγκώμιον διὰ τούτων ἑκάστου ἐρεῖς μὲν τὴν ἀνατροφήν, ὅτι ἐνέφηνε διὰ τούτων τῆς ψυχῆς τὴν εὐφυΐαν ἐπιστρεφόμενος, καὶ ὀξύτητα δευτέραν τιθείς, ταύτην δὲ τὴν εὐφυΐαν, ἐρεῖς δὲ τὴν παιδείαν, ὅτι ἐδείκνυε καὶ ἐπὶ τούτῳ προσχεῖν τῶν ἡλίκων. διὰ δὲ τῶν ἐπιτηδευμάτων πιστώσῃ τὸ κεφάλαιον οὕτως, ὅτι δίκαιον παρεῖχεν ἑαυτόν, φιλάνθρωπον, ὁμιλητικόν, ἥμερον. τὸ δὲ μέγιστον κεφάλαιον τῶν ἐγκωμιαστικῶν εἰσιν αἱ πράξεις, ἅστινας θήσεις μετὰ τὰ ἐπιτηδεύματα· οὐκ ἀφέξῃ δὲ τοῦ καὶ ἐν ἑκάστῃ πράξει θρῆνον ἐπεμβαλεῖν. θήσεις δὲ μετὰ τὰς πράξεις καὶ τὸν ἀπὸ
293 τῆς τύχης τόπον, λέγων ὅτι παρωμάρτησεν αὐτῷ καὶ δεξιά τις τύχη ζῶντι ἐφ' ἅπασι, πλοῦτος, παίδων εὐτυχία, φίλων περὶ αὐτὸν ἔρωτες, τιμὴ παρὰ βασιλέων, τιμὴ παρὰ πόλεων. εἶτα τὰς συγκρίσεις μετὰ ταῦτα θήσεις πρὸς ὅλην τὴν ὑπόθεσιν, ὡς κεφάλαιον

www.libool.com.cn

Digitized by Google

ἴδιον, οὐκ ἀπεχόμενος οὐδὲ ἐφ' ἑκάστῳ κεφαλαίῳ
συγκρίσεως πρὸς ἐκεῖνο τὸ κεφάλαιον, ὃ λέγεις, παρα-
λαμβάνειν δεῖ. καὶ ἐνταῦθα δὲ προδήλως πρὸς ὅλην
τὴν ὑπόθεσιν παραλήψῃ τὴν σύγκρισιν, οἷον ἄνωθεν
ἐπιδραμὼν τὰ κεφάλαια ἐρεῖς, ὅταν τοίνυν ἐξετάσωμεν 5
ταῦτα σύμπαντα περί τινος τῶν ἡμιθέων ἢ τῶν νῦν
ἐναρέτων, οὐδενὸς δευτέρῳ τῷδε ταῦτα ἄμεινον
ὑπῆρξεν· δεῖ γὰρ καλοῦ καλλίονα ἀποδεικνύναι, ἢ
ὅταν ἐνδόξῳ ἐφάμιλλον οἷον ἢ τῷ Ἡρακλέους βίῳ τὸν
βίον αὐτοῦ ἢ τῷ Θησέως παραβαλεῖν. ἐπὶ τούτοις 10
πάλιν κεφάλαιον θήσεις τὸν θρῆνον, ὅτι διὰ ταῦτα 294
τοῦτον ὀδύρομαι, ἐργασίαν δοὺς ἰδιάζουσαν, καθα-
ρεύουσαν λοιπῶν ἐγκωμίων, οἴκτου κινῶν, εἰς δάκρυα
συγχέων τοὺς ἀκούοντας. μετὰ ταῦτο τὸ κεφάλαιον
θήσεις κεφάλαιον ἕτερον τὸ παραμυθητικὸν πρὸς ἅπαν 15
τὸ γένος, ὅτι οὐ δεῖ θρηνεῖν· πολιτεύεται γὰρ μετὰ
τῶν θεῶν, ἢ τὸ Ἠλύσιον ἔχει πεδίον. ἰδίᾳ δ' αὖ πάλιν
τὰ νοήματα μεριεῖς τῶν κεφαλαίων οὕτως· ἰδίᾳ μὲν
πρὸς τοὺς παῖδας, ἰδίᾳ δὲ πρὸς τὴν γυναῖκα, ἐξάρας
πρότερον τὸ πρόσωπον τῆς γυναικός, ἵνα μὴ πρὸς 20
φαῦλον καὶ εὐτελὲς διαλέγεσθαι δοκῇς πρόσωπον· ἐπὶ
γὰρ τῶν ἀνδρῶν οὐ φέρει ψόγον ὁ λόγος ἄνευ τινὸς
προκατασκευῆς λεγόμενος, ἐπὶ δὲ γυναικὸς ἀναγκαίως
προκαταλήψῃ τὸν ἀκροατὴν τῆς ἀρετῆς τῆς γυναικός.
ἐὰν δὲ νέαν ἄγωσι πάνυ τὴν ἡλικίαν οἱ παῖδες, συμβου- 25
λευτικὸν μᾶλλον θήσεις τὸν τόπον, οὐ παραμυθητικόν·
οὐ γὰρ αἰσθάνονται τοῦ πάθους· μᾶλλον δὲ οὕτω
προσθήσεις τινὰ τῷ παραμυθητικῷ συμβουλὴν καὶ
ὑποθήκην πρὸς τὴν γυναῖκα καὶ πρὸς τοὺς παῖδας, εἰ
ἄγαν νέοι τυγχάνοιεν ὄντες, τὴν μὲν ζηλοῦν τὰς ἀρχαίας 295
καὶ ἀρίστας τῶν γυναικῶν καὶ ἡρῴνας, τοὺς δὲ παῖδας 31
ζηλοῦν τὰς τοῦ πατρὸς ἀρετάς. εἶτα ἐπαινέσεις τὸ

www.libtool.com.cn
Digitized by Google

γένος, ὅτι οὐκ ἠμέλησαν τῆς κηδεύσεως οὐδὲ τῆς κατασκευῆς τοῦ μνήματος, εἶτα εὐχὴν πρὸς τῷ τέλει τοῦ λόγου θήσεις εὐχόμενος αὐτοῖς παρὰ τῶν θεῶν ὑπάρξαι τὰ κάλλιστα.

www.libtool.com.cn

ΠΕΡΙ ΣΤΕΦΑΝΩΤΙΚΟΥ.

Ἐν τῷ στεφανωτικῷ προοιμιάσῃ εὐθὺς ἀπὸ τοῦ στεφάνου καὶ τῆς δόξης τοῦ βασιλέως, καὶ ὅτι φθάνει μὲν ὁ κρείττων αὐτῇ τῇ βασιλείᾳ στεφάνῳ τιμῶν, καὶ ἡ σύμπασα οἰκουμένη τῷ μεγίστῳ στεφανοῦσα στεφάνῳ, ταῖς εὐφημίαις· ἡμεῖς δὲ παρά σε καὶ ἡ πόλις ἡ ἡμετέρα, οὐδεμιᾶς τῶν σῶν ὑπηκόων οὔτε δόξαις οὔτε μεγέθεσιν οὔτε κάλλεσιν ἡττωμένη, λόγοις τε ἅμα στεφανοῦσα καὶ χρυσῷ τῷ στέμματι. ἐὰν μὲν σχῇ γένος 296 εὐδόκιμον, μετὰ τὸ προοίμιον ποιήσῃ τοῦ βασιλέως τὸ ἐγκώμιον ἀπὸ τοῦ γένους· εἰ δὲ μή γε, εὐθὺς ἀπὸ τῆς τύχης ἀντὶ τοῦ γένους, ὅτι θεὸς κατοικτείρας ἄνωθεν τὸ ἀνθρώπινον γένος καὶ βουληθεὶς ταῖς εὐδαιμονίαις παραμυθήσασθαι τὴν σὴν παρήγαγε γένεσιν ἐπ' ἀγαθῇ μοίρᾳ τῆς οἰκουμένης. εἶτα ἐρεῖς ἐὰν ἔχῃς παιδείαν καὶ ἀνατροφὴν ἔνδοξον. εἶτα ἐφάψῃ τῶν ἀρετῶν, ἐπὶ τούτοις τῆς ἀνδρείας πρώτης· ὅτι γάρ τοι διατελεῖς ἐν δουρὶ καὶ ἵππῳ καὶ ἀσπίδι ἆθλους μεγίστους ἀγωνιζόμενος ὑπὲρ τῆς ὑφ' ἥλιον, καθάπερ Ἡρακλέα φασὶ τὸν Διός· ἐν ᾧ μνημονεύσεις ὅτι βαρβάρων οἱ μὲν τελέως ἀπολώλασιν, οἱ δὲ δυστυχοῦσιν, οἱ δ' αἰχμάλωτοι παρ' ἡμᾶς ἦχθησαν, οἱ δὲ οὐδὲ ἀντέχειν δύνανται, ὥσπερ οὐδὲ πρὸς τὰς ἡλίου βολὰς ἀτενίζειν τολμῶντες. μετὰ τὴν ἀνδρείαν ἐν ᾗ καὶ ἡ κατὰ τὸν πόλεμόν ἐστιν, ἐρεῖς λοιπὸν περὶ τῶν κατὰ εἰρήνην, καὶ μετὰ ταῦτα ἐπάξεις, ὅτι τοιγάρτοι διὰ τοῦτο στεφανοῖ σε ἡ πόλις, ἅμα μὲν χάριτας ἐκτινυῦσα ὑπὲρ ὧν ὀσημέραι εὐεργετούμεθα,

Digitized by Google

ἅμα δὲ καὶ δεομένη καὶ ἱκετεύουσα καὶ θαρροῦσα τῇ
σῇ περὶ πάντα φιλανθρωπίᾳ, ὅτι οὐδενὸς ἀποτεύξεται.
εἶτα ἀξιώσεις ἀναγνωσθῆναι τὸ ψήφισμα. ἔστω δέ σοι 297
ὁ λόγος μὴ πλειόνων ἑκατὸν πεντήκοντα ἢ καὶ δια-
κοσίων ἐπῶν.

www.libtool.com.cn

ΠΕΡΙ ΠΡΕΣΒΕΥΤΙΚΟΥ.

Ἐὰν δὲ ὑπὲρ πόλεως καμνούσης δέῃ πρεσβεῦσαι, 13
ἐρεῖς μὲν καὶ ταῦτα ἃ προείρηται ἐν τῷ στεφανωτικῷ,
πανταχοῦ δὲ τὸ τῆς φιλανθρωπίας τοῦ βασιλέως αὐξή-
σεις, καὶ ὅτι φιλοικτίρμων καὶ ἐλεῶν τοὺς δεομένους, 10
καὶ ὅτι διὰ τοῦτο ὁ θεὸς αὐτὸν κατέπεμψεν, ὅτι ᾔδει
αὐτὸν ἐλεήμονα καὶ εὖ ποιοῦντα τοὺς ἀνθρώπους, καὶ
ὅταν εἴπῃς τὰ ἀπὸ τῆς ἀνδρείας ἐν τοῖς πολέμοις καὶ
τὰ ἀπὸ τῆς εἰρήνης ἀγαθά, ἥξεις ἐπὶ τὴν μνήμην τῆς
πόλεως, ὑπὲρ ἧς πρεσβεύεις. ἐν δὲ ταύτῃ δύο τόπους 15
ἐργάσῃ, ἕνα μὲν τὸν ἀπὸ τῆς τοῦ ἐναντίου αὐξήσεως,
οἷον ἦν ποτε τὸ Ἴλιον πόλις λαμπρὰ καὶ ὀνομαστοτάτη
τῶν ὑφ' ἥλιον πασῶν, καὶ ἀντέσχεν πρὸς τοὺς ἀπὸ τῆς
Εὐρώπης πολέμους τὸ παλαιόν· εἶτα τὸν ἐκ διατυπώ-
σεως, ἐν ᾧ καὶ διασκευάσεις τὴν παροῦσαν τύχην, ὅτι 20
πέπτωκεν εἰς ἔδαφος, καὶ μάλιστα ἐκείνων μνημονεύ- 298
σεις ἃ πρὸς τὴν χρείαν καὶ τὴν ζωὴν ἐκλαμβάνεσθαι
πέφυκε, καὶ ὧν εἰώθασιν οἱ βασιλεῖς προνοεῖσθαι,
οἷον ὅτι λουτρὰ συμπέπτωκεν, ὑδάτων ὀχετοὶ διεφθά-
ρησαν, κόσμος ὁ τῆς πόλεως συγκέχυται, καὶ τὰ τοιαῦτα 25
ἐλεεινολογησάμενος ἐπάξεις, ὅτι διὰ ταῦτα ἱκετεύομεν,
δεόμεθα, πρὸ τῶν γονάτων πίπτομεν, τὰς ἱκετηρίας
προτείνομεν· νόμιζε γὰρ τὴν τοῦ πρεσβευτοῦ φωνὴν
εἶναι πάσης τῆς πόλεως, δι' ἧς νόμιζε καὶ παῖδας καὶ
γυναῖκας καὶ ἄνδρας καὶ πρεσβύτας δάκρυα προχέειν, 30

Digitized by Google

παρακαλεῖν σε πρὸς ἔλεον. εἶτα ἀξιώσεις ἐπινεῦσαι αὐτὸν δεχθῆναι τὸ ψήφισμα.

ΠΕΡΙ ΚΛΗΤΙΚΟΥ.

14 Ἐὰν ἄρχοντα καλῇς εἰς πανήγυριν, ὡς ἔθος,
299 ἐρεῖς μὲν ἐν τοῖς προοιμίοις τὴν αἰτίαν τῆς ἀφίξεως καὶ
6 τῆς κλήσεως, ὅτι πέπομφεν ἡ πόλις πάλαι μὲν καὶ ἄνευ προφάσεως ποθοῦσα καὶ βουλομένη τῶν σοι προσόντων ἐξαιρέτων μετέχειν ὁσημέραι· πολὺ δὲ πλεῖον ἐπὶ τοῦ παρόντος, ὅτι καὶ πανήγυριν ἄγει καὶ δεῖται μείζονος
10 θεατοῦ πρὸς τὰ δρώμενα. εἶτα ἐρεῖς ἐγκώμιον τῆς πανηγύρεως, ἀφ' ἧς ἡ κλῆσις, εἰπὼν ὧδέ πως· ἵνα δὲ γνῷς τὴν ὑπόθεσιν καὶ τὴν πανήγυριν ἐφ' ἣν ἡ κλῆσις, μικρὸν ἄνωθεν ἄρξομαι, καὶ ἐρεῖς τῆς πανηγύρεως ἐγκώμιον, μετὰ δὲ τὴν πανήγυριν ἐπαινῶν καὶ λέγων
15 ὅτι τίθεται θεῶν τινι ἢ ἡρώων. μετὰ τὸν τῆς πανηγύρεως ἔπαινον ἐρεῖς ἐγκώμιον τῆς πόλεως, εἴ τι ἀρχαῖον ἔχεις, εἶτα τοῦ ἄρχοντος ἀναγκαίως. δεῖ γὰρ πρότερον ἐγκωμιάσαι τὴν πανήγυριν· τοῦτο γὰρ ἐνταῦθα τὸ προηγούμενον, ὅθεν ἄρχεσθαι μάλιστα δεῖ, εἶτα τὴν
20 πόλιν, καὶ μετὰ ταῦτα τὸν ἄρχοντα. προσθήσεις δὲ πανταχοῦ τὸ τῆς πανηγύρεως· πλέον γάρ τι ἐχέτω καὶ
300 οὗτος ὁ λόγος ὁ τῆς πανηγύρεως, διότι οὐχ ἁπλῶς κλήσίς ἐστιν, ἀλλὰ καὶ ἐπὶ πανήγυριν. διὸ ἔφαμεν δεῖν πανταχοῦ τὸ ἐξαίρετον τῆς ὑποθέσεως πλεονάζειν. λέγε
25 δὲ τὰ κατὰ τὴν πανήγυριν μετὰ τὸν ἄρχοντα οὕτως, ὅτι σεμνὴ καὶ ὅτι θαύματος ἀξία πολλοῦ, καὶ ὅτι θεάσῃ δήμους, πόλεις συνεληλυθυίας, ἀθλητὰς παντα χόθεν, τοὺς ἀρίστους κιθαριστάς, αὐλητάς, οὐκ ὀλίγους τῶν τὴν μουσικὴν μετιόντων ἀνδρῶν, οἳ σε περιμένουσι·
30 καὶ οὐδὲ τούτων οὐδεμίαν ἀπόλαυσιν ἕξειν ἡγούμενοι χωρὶς τῆς σῆς ἐπιδημίας καλοῦσιν ἐπὶ τὴν πανήγυριν

Digitized by Google

νῦν, ἵνα ὑπὸ σοὶ θεατῇ ταύτην τελέσωσι. τίς δὲ οὐ θαυμάζει πεισθέντα σε; τίς δὲ οὐ θέαμα τῆς πανηγύρεως αὐτῆς τάχα σεμνότερον ἴδοι σέ; εἶτα ἐρεῖς· αἰδεῖσθαι δέ σε δεῖ καὶ τὸν θεόν, ᾧ τελεῖται τὰ τῆς πανηγύρεως, καὶ χαρίζεσθαι τούτῳ· καὶ γὰρ εὐσεβὴς ὁμοῦ καὶ πείθεσθαι δόξεις. εἶτα ἐρεῖς· καὶ τὰ μὲν τῆς πανηγύρεως ἅπαντα παρεσκεύασται, μόνος δὲ σὺ ταύτῃ λείπεις, ὥστε ἥκοις ἄν. εἶτα συγκρινεῖς τὴν πανήγυριν ἑτέρᾳ πανηγύρει, δεικνὺς οὐκ εἰς μικράν τινα καὶ εὐτελῆ καλεῖν ἑορτήν. προσθήσεις δὲ ὅτι εἰ μὲν πεισθείης, ἐνδοξότερος ἐγὼ πείσας, ἐνδοξότερα δὲ τὰ δρώμενα, σεμνοτέρα δὲ ἡ πόλις, ὁ δὲ θεὸς ἡσθήσεται· εἰ δὲ ἀποτύχοιμι, ὅπερ οὐκ οἶομαι μηδὲ εἴη, ἄλλην ποῦ ὁδὸν ἐγὼ τραπήσομαι; τίς γάρ μοι τῆς πατρίδος ἔτι πόθος ἀποτυχόντι τῆς τυσαύτης πρεσβείας; ἡ δὲ πόλις ἀντὶ πανηγύρεως ἕξει συμφοράν, ὅπερ οὐδὲ λέγειν ἄξιον· οὐκοῦν σπεῦδε θᾶττον ἐπ' αἰσίοις συμβόλοις πεισθεὶς τῇ πόλει παρακαλούσῃ, σπεῦδε εἰς τὴν πανήγυριν· ὁ γὰρ τοῦ πρεσβευτοῦ λόγος φωνὴ τῆς πόλεως, ἵνα σου μετὰ τῶν ἄλλων πράξεων καὶ τοῦτο κατα- λέγωμεν.

Ἐὰν δὲ μήτε πανήγυρις μήτε ἱερομηνία τυγχάνῃ, δι' ἣν ἡ κλῆσις, ἀλλ' ἁπλῶς ἐπὶ πόλιν καλῇς, εὐθέως ἐν προοιμίοις ἐρεῖς· φθάνεις μὲν ἴσως καὶ πρὸ τῶν ἡμετέρων λόγων, εὖ διακείμενος πρὸς τὴν πόλιν τὴν ἡμετέραν, καὶ πόθον ἔχων τῆς θέας· καὶ γὰρ τοῦτο τεθρύληται· ὅμως δὲ κέρδος μέλλοντες κερδαίνειν οὐχὶ σμικρὸν ἥκομεν τῆς προαιρέσεως χάριν ἐκτινύντες διὰ τῆς εὐφημίας, καλοῦντες δὲ οὐδὲν ἧττον καὶ παρακαλοῦντες, ἐφ' ἣν σπεύδεις ἐλθεῖν. εἶτα ἐὰν ἀξίωμα ὁ καλῶν ἔχῃ λαμπρόν, ἐρεῖς τι καὶ περὶ τούτου ἐν προοιμίῳ δευτέρῳ· πολλοὶ μὲν οὖν τὴν

www.libnol.com.gr

Digitized by Google

χειροτονίαν ταύτην ἐμνήστευον καὶ πρέσβεις αἱρεθῆναι παρὰ τὴν σὴν μεγαλοπρέπειαν ἔσπευδον ἐσπούδαζον, ἡ πόλις δὲ εἵλετο τάχα που τῶν μνηστευσάντων οὐ τὸν χείρω, πάντως δὲ ἔξεστί σοι μαθεῖν τῶν Ἀθηναίων λόγων τὸν τρόφιμον. ἀτύφως δὲ ἐρεῖς τὸ προοίμιον ἐμφαίνων μὲν τὸ ἀξίωμα, μὴ παρεχόμενος δὲ φορτικὸν τὸν λόγον. μετὰ δὲ τὰ προοίμια ἥξεις ἐπὶ τὰ ἐγκώμια τῆς πόλεως, οὐ θέσιν μὲν ἐνταῦθα ἐκφράζων, οὐδὲ ἀέρων φύσεις, ἐπὶ δὲ τὰς πράξεις καὶ τὴν ἀξίαν μᾶλλον τρέψεις τὸν λόγον οὕτω πως· πάλαι μὲν οὖν ἐσεμνύνετο παλαιοῖς διηγήμασιν ἡμῖν ἡ πόλις Ἀλεξάνδρου καὶ τοῖς κάλλεσι τῶν οἰκοδομημάτων, νῦν δὲ ἁπάντων ἀμελήσασα τῶν τοιούτων ἐπὶ σοὶ μόνῳ σεμνύνεται. εἶτα εὐθὺς ἐρεῖς, εἴ τι λέγειν ἀρχαῖον ἔχοις τῆς πόλεως, καὶ μετὰ ταῦτα τὸν τοῦ ἄρχοντος ἔπαινον. τίς δὲ οὐκ ἂν ἄρα τὸν ἄνδρα ταῖς
303 ἀρεταῖς ὑπερβαίνοντα θαυμάσειεν. εἶτα ἐρεῖς περὶ τῶν ἀρετῶν τῶν τοῦ ἄρχοντος οἷός ἐστι· καὶ ἐὰν μὲν πρώτως ἐπιδημεῖν μέλλῃ, μετὰ τὰ ἐγκώμια τοῦ ἄρχοντος ἐρεῖς ἔκφρασιν διὰ βραχέων τῆς χώρας, εἶτα τῆς πόλεως, ὥσπερ προεἰρηται, λοιπὸν παρακαλέσεις ἐπὶ ταῦτα ἐλθεῖν· ἴθι τοιγαροῦν ταῦτα ἐποψόμενος, ἴθι προσθήσων τοῖς κάλλεσιν, ἄλλος Ἀλέξανδρος ἡμῖν γενόμενος εὐτυχής, πρὸς ὑποδοχὰς τῶν ἀρχόντων οὐδέποτ', οὐκ ἀέρων χάριν, οὐκ ἦθος ἀνδρῶν, οὔτε μετριότητα τρόπων, οὔτ' ἄλλης σεμνότητος· ἔστι γὰρ ἡμῖν ἡ πόλις ὥσπερ τέμενος ἀρετῶν. Ἀθηναῖοι μὲν οὖν ἐπὶ παλαιοῖς ἐσεμνύνοντο διηγήμασι καὶ μουσείοις καὶ λόγοις, ἡμῶν δὲ πολλοὶ τὰ τῶν Ἀθηνῶν ἠρήσαντο, μουσεῖον δὲ οὐδὲν ἧττον τὸ παρ' ἡμῖν τῶν παρ' ἐκείνοις· καὶ γὰρ ἀρίστους ἐκπέμπομεν καὶ οὐ τελείαν τὴν ἀρετὴν κτησαμένους παρ' ἐκείνων δεχόμεθα· οὗτοί

Digitized by Google

σε δορυφορήσουσιν, οὗτοί σε δεξιώσονται. εἶτα συγκρινεῖς τὴν πόλιν ἢ ταῖς Ἀθήναις ἢ τῇ Ῥώμῃ, ἢ ἄλλῃ τινὶ τῶν ἐνδόξων πόλεων, καὶ διὰ ταῦτα οὖν ὅτι οὐ- 304
δεμιᾶς τῶν ἐνδόξων λείπεται, προσήκει σοι ταύτην ἰδεῖν· ὥσπερ γὰρ ὁ πλούτῳ κομῶν καὶ περιουσίαν 5
ἔχων τοῖς ἑξαιρέτοις ὡραΐζεται, οὕτω προσήκει καὶ τὸν ἄρχοντα ταύταις ταῖς μεγίσταις τῶν πόλεων σεμνύνεσθαι καὶ παρὰ ταύτας σπεύδειν, ὅσαι τὸ μεῖζον ἔχουσι πλεονέκτημα, τοὺς λόγους, καὶ τὰ λοιπὰ πρὸς ἀρετὴν ἥκοντα. εἶτα διαγράψεις τῷ λόγῳ τὸν ὅλον 10
τόπον ὡς ἐπιλογικόν, ὃν δὴ διϊὼν ὄψεται, καὶ ὅλην παραπέμψεις αὐτὸν τῷ λόγῳ τὴν ὁδὸν ἐκφράζων ἠπείρους, ὄρη, πελάγη. εἶτα μετὰ ταῦτα ἐπιστρέφων αὐτὸν τῇ πόλει ἐρεῖς οἷα κάλλη διαδέξεται αὐτόν, καὶ οἷα προσαπαντήσει αὐτῷ τῆς πόλεως θεάματα, ἄλση 15
καὶ ποταμοί, καὶ ὅσα τοιαῦτα. προσθήσεις δὲ τοῖς ἐπιλόγοις καὶ ὅτι ἔστηκεν ἡ πόλις ἤδη πρὸ τῶν πυλῶν σὺν ὁλοκλήροις τοῖς γένεσι προαπαντῶσα, δεξιουμένη, εὐχομένη τῷ κρείττονι οὐκ εἰς μακράν σε θεάσασθαι· μὴ τοίνυν διαψεύσῃς αὐτὴν τῆς ἐλπίδος, μηδὲ εἰς 20
ἀκηδίαν τὴν προσδοκίαν αὐτῆς μεταβάλῃς. ὥσπερ γὰρ τὸν Ἀπόλλω πολλάκις ἐδέχετο τοῖς Σμινθίοις, ἡνίκα ἐξῆν θεοὺς προφανῶς ἐπιδημεῖν εἰς ἀνθρώπους, οὕτω 305
καὶ σὲ ἡ πόλις προσδέχεται, καὶ ποιηταὶ μὲν εὐτρεπεῖς ἔχοντες ἤδη Μουσῶν ἔργα πεποιημένα, καὶ συγ- 25
γραφεῖς, καὶ πάντες πρὸς ὕμνον σὸν καὶ εὐφημίαν εὐτρεπεῖς· καὶ νόμιζε τὴν πόλιν αὐτὴν παρεστῶσαν παρακαλεῖν καὶ τῶν παρ' αὐτῆς ἀρχαίων ὑπομιμνήσκειν, ὡς οὐδεμιᾶς τῶν ὑπηκόων λείπεται, τάχα που καὶ πολλῶν κρειττων· δίδου τι καὶ σεμνύνασθαι τῷ 30
πρεσβεύσαντι, καὶ γὰρ ἀκήκοας ὡς οὐ φαῦλος ἐν πρώτοις

www.libtool.com.cn

Digitized by Google

τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς
μηδὲ πόδας,
καθάπερ τις ἥρως πρεσβεύων παρ' Ὁμήρῳ φησί. πείθομαι δὲ σὺν ἐμαυτῷ καὶ τὸν Ἀπόλλω παρεῖναι τὸν Σμίνθιον· τί γὰρ οὐκ ἔμελλεν ἀνδρὶ μουσικῷ καὶ λογίῳ σοι προσεῖναι.

Ἐὰν δὲ τύχῃ φθάσας τὴν θέαν τῆς πόλεως πρὸς ἣν ἡ κλῆσις αὐτῷ, αὐτὰ πάλιν ταῦτα τὰ τῆς πόλεως ὡς πρὸς εἰδότα ὑπομιμνήσκων λέγε, τὴν μὲν αὐτὴν ἀκολουθίαν τῶν κεφαλαίων σώζων ὡς ἤδη εἰρήκαμεν, μεθοδεύων δὲ ἄλλως τὰ ἐγκώμια, οἷον τυγχάνεις μὲν θεασάμενος τὸ κάλλος τῆς πόλεως καὶ θέσιν, εἰ δέ σε
306 ἤρηκεν ὁ πόθος, ἴθι καὶ δεύτερον καὶ πολλάκις· οἱ γὰρ ἐρασταὶ τῶν ἐρωμένων εἰώθασιν ἐμπιπλᾶσθαι μὲν πολλάκις, ἀποσχισθέντες δὲ καὶ εὐθὺς ἐρᾶν. καὶ τοιούτοις χρήσῃ νοήμασιν ἐν τοῖς κεφαλαίοις, εἰ δὲ βούλει καὶ ἀπὸ προοιμίων ἀκούειν, λεγέσθω πάλιν διὰ βραχέων. οὐκοῦν ἐν μὲν τῷ προοιμίῳ εὐθὺς ἐρεῖς, ἤρηκας τὴν πόλιν τὴν ἡμετέραν τῷ πόθῳ, ὦ πάντων ἀρχόντων ἄριστε, καὶ τοῦτό σοι τῶν ἐρώτων σημεῖον ἔσται, πέπομφε πάλιν καλοῦσα καὶ δεύτερον οὐδεμίαν ἡμέραν ἐνεγκεῖν δυνηθεῖσα, ἀλλ' ὥσπερ οἱ μανικοὶ τόξοις πληγέντες ἐρώτων οὐκ ἀνέχονται μὴ τοὺς ἐρωμένους ὁρᾶν, οὕτως ἐπὶ σοὶ ἐκχυθεῖσα ἡ πόλις μικροῦ μὲν ἅπασα ἐκινδύνευεν εἰσδραμεῖν· πέπομφε δὲ ὃν ᾤετο μάλιστα πείσειν σε τὸ δεύτερον· ἠύχετο μὲν οὖν τῷ θεῷ μηδὲ τὴν ἀρχὴν ἀπολιπεῖν, μηδὲ ἄλλην προτιμοτέραν ἑαυτῆς ἡγήσασθαι. ἐπεὶ δὲ νικᾷς ἐν πᾶσι καὶ ἔδει παραχωρεῖν ἕως ἐξῆν, συγχωρήσατα πάλιν ἱκε-
30 τεύει παρ' αὐτὴν ἐλθεῖν σε καὶ δεύτερον. εἶτα ἐπιβαλεῖς τὰ ἐγκώμια τῆς πόλεως ἐκ μεταχειρίσεως λέγων·
307 εἰ μὲν οὖν ἠγνόεις παρ' ἣν σπεύδεις, ἔδει καὶ διδάσκειν

τυχόν· εἰ δὲ τὴν Ἀλεξάνδρου πόλιν τοῦ Διὸς οὐκ ἀγνοεῖς, οὐδὲ τῶν ἀρχαίων οὐδὲ τῶν παρ' ἡμῖν οὐδὲν ἴσως ἀγνοοῦντί σοι ἐρῶ; καὶ ἔξεις λοιπὸν τῆς μνήμης καιρὸν τῶν ἀρχαίων· διὰ γὰρ τούτων σε ἐλθεῖν ἔσπευσε παρ' ἑαυτὴν καὶ πρότερον, νῦν δὲ οὐκ ἀξιοῦσα παρο- 5
φθῆναι μᾶλλον ταύτην πεποίηται τὴν κλῆσιν, ἀλλὰ τοὐναντίον ἀξιοῦσά σε διὰ τὰς ἀρετὰς ἰδεῖν· οὐ γὰρ ἀγνοεῖ τὴν σὴν δικαιοσύνην, οἷς καὶ συνάψεις αὐτοῦ τὰ ἐγκώμια πανταχοῦ προστιθεὶς ἐφ' ἑκάστου τῶν ἐπιχειρημάτων τὸ ὅτι διὰ ταῦτά σε καλεῖ. δεῖ γὰρ ἐν 10
τοῖς κλητικοῖς καὶ τὰς αἰτίας τῆς κλήσεως προστιθέναι, ἵνα τὸ ἴδιον ἔχῃ τοῦ κλητικοῦ, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις ὑποθέσεσι τὰ ἑκάστῃ οἰκεῖα. μετὰ δὲ τὰ ἐγκώμια τοῦ ἄρχοντος ἐκ μεθόδου πάλιν ἐρεῖς, πρότερον μὲν τὴν θέσιν τῆς χώρας καὶ τῆς πόλεως, εἶτα τὸ κάλλος τῆς 15
πόλεως· ὡραΐζεται μὲν γὰρ ἡ πόλις κάλλεσιν ἱερῶν καὶ στοῶν καὶ λουτρῶν μεγέθεσιν, ὡς αὐτὸς ἑώρακας, ἀλλὰ ταῦτα σύμπαντα μικρὰ πρὸς τὴν σὴν θέαν ὑπο-
λαμβάνει· τί γὰρ οὐκ ἐξαίρετον τῶν παρ' ἡμῖν; τί δ' 308
οὐ κάλλιστον; οὐχ ἵππων ἅμιλλαι; οὐ θεάτρων τέρψεις 308
καὶ πανηγύρεων; καὶ ὅσα τοιαῦτα προείρηται ἡμῖν ἐπὶ 21
τοῦ φθάσαντος κλητικοῦ ἐρεῖς.

Εἰ δὲ παρὰ πόλιν καλοίης ἄρχοντα μὴ πάνυ τι σεμνὸν μηδὲ ἀρχαῖον ἔχουσαν, ὅπερ οὐκ οἶμαι, τὴν θέσιν ἐρεῖς μετὰ τὰ προοίμια τῆς χώρας, εἶτα τῆς 25
πόλεως, εἶτα τοῖς ὅλοις ἐφεξῆς χρήσῃ κεφαλαίοις· ἀνα-
πληρώσει γάρ σοι ἡ θέσις τὸν τῆς πόλεως ἔπαινον. ἔνιοι δὲ διαιροῦσι τὸν κλητικὸν μετὰ τὰ προοίμια, ἕτεροι δὲ κατὰ ἕνωσιν ὡς ἂν εἴποι τις τὸ τῆς πόλεως ἐγκώμιον καὶ τὸ τοῦ ἄρχοντος προάγοντες, τοῖς δὲ 30
ἄλλοις οὕτως, ὡς ἤδη φθάσαντες εἴπομεν, χρώμενοι· κατὰ ἕνωσιν δὲ ἔφην οὕτως, οἷον θαυμαστὸν μὲν ἡμεῖς

www.libtool.com.cn
Digitized by Google

αὐχοῦμεν οἰκιστήν, οὕτω δὲ γένος φιλάνθρωπον ἡ πόλις, καὶ τούτου τὸ πλεονέκτημα. ἢ τοὐναντίον τὰ τοῦ ἄρχοντος προτάττουσιν, ὅπερ ἄμεινον, τὰ δὲ τῆς πόλεως τοῖς ἐκείνου ὑποβάλλουσιν, οἷον γένος σοι λαμπρὸν καὶ ἡμῖν οἰκιστὴς θαυμαστός· δίκαιος, οὐδὲ ἡ πόλις ἀμοιρεῖ τοῦ πλεονεκτήματος· φιλανθρωπίαν 309 τιμᾷς, καὶ ἡ πόλις ἡ καλοῦσα φιλάνθρωπος. προάξεις δὲ καὶ τὸν κλητικόν, ὡς ἂν αὐτὸς ἔχειν δοκιμάσῃς.

www.libtool.com.cn

ΠΕΡΙ ΣΥΝΤΑΚΤΙΚΟΥ.

Ὁ συνταττόμενος δῆλός ἐστιν ἀνιώμενος ἐπὶ τῷ 11 χωρισμῷ, καὶ εἰ μὴ ὄντως ἀνιᾶτο, προσποιήσεται πεπονθέναι πρὸς ἐκείνους οἷς συντάττεται. προὔλαβε μὲν ὁ θεῖος Ὅμηρος καὶ τοῦτο τὸ εἶδος· κινῶν γὰρ ἐκ τῆς Φαιακίας Ὀδυσσέα ποιεῖ συνταττόμενον αὐτὸν Ἀλκινόῳ καὶ Φαίαξι καὶ μικρὸν ὕστερον Ἀρήτῃ τῇ Ἀλκινόου, καὶ περιτέθεικεν αὐτῷ συνταττομένῳ τῇ γυναικὶ ταῦτα τὰ ἔπη,

χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς εἰσόκε γῆρας
ἔλθοι καὶ θάνατος, τάτ' ἐπ' ἀνθρώποισι πέλονται,
αὐτὰρ ἐγὼ νέομαι, σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ
παισί τε καὶ λαοῖσι, καὶ Ἀλκινόῳ βασιλῆι.

πρὸς δὲ τοὺς Φαίακας καὶ Ἀλκινόῳ ἡνίκα συνετάττετο φησὶν αὐτὸν εἰρηκέναι ἐν τῇ ῥαψῳδίᾳ ταῦτα·

310 Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί·
ἤδη γὰρ τετέλεσται ἃ μοι φίλος ἤθελε θυμός,
πομπὴ καὶ φίλα δῶρα,

καὶ τὰ ἑξῆς. ἐπειδὴ δὲ δεῖ τὸν ῥήτορα καὶ περιεργότερον χρῆσθαι τῷ εἴδει καὶ ἐξεργασίᾳ πλείονι, φέρε 30 μὴ ἀφιστάμενοι τοῦ Ὁμηρικοῦ ἔθους διέλωμεν. χάριν ὁμολογήσει τῇ πόλει, ἐξ ἧς ἡ ἐπάνοδος, ἐπαινέσεις δὲ

Digitized by Google

αὐτήν, ὁπόθεν ἂν ὁ καιρὸς αὐτῇ διδῷ τὰ ἐγκώμια, οἷον ἀπὸ τῶν ἀρχαίων εἴ τι σεμνὸν ἔχοις, ἀπὸ τῶν ἀέρων, ἀπὸ τοῦ εἴδους τοῦ κάλλους, οἷον ἀπὸ στοῶν καὶ λιμένων καὶ ἀκροπόλεως καὶ ἱερῶν πολυτελῶν καὶ ἀγαλμάτων. ἐπαινέσεις δὲ μετὰ ταῦτα καὶ τὰς ἐν αὐτῇ πανηγύρεις καὶ ἱερομηνίας καὶ μουσικὰ θέατρα καὶ ἀγώνων διαθέσεις, πανταχοῦ παραπλέκων, ἵνα μὴ ἁπλοῦν γένηται ἐγκώμιον, τὸ ὅτι ἀνιᾶται μέλλων τούτων χωρίζεσθαι ἐφ' ἑκάστῳ σχεδὸν εἰπεῖν τῶν νοημάτων, ἵνα συντακτικὸν εἶδος ὁ λόγος λάβῃ. ἐπαινέσεις δὲ καὶ τοὺς ἄνδρας, οἷον ἱερέας, εἰ τύχοι, δαδούχους τε καὶ ἱεροφάντας καὶ τὰ ἤθη τῶν ἀνδρῶν, ὅτι ἥμεροι καὶ φιλόξενοι, καὶ ἑτέροις δὲ ὁμοίως συντάξεται, κἀνταῦθα ἐνδεικνύμενος τὸ καὶ ἀλγεῖν καὶ δακρύειν 311 ἐπὶ τῷ χωρισμῷ. μετὰ δὲ τὸ πρῶτον μέρος ἥξεις πάλιν ἐφ' ἕτερον μέρος, ἐν ᾧ μνησθήσεται καὶ τῶν τόπων, εἰς οὓς ἐπανελεύσεται. καὶ εἰ μὲν εἶεν ἄγνωστοι οἱ ἄνδρες παρ' οὓς καὶ σπεύδειν ἔκρινεν, ἐρεῖς· πῶς ἄρα ἡμᾶς ὑποδέξονται, τίνες ἄρα πάλιν συνήθεις; εἰ δὲ παρὰ τὴν αὐτοῦ πατρίδα σπεύδει, ἐρεῖς· τίς γὰρ οὐ ποθήσει τὴν οἰκείαν; ἴσως γὰρ ἀκούετε καὶ ὑμεῖς· ἔνδοξος γὰρ καὶ λαμπρὰ παρὰ πᾶσιν ἡμῶν ἡ πόλις. εἶτα συνεύξῃ που τούτοις παρὰ τῶν ποιητῶν ἐξελὼν τὰ κάλλιστα, καὶ ὅτι πολλῶν ἂν χρημάτων προτιμήσειας πυνθάνεσθαι δὴ περὶ αὐτῶν τὰ βέλτιστα, καὶ ὅτι ἐπιλήσῃ αὐτῶν οὐδέποτε, καὶ ὅτι διαδώσεις λόγον ἁπανταχοῦ θαυμάζων αὐτῶν τὰ ἐξαίρετα. συνεύξῃ δὲ ἑαυτῷ καὶ πλοῦν ἀγαθὸν καὶ ἐπάνοδον χρηστήν, καὶ ὅ τι ἂν οὕτω τύχῃ, καὶ εἰ παῖδας ποιήσειας, ἀποστελεῖς αὐτοὺς ὀψομένους τὴν αὐτὴν πόλιν.

Ἐὰν δὲ τῇ πατρίδι συντάττεσθαι μέλλῃς, ἔστω μέν σοι ὁμοίως τὰ πάτρια ἐρωτικά, καὶ ἐχέτω μὲν ἔνδει-

www.liotool.com.cn

Digitized by Google

312 ξιν τῆς λύπης ὁ λόγος, ἣν ἔχεις τῶν τοσούτων καλῶν
κἀγαθῶν χωριζόμενος, τὰ δὲ δεύτερα τοῦ λόγου ἐχέτω
ἔπαινον τῆς πόλεως, ἐφ' ἣν σπεύδεις, οἷον τῆς δόξης,
τῆς εὐκλείας, ὅτι πυνθάνομαι τὴν πόλιν εἶναι μεγάλην
5 καὶ θαυμαστήν, ὅτι ἀκούω λόγων αὐτὴν εἶναι καὶ
Μουσῶν ἐργαστήριον. ἐνδιατρίψεις δὲ τῷ λόγῳ τῷ
περὶ τῆς χρείας καὶ τῆς αἰτίας, δι' ἣν ἐπείγῃ, ὅτι ἐκεῖ
πυνθάνομαι Πιερίαν ὄντως, ἐκεῖ τὸν Ἑλικῶνα· καὶ
ὅταν αὐξήσῃς τοῦτο τὸ μέρος, καὶ τὴν χρείαν ἐρεῖς δι'
10 ἣν σπεύδεις· δεῖ γὰρ ταῖς ἀνάγκαις τοῦτο θεραπεύειν·
ὁρῶμεν δὲ καὶ τὴν φύσιν τοῦ παντὸς πειθομένην ταῖς
τῆς φύσεως ἀνάγκαις, καὶ ὡς ὁ πατὴρ τῶν ὅλων ἐνο-
μοθέτησε. διὸ καὶ πᾶσα ἀνάγκη τῷ νόμῳ πείθεσθαι
τῆς πατρίδος. τοῦτο δέ σοι ἁρμόσει λέγειν οὐχ ὅταν
15 ἀπὸ τῆς αὐτοῦ πατρίδος ἐφ' ἑτέραν σπεύδῃς γῆν, ἀλλ'
ὅταν ἀπ' ἄλλης εἰς τὴν σαυτοῦ πατρίδα καλῇ. ἐρεῖς δὲ
ἐν τούτῳ, ὅτι λαμπρὰ καὶ μεγάλη ἡ πατρὶς καὶ ἀξία
ποθεῖσθαι, ἀλλ' ὅμως ὑμεῖς ἐμοὶ ποθεινότεροι. καλὸν
μὲν καὶ τὸ περιπτύξασθαι γονέας καὶ ἀδελφοὺς καὶ
20 γένος, ἀλλ' ὅμως οὐ μείονας ἔχω καὶ περὶ ὑμᾶς τοὺς
ἔρωτας· ἀλλὰ τί γὰρ δεῖ ποιεῖν· ἀνάγκη γὰρ ἐπείγει.
313 ταῦτα δὲ ἐρεῖς, ὅταν εἰς τὴν ἑαυτοῦ πατρίδα, ὡς ἔφα-
μεν, ἀπὸ τῆς ἀλλοδαπῆς ἀπαίρειν μέλλῃς. ἐρεῖς δὲ
ἐν ἀρχῇ τοῦ δευτέρου μέρους τῆς συντακτικῆς ταῦτα
25 εὐθὺς μετὰ τὰ ἐρωτικά, εἶτα δὲ ἄλλα τάξεις ἐφεξῆς,
ὡς ἔφαμεν.

Ἐπανέλθωμεν δὴ πάλιν εἰς τὸν προκείμενον λόγον,
ὅταν τις ἀπαίρειν ἀπὸ τῆς ἰδίας πατρίδος εἰς ἄλλην
πόλιν βούληται. οὐκοῦν ἐφεξῆς μετὰ τὰ προειρημένα
30 περὶ τούτου, λέγω δὴ μετὰ τὸ εἰπεῖν ὅτι πυνθάνομαι
τὴν Πιερίαν ὄντως ἐκεῖ τυγχάνειν καὶ τὸν Ἑλικῶνα,
ὡς ἐνδέχεται ἔτι τῆς ἡλικίας λόγους πονεῖν. εἶτα ἐπά-

www.libook.com.cn
Digitized by Google

ξεις πάλιν, ὅτι ἐρανιοῦμαι καὶ λόγους καὶ φιλοσοφίαν, μαθήσομαι δι' ὑμᾶς καὶ τὴν κοινὴν πατρίδα, καὶ ὅταν αἴσθωμαι τελέως οἷός τε ὢν τὴν ἐνεγκοῦσαν ὠφελεῖν, τότε πάλιν ποθήσω τὴν πόλιν καὶ τὸ γένος. τίς γὰρ Ἴβηρσι παρατυχὼν ἢ παρὰ Λωτοφάγους ἀφικόμενος οὐκ ἂν ὑμᾶς προτιμήσειεν,

ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων,
ὡς Ὅμηρός πού φησι,
ἧς γαίης καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι.

μετὰ δὲ ταῦτα συνεύξῃ τῇ τε πόλει τὰ κάλλιστα, καὶ σαυτῷ περὶ τῆς ὁδοῦ καὶ περὶ τοῦ τυχεῖν τούτων ὧν σπουδάζεις σὺν ἀγαθῇ καὶ λαμπρᾷ τύχῃ, καὶ περὶ τῆς 314 ἐπανόδου πάλιν· καλλωπίσεις δὲ τὸν λόγον καὶ εἰκόσι καὶ ἱστορίαις καὶ παραβολαῖς καὶ ταῖς ἄλλαις γλυκύτησι καὶ ἐκφράσεσί τισιν ἐν τῷ ἐπαίνῳ τῆς πόλεως, στοῶν καὶ λιμένων καὶ ποταμῶν καὶ πηγῶν καὶ ἄλσεων, καὶ ἤθος δὲ περιθήσεις τῷ λόγῳ μέτριον καὶ ἁπλοῦν καὶ δεξιόν, τὴν ἐπιείκειαν πανταχοῦ ἐμφανίζων μετὰ τοῦ μὴ καθαιρεῖν τὸ ἀξίωμα μηδὲ ὑποπεπτωκέναι. μεμνῆσθαι δέ σε χρὴ τοῦ θεωρήματος, ὅτι πᾶσα ἀνάγκη καὶ πρώτην ἐπαινεῖν καὶ πρώτην θαυμάζειν τὴν πόλιν πρὸς ἣν ἂν ὁ λόγος σοι γίγνηται, ἀφορᾶν δὲ χρὴ καὶ πρὸς τὰς πόλεις, εἰς ἃς σπεύδει τις, καὶ εἰ μὲν ἐφάμιλλοί εἰσιν αἱ πόλεις ἢ ὀλίγῳ βελτίους ἢ καὶ πολλῷ τῆς πόλεως, πρὸς ἣν ἂν συντάττηταί τις, ἐρεῖς, ὅτι οὐ μείων ἐκείνης αὕτη· δεῖ γὰρ μηδαμῶς καθαιρεῖν τὴν πόλιν ἣν ἐπαινεῖν προειλόμεθα καὶ πρὸς ἣν συντατόμεθα. εἰ δὲ πολλῷ ἐλάττους εἶεν αἱ πόλεις, παρ' ἃς ἂν σπεύδῃ τις, τότε τὴν χρείαν αὐξήσεις, δι' ἣν σπεύδει, ὅτι κρείττων μὲν ἡ ὑμετέρα πόλις πρὸς ἣν συντάττομαι, ἡ δὲ ἀναγκαία χρεία τοῦ κτήματος, ὃ βουλόμεθα ἐρανίσασθαι, μόλις ἂν δι' ἐκείνης γένοιτο. 315

ἔστω δέ σου τὸ μέτρον τοῦ λόγου ἡ χρεία. καὶ εἰ μὲν ὡς ἐν λαλιᾷ, βραχὺς δὲ ὁ τῆς λαλιᾶς λόγος, διὰ συντόμων ἐρεῖς, καὶ μάλιστα ὅταν πρὸς τῇ λαλιᾷ ταύτῃ μέλλῃς ἕτερον εὐθὺς παρέχεσθαι λόγον· εἰ δὲ συντάξασθαι μόνον προθυμηθείης, καὶ ταύτην ἐπίδειξιν μόνον κατ' ἐκείνην τὴν ἡμέραν ποιήσασθαι, προάξεις τὴν συντακτικὴν συγγραφικῶς καὶ ἄχρι διακοσίων στίχων ἢ τριακοσίων, εἰ βουληθείης, καὶ οὐδείς σοι μέμψεται εὖ φρονῶν.

www.libtool.com.cn

ΠΕΡΙ ΜΟΝΩΔΙΑΣ.

Ὅμηρος ὁ θεῖος ποιητὴς τά τε ἄλλα ἡμᾶς ἐπαίδευσε καὶ τὸ τῆς μονῳδίας εἶδος οὐ παραλέλοιπε· καὶ γὰρ Ἀνδρομάχῃ καὶ Πριάμῳ καὶ τῇ Ἑκάβῃ λόγους μονῳδικοὺς περιτέθεικεν οἰκείους ἑκάστῳ προσώπῳ, ὥσπερ ἐκδιδάξαι βουλόμενος ἡμᾶς μηδὲ τούτων ἀπείρως ἔχειν. χρὴ τοίνυν λαβόντας παρὰ τοῦ ποιητοῦ τὰς ἀφορμὰς ἐπεξεργάζεσθαι ταύτας γνόντας τὸ θεώρημα, ὁποῖον ὁ ποιητὴς παρέδωκεν. τί τοίνυν ἡ μονῳδία βούλεται; θρηνεῖν καὶ κατοικτίζεσθαι, κἂν μὲν μὴ προσήκων ἢ ὁ τεθνεώς, αὐτὸν μόνον θρηνεῖν τὸν ἀπελθόντα, παραμιγνύντα τὰ ἐγκώμια τοῖς θρήνοις καὶ συνεχῶς τὸν θρῆνον ἐμφανίζειν, ἵνα μὴ ἀπολύτως ἐγκώμιον ᾖ, ἀλλ' ἵνα πρόφασις τοῦ θρήνου ᾖ τὸ ἐγκώμιον· ἂν δὲ προσήκων ᾖ, οὐδὲν ἧττον καὶ αὐτὸς ὁ λέγων οἰκτιεῖται ἢ ὅτι ὀρφανὸς καταλέλειπται, ἢ ὅτι ἀρίστου πατρὸς ἐστέρηται καὶ τὴν ἐρημίαν ὀδύρεται τὴν ἑαυτοῦ αὐτός. ἐὰν δὲ καὶ πόλεώς τύχῃ προεστὼς ὁ μεταστάς, ἐρεῖς τι καὶ περὶ αὐτῆς τῆς πόλεως μεταχειριζόμενος, καὶ ταύτης τὰ ἐγκώμια πρὸς τὴν ὑπόθεσιν, ὅτι λαμπρὰ μὲν ἡ πόλις, ὁ δὲ ἐγείρας αὐτὴν ὁ πεπτωκώς ἐστιν. ἢ οὕτω, τίς ἐπιμελήσεται, τίς διασώσει, καθάπερ ἐκεῖνος; ἐὰν

Digitized by Google

δὲ νέος τύχῃ ὁ τελευτήσας, ἀπὸ τῆς ἡλικίας τὸν θρῆνον κινήσεις, ἀπὸ τῆς φύσεως ὅτι εὐφυής, ὅτι μεγάλας παρέσχεν τὰς ἐλπίδας, καὶ ἀπὸ τῶν συμβάντων, ὅτι ἀνύειν τι ἔμελλε μετὰ μικρὸν ὁ θάλαμος, ἔμελλον αἱ παστάδες· ἀπὸ τῶν περὶ τὴν πόλιν, ὅτι ἡ πόλις ἐπίδοξος ἦν ἕξειν τὸν προστησόμενον, τὸν δημηγορήσοντα, τὸν ἀγῶνα διαθήσοντα. πανταχοῦ δὲ ἐκ μεταχειρίσεως αὐτὰ ταῦτα ἀφορμὰς ποιεῖσθαι τῶν θρήνων δεῖ. χρὴ τοίνυν ἐν τούτοις τοῖς λόγοις εὐθὺς μὲν σχετλιάζειν ἐν ἀρχῇ πρὸς δαίμονας καὶ πρὸς μοῖραν ἄδικον, πρὸς πεπρωμένην νόμον ὁρίσασαν ἄδικον, εἶτα ἀπὸ τοῦ κατεπείγοντος εὐθὺς λαμβάνειν. οἷον ἐξήρπασαν, οἷα κατὰ τοῦ πεσόντος ἐκώμασαν. ἀλλ' ἵνα μὴ πολλὰ τοιαῦτα λέγωμεν, ἁπλῶς χρήσῃ ταύτῃ τῇ τέχνῃ, καὶ διαιρήσεις πρὸς τὰς τοιαύτας ὑποθέσεις τὸν λόγον. διαιρήσεις δὲ τὴν μονῳδίαν εἰς χρόνους τρεῖς, τὸν παρόντα εὐθὺς καὶ πρῶτον· μᾶλλον γὰρ ὁ λόγος κινητικώτερος εἴη ἀπὸ τῶν ἐπ' ὄψιν καὶ τῶν νῦν συμβάντων, οἰκτίζων τε, εἰ τὴν ἡλικίαν ἢ τὸν τρόπον τοῦ θανάτου λέγοι τις, εἰ μακρᾷ νόσῳ περιπεπτωκὼς εἴη, εἰ ὀξὺς ὁ θάνατος ἀπὸ τῆς συνόδου τῶν παρόντων, ὅτι συνεληλύθασιν οὐκ εἰς θέατρον εὔδαιμον, οὐκ εἰς θέαν εὐκταίαν. εἶτα ἀπὸ τοῦ παρεληλυθότος χρόνου, οἷος ἦν ἐν νέοις ὅτε ἦν νέος, οἷος ἐν ἀνδράσιν ἀνὴρ τυγχάνων, ὅπως ὁμιλητικός, ὅπως ἥπιος, ὅπως ἐπὶ λόγοις διαπρέπων, ὅπως ἐν νεανίσκοις καὶ ἡλικιώταις γαῦρος, οἷος ἐν κυνηγεσίοις, οἷος ἐν γυμνασίοις. ἀπὸ δὲ τοῦ μέλλοντος, οἵας εἶχεν ἐλπίδας ἐπ' αὐτῷ τὸ γένος, εἶτα ἀποστροφῇ χρήσῃ ὦ γένος λαμπρὸν καὶ εὐδόκιμον ἄχρι τῆς παρούσης ὥρας, κομᾷς μὲν ἐπὶ χρυσῷ καὶ ὅλβῳ καὶ εὐγενείᾳ τῇ θρυλουμένῃ, ἀλλ' ἅπαντα

Digitized by Google

318 συνέχεεν καὶ ἀνεσκεύασεν ὁ πεσών. τί τοιοῦτον κειμήλιον κέκτησαι, οἷον ἀποβέβληκας; συνοδύρου οὖν καὶ πατρὶ καὶ μητρί, καὶ αὐξήσεις τὸν οἶκτον, οἵων ἐλπίδων ἐστέρηνται. καὶ ἀπὸ τῆς πόλεως ἐπιχειρήσεις λέγων πάλιν, οἷος ἂν περὶ αὐτὴν ἐγένετο, οἷον ἂν παρέσχεν ἑαυτὸν εἰς φιλοτιμίαν, καὶ οἷον παρεῖχεν. κἂν μὲν τῶν πολιτευομένων ᾖ, ἐρεῖς τούτων τὰ πολλὰ ἐν τῷ παρεληλυθότι χρόνῳ· εἰ δὲ τῶν μελλόντων προστάττειν, ταῦτα ἐρεῖς ἐν τῷ μέλλοντι, καὶ ὅλως ἐφαρμόσεις τοῖς χρόνοις ἀεὶ τὰ ἀπὸ τῶν προσώπων. εἶτα μετὰ τοὺς τρεῖς χρόνους διαγράψεις τὴν ἐκφοράν, τὴν σύνοδον τῆς πόλεως· εἶθε μὲν οὖν προεπέμπετο εἰς θάλαμον, εἶθε μὲν οὖν εἰς ἀποδημίαν, ἐξ ἧς ἔμελλεν ἐπανιέναι, εἶθε ἀκροασόμενοι λόγων αὐτοῦ συνεληλύθειμεν. εἶτα διατυπώσεις τὸ εἶδος τοῦ σώματος, οἷος ἦν ἀποβεβληκὼς τὸ κάλλος, τὸ τῶν παρειῶν ἐρύθημα, οἷα γλῶττα συνέσταλται, οἷος ἴουλος ἐφαίνετο μαρανθείς, οἷοι βόστρυχοι κόμης οὐκέτι λοιπὸν περίβλεπτοι, ὀφθαλμῶν δὲ βολαὶ καὶ γλῆναι κατακοιμηθεῖσαι, βλεφάρων δὲ ἕλικες οὐκέτι ἕλικες, ἀλλὰ συμπεπτωκότα πάντα. εὔδηλον δὲ ὡς αἱ μονῳδίαι εἰώθασιν ἐπὶ νεωτέροις λέγεσθαι, ἀλλ' οὐκ ἐπὶ γεγηρακόσι· τοὺς γὰρ πρεσβύτας ὡς νέους ἐν μονῳδίᾳ
319 θρηνεῖν, πῶς οὐ περιττὸν ὄντως καὶ μάταιον; ῥηθείη δ' ἂν μονῳδία καὶ ἀνδρὸς ἐπὶ τῇ αὐτοῦ γυναικὶ λέγοντος· ἐχέτω δὲ μνήμην καὶ ζώων ἀλόγων, οἷον οὐδὲ ἄλογα ζῶα, οἷον βοῦς ἢ ἵππος ἢ κύκνος ἢ χελιδὼν ἀνέχεται χωριζόμενα ἀλλήλων, ἀλλ' ἐπισημαίνει τῇ φωνῇ ὀδυρόμενα, οἷον ὁ κύκνος ἀνεὶς τὸ πτερὸν τῷ Ζεφύρῳ δακρύει τὸν σύννομον, καὶ χελιδὼν ὀδύρεται καὶ τὴν μουσικὴν εἰς θρῆνον μεταβάλλει πολλάκις καὶ ἐπὶ τῶν πετάλων τῶν δένδρων ἱζάνουσα κατο-

Digitized by Google

δύρεται. ἔστω δὲ μὴ πέρα τῶν ἑκατὸν πεντήκοντα ἐπῶν ὁ λόγος διὰ τὸ μὴ ἀνέχεσθαι τοὺς πενθοῦντας μακρᾶς σχολῆς μηδὲ λόγων μήκους ἐν συμφοραῖς καὶ ἀκαιρίαις. ἡ μονῳδία δὲ ἀεὶ ἄνετος.

www.libtool.com.cn

ΠΕΡΙ ΣΜΙΝΘΙΑΚΟΥ.

Δεῖ μὲν ὁμολογεῖν σε εὐθὺς ἐν προοιμίῳ τῷ πρώτῳ, ὅτι δεῖ τὸν λόγους κτησάμενον ἀποδοῦναι λογίῳ θεῷ τὰς χάριτας διὰ τῶν λόγων οὓς δι' αὐτὸν τὸν μουσηγέτην κεκτήμεθα, ἄλλως τε καὶ ὅτι προστάτης καὶ συνεργὸς τῆς ἡμετέρας πόλεως, οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀνέκαθεν, ὥστε διπλῆν τὴν χάριν ὀφείλεσθαι, ὑπέρ τε τῶν λόγων ὑπέρ τε τῶν εὐεργεσιῶν, καὶ τρίτον ὅτι καὶ ἄλλως ὁμολογούμενόν ἐστι δεῖν ἀνυμνεῖν τοὺς κρείττονας, καὶ τῆς εἰς αὐτοὺς εὐφημίας μηδέποτε ῥᾳθυμεῖν. τὸ δεύτερον ἐργάσῃ λαβὼν τοιαύτην ἔννοιαν· Ὅμηρος μὲν οὖν πάλαι ὕμνους καὶ τῇ μεγάλῃ ποιήσει τοὺς πρὸς ἀξίαν ὕμνους εἴρηκε τοῦ θεοῦ καὶ παρέλιπε τοῖς μετ' αὐτὸν ὑπερβολὴν οὐδεμίαν, καὶ ὅτι αἱ Μοῦσαι καθ' Ἡσίοδον πρὸς τὴν ἀξίαν ὑμνοῦσιν ἀεὶ τὸν Ἀπόλλωνα· προὔλαβε δὲ καὶ Πίνδαρος ὕμνους γράφων εἰς τὸν θεὸν ἀξίους τῆς ἐκείνου λύρας· ὅμως δ' ἐπειδήπερ εἰώθασιν οἱ κρείττους καὶ τὰς σμικροτάτας τῶν θυσιῶν ἀποδέχεσθαι, ὅταν γίγνωνται εὐαγῶς, οὐκ ἀφέξομαι δὴ καὶ αὐτὸς κατὰ δύναμιν ὕμνον ἀναθεῖναι Ἀπόλλωνι. εὔχομαι δὲ αὐτῷ τῷ Σμινθίῳ Ἀπόλλωνι δύναμιν ἐμποιῆσαι τῷ λόγῳ ἀρκοῦσαν πρὸς τὴν παροῦσαν ὑπόθεσιν. τρίτον· εἰ μὲν οὖν ἡρώων τινὸς ἔμελλον λέγειν ἐγκώμιον, οὔτ' ἂν διηπόρησα περὶ τῆς ἀρχῆς, οὐδ' ὅθεν δεῖ πρῶτον τὴν ἀρχὴν τοῦ λόγου ποιήσασθαι. ἐπεὶ δέ μοι καὶ ὁ λόγος τετόλμηκεν εἰς τὸν μέγιστον τῶν θεῶν, ἐδεήθην μὲν

Digitized by Google

321 χρησμῳδῆσαί μοι τὴν Πυθίαν σεισθέντων τῶν τριπό-
δων, ὅθεν δεῖ κατατολμῆσαι τοῦ πράγματος, ἐπεὶ δὲ
κρύπτει τέως ἡμῖν τὰ μαντεύματα, τοῦτο δόξαν ἴσως
τοῖς κρείττοσιν, αἰτήσω παρὰ τῶν Μουσῶν μανθά-
5 νειν, καθάπερ Πίνδαρος τῶν ὕμνων πυνθάνεται,
ἀναξιφόρμιγγες ὕμνοι, πόθεν με χρὴ τὴν
ἀρχὴν ποιήσασθαι; δοκεῖ δ' οὖν μοι πρῶτον ἀφε-
μένῳ τέως τοῦ γένους ὕμνον εἰς αὐτὸν ἀναφθέγ-
ξασθαι.

10 Μετὰ τὰς ἐννοίας ταύτας τὰς προοιμιακὰς ἐρεῖς
εἰς αὐτὸν ὕμνον τὸν θεόν, ὅτι, ὦ Σμίνθιε Ἄπολλον,
τίνα σε χρὴ προσειπεῖν; πότερον ἥλιον τὸν τοῦ
φωτὸς ταμίαν καὶ πηγὴν τῆς οὐρανίου αἴγλης, ἢ νοῦν,
ὡς ὁ τῶν θεολογούντων λόγος, διήκοντα μὲν διὰ τῶν
15 οὐρανίων, ἰόντα δὲ δι' αἰθέρος ἐπὶ τὰ τῇδε; ἢ πό-
τερον αὐτὸν τὸν τῶν ὅλων δημιουργόν, ἢ πότερον
δευτερεύουσαν δύναμιν, δι' ὃν σελήνη μὲν κέκτηται
σέλας, γῇ δὲ τοὺς οἰκείους ἠγάπησεν ὅρους, θάλαττα
δὲ οὐχ ὑπερβαίνει τοὺς ἰδίους μυχούς; φασὶ γὰρ τοῦ
20 χάους κατειληφότος τὰ σύμπαντα καὶ πάντων συγκε-
χυμένων καὶ φερομένων τὴν ἄτακτον ἐκείνην καὶ
ἀμειδῆ φοράν, σὲ ἐκ τῶν οὐρανίων ἀψίδων ἐκλάμ-
ψαντα σκεδάσαι μὲν τὸ χάος ἐκεῖνο, ἀπολέσαι δὲ τὸν
322 ζόφον, τάξιν δ' ἐπιθεῖναι τοῖς ἅπασιν. ἀλλὰ ταῦτα
25 μὲν σοφῶν παισὶ φιλοσοφεῖν παραλείπω, ἣν δὲ ἀκήκοα
τῶν λεγόντων γένεσιν, ταύτην καὶ δὴ πειράσομαι
λέγειν. πάντως δὲ οὐδὲ οὗτος ἀπὸ τρόπου σοι ὁ λόγος,
ὃς κεκρυμμένην εἶχεν ἐν ἑαυτῷ τὴν ἀληθεστέραν γνῶ-
σιν. εἶτα ἐρεῖς κεφάλαιον μετὰ τὸν ὕμνον δεύτερον,
30 τὸ γένος, ἄρξῃ δὲ ἐκεῖθεν. Ζεὺς ἐπειδὴ κατέλυσε
τοὺς Τιτᾶνας ἀρχὴν ἄνομον καὶ ἀκόλαστον ἄρχοντας,
μᾶλλον δὲ ὥσπερ βίαιον τυραννίδα διέποντας, καὶ

www.hfpool.com.cn
Digitized by Google

ταρτάροις μυχοῖς παραδέδωκεν, τότε γένεσιν παίδων δημιουργεῖν ἐνενόησεν, μεθ' ὧν τὰ πάντα ἄριστα καταστήσειν ἔμελλεν, καὶ μίαν τῶν Τιτανίδων νύμφην ἐξελόμενος, ἐπειδὴ τοὺς πρὸς Ἥραν θεσμοὺς ἑτέροις τόκοις ἐφύλαττεν, ἐδημιούργει μετ' ἐκείνης τὸν τόκον· κάλλει μὲν γὰρ καὶ ὥρᾳ σώματος διέφερεν, ἔπρεπε δὲ γενέσθαι μητέρα Ἀπόλλωνος καὶ Ἀρτέμιδος. καταλαμβάνει δὲ τὴν Δῆλον μέλλουσα τίκτειν ἡδέως, οἱ δέ φασι τὴν Λυκίαν. καὶ λέγουσι μὲν οἱ τὴν Δῆλον εὐτυχῆσαι φάσκοντες τὴν ὑποδοχήν, ἀνασχεῖν μὲν ἐκ θαλάττης πρὸ τοῦ κρυπτομένην καὶ οὖσαν ὕφαλον ὑποδέξασθαι πλανωμένην τὴν Θεὸν ἐκ Σουνίου τῆς Ἀττικῆς ἐπιβᾶσαν τῇ νήσῳ· Ὅμηρος δὲ οἶδε μὲν τὸν ἐν Λυκίᾳ γεννώμενον· λέγει γάρ που,

Λυκηγενεῖ κλυτοτόξῳ,

καὶ τὸν τόπον ἐκεῖνον εὐτυχήσαντα τοῦ Θεοῦ τὴν γένεσιν. φασὶ δ' οὖν ἐκφανέντα τῶν ὠδίνων Θεὸν 323
λάμψαι μὲν τοσοῦτον, ὅσον ἐπισχεῖν γῆν καὶ θάλατταν καὶ οὐράνιον κύκλον, Χάριτας δὲ καὶ Ὥρας περιχορεῦσαι τὸν τόπον, καὶ τί γὰρ οὐ σύμβολον αἴσιον ἐκ γῆς καὶ θαλάττης καὶ οὐρανοῦ δειχθῆναι. ἐκ δὲ Λυκίας παρ' ἡμᾶς ἀφικέσθαι λέγουσι τὸν Θεὸν καὶ καταλαμβάνοντα τὸ Σμίνθιον μαντεῖον ἐγκαταστῆσαι τῷ τόπῳ καὶ κινῆσαι τρίποδας.

Ἐπειδὴ δὲ τὰ κατὰ τὸν τόκον τῆς γενέσεως τοῦ Θεοῦ ζητεῖται, τῶν μὲν λεγόντων ὅτι ἐν Δήλῳ, τῶν δὲ ἐν Λυκίᾳ, κατασκευάσεις ὅτι ἀξιόπιστος μάρτυς ὁ ποιητὴς πρὸς τὸ σαυτῷ συμφέρον, ὅτι Λυκηγενῆ αὐτὸν εἴωθεν καλεῖν [ὁ ποιητής]. ἐπάξεις ἀκολούθως ὅτι εἰκὸς ἐν Λυκίᾳ γεννηθέντα καὶ παρ' ἡμῖν πρῶτον ὀφθῆναι. οὐ γὰρ ἂν μέλλων διαβαίνειν ἐπὶ τὰς νήσους καὶ Κασταλίαν καὶ Δελφοὺς τῶν μὲν παρ' ἡμῖν ἡμέ-

www.libool.com.cn
Digitized by Google

λησεν, παρὰ δὲ ἐκείνους ἔδραμεν, ἄλλως τε ὅτι καὶ τιμῶν τοὺς ἡμετέρους πατέρας καὶ ῥυόμενος κινδύνων φαίνεται. οὐκ ἂν δὲ τοῦτο ἐπεποιήκει μὴ πάλαι καὶ πρότερον εὐμενῶς πρὸς τὴν χώραν διακείμενος. Δελφοὶ μὲν οὖν μεγαλαυχούμενοι τὴν Πυθίαν καὶ τὴν θυσίαν προβάλλονται καὶ Παρνασὸν καὶ Κασταλίαν, καὶ τὸν θεὸν μόνοι τῶν ἁπάντων αὐχοῦσιν ἔχειν, ἐγὼ δὲ εἰ δεῖ τἀληθὲς εἰπεῖν, συνήδομαι μὲν αὐτοῖς τῆς
324 χάριτος, οὐ μὴν κρίνω γε πράττειν αὐτοὺς τῶν παρ'
ἡμῖν εὐχερέστερον· καὶ γὰρ ἡμεῖς μετέσχομεν τούτων πρῶτοι τῶν μάντεων, καὶ δεξάμενοι τὸν θεὸν τοῖς ἄλλοις περιεπέμψαμεν, καὶ τὴν παρ' ἡμῶν ἀπορροὴν ἐκεῖνοι ἀφ' ἡμῶν κέκτηνται· ἐπίσης τε χαίρει ταῖς προσωνυμίαις τῶν τόπων ὁ θεός, καὶ ὥσπερ ὁ Πύθιος, οὕτω καὶ ὁ Σμίνθιος. μετὰ ταῦτα ἐρεῖς ἐγκώμιον τῆς χώρας, ὅτι εἰκότως δὲ τὴν ἡμετέραν χώραν ἠγάπησεν ὁ θεός, ἰδὼν αὐτὴν κάλλει διαφέρουσαν· ἐν ᾧ καὶ ἐκφράσεις τὴν χώραν οἵα ἐστίν, οὐκ ἀκριβῶς μὲν ἐπεξιὼν τῇ χώρᾳ, γράφε δὲ τῆς χώρας ἃ δυνατὸν κινῆσαι τὸν ἀκροατήν, τὰ μᾶλλον ἐξαίρετα λέγων. εἶτα μετὰ τὴν χώραν ἐπάξεις ἀκολούθως, ὅτι τοιγάρτοι καὶ τιμῶν καὶ συμμαχῶν τοῖς ἡμετέροις διετέλεσεν, ἐν πολέμοις, ἐν χρησμῳδίαις διαφθείρων παντοδαπῶς τοὺς πολεμίους. εἶτα μετὰ τοῦτο τὸ κεφάλαιον πάλιν διαιρήσεις εἰς τέσσαρα μέρη τὴν δύναμιν τοῦ θεοῦ καὶ ἐρεῖς οὕτως· ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἡ μνήμη τῆς χώρας παρήνεγκεν ἡμᾶς τῆς συνεχοῦς μνήμης τοῦ θεοῦ, διόπερ ἐπανακτέον πάλιν. διὰ τοῦτο δὲ μετὰ τὴν γένεσιν εὐθὺς ἐμνημονεύσαμεν τῆς χώρας, ἵνα μήτε ἀπόλυτος ὕμνος γένηται (ὕμνους γὰρ καλοῦσι τὰ τῶν θεῶν ἐγκώμια),
325 μήτε κοινὸς ἁπλῶς πρὸς πᾶσαν θεῶν ὑπόθεσιν, ἀλλ' ἵνα ἔχῃ τὸ ἴδιον τοῦ Σμινθιακοῦ ἐκ τοῦ τόπου. τίνες

www.libtool.com.cn
Digitized by Google

γοῦν εἰσιν αἱ δυνάμεις τοῦ θεοῦ; τοξική, μαντική, ἰατρική, μουσική.

Μέλλων οὖν ἄρχεσθαι μιᾶς δυνάμεως προοιμιάσῃ πρῶτον, καλῶς δ' ἂν ἔχοις τῆς τοξικῆς πρώτης, ἐπειδὴ καὶ ταύτης πρώτης ἅψασθαι λέγεται μετὰ τὴν γένεσιν. βούλομαι δὲ τῶν ἀρετῶν μὴ πάσας ἅμα, μηδὲ συναθροίσας τῷ λόγῳ δοκεῖν συγχεῖν, ἀλλὰ διελόμενος χωρὶς καθ' ἑκάστην περὶ αὐτῶν διελθεῖν, ὡς οἷόν τε μνησθέντα· οὐ γὰρ εἰπεῖν ἅπαντα ῥᾴδιον. λέγεται τοίνυν, ἐπειδὴ πρώτων ἀγωνισμάτων εἶχε τὰ τόξα μεταχειρισάμενος καὶ τὴν φαρέτραν λαβών, τούτοις γὰρ αὐτὸν ὥπλισεν ὁ πατήρ, ἀμύνεσθαι τῆς τόλμας τὸν Τίτυον, ἀνθ' ὧν εἰς τὴν μητέρα ἠσέβησε Διὸς κυδρὴν παράκοιτιν, Πύθωνά τε κατειληφότα Δελφοὺς κτείναι τοῖς ἑαυτοῦ βέλεσιν. ἵνα δὲ Πύθων ὅστις ἦν εἶπω, μικρὸν ἀναλήψομαι. ἤνεγκεν ἡ γῆ δράκοντος φύσιν οὔτε λόγῳ ῥητήν, οὔτε ἀκοῇ πιστευθῆναι ῥᾳδίαν· οὗτος πᾶσαν λυμαινόμενος γῆν, ὅση πρόσοικος Δελφοῖς καὶ Φωκίδι, καταλαμβάνει τὴν Παρνασσόν, ὄρος τῶν ὑπὸ τὸν οὐρανὸν τὸ μέγιστον, οὐκ Ὀλύμπου χεῖρον οὐδὲ δὴ τῆς ἡμετέρας λειπόμενον. τοῦτο τοίνυν ἐκάλυπτε μὲν ταῖς σπειραῖς καὶ τοῖς ἑλιγμοῖς, καὶ ἦν τοῦ ὄρους γυμνὸν οὐδέν, τὴν κεφαλὴν ὑπὲρ αὐτὴν τὴν ἄκραν ἔχων, [καὶ] ἄνω μετεωρίζων πρὸς αὐτὸν τὸν αἰθέρα. καὶ ἡνίκα μὲν πίνειν ἔδει, ποταμοὺς ὅλους ἐδέχετο, ἡνίκα δ' ἐσθίειν, πάσας 326 ἀγέλας ἠφάνιζεν, οὗτος ἀβάτους μὲν ἐποίει Δελφοὺς τοῖς ἅπασιν, ᾤκει δὲ τὸν τόπον οὐδείς, ἦν δὲ τὸ Θέμιδος μαντεῖον ἔρημον. ἄτοπα δὲ καὶ ἀμήχανα ὁ θεὸς τοὺς ἀνθρώπους πάσχειν ὑπολαβὼν καὶ βουλόμενος πανταχόθεν αὐτοῖς θεσπίζειν τὰ συμφέροντα, δι' ὧν ὁ βίος εὐδαιμονεῖν ἔμελλε, κτείνει καὶ τοῦτον μιᾷ

www.libtool.com.cn

Digitized by Google

τοξεία ταῖς αὐταῖς ἀκίσι καὶ βέλεσι. τὰ δὲ παρ' ἡμῖν ἀγωνίσματα τίς ἂν εἴποι τοῦ θεοῦ κατ' ἀξίαν, τὰ κατὰ τῶν Ἀχαιῶν ἀσεβούντων εἰς τοὺς θεούς, τὰ κατὰ τοῦ Πηλέως μήνιδι τῶν περὶ Ἕκτορα [καὶ Κάστορα] τολμηθέντων καὶ παρανομιῶν, καὶ ὅτι κυνηγέτης ὁ θεὸς καὶ τοῖς τόξοις αἱρεῖν εἴωθε τὰ θηρία, καὶ ὅτι τοξικὴν αὐτὸς εὗρε πρῶτος ἅμα τῇ ἀδελφῇ τῇ Ἀρτέμιδι.

Μέλλων δὲ ἐμβάλλειν εἰς ἕτερον κεφάλαιον ὁμοίως ἐρεῖς τοῦ θεοῦ τὸ μέγιστον καὶ ἐξαίρετον, ὅτι μάντις. ἐνταῦθα δὲ καὶ θέσιν διὰ βραχέων περανεῖς, ὅτι ἀγαθὸν ἡ μαντική, καὶ διὰ ταύτης τὰ μέγιστα τῶν ἀνθρωπίνων κατορθοῦσθαι πέφυκε. ταύτην δὲ μάλιστα Ἀπόλλων ἐτίμησε καὶ ἐθαύμασε, καὶ ὅτι ἐπὶ τῶν τριπόδων θεσπίζων ᾤκισε τὴν ἤπειρον, ᾤκισε δὲ τὴν θάλασσαν, νῦν μὲν εἰς Λιβύην ἐκπέμπων, νῦν δὲ οἰκίζων τὸν Ἑλλήσποντον, τὴν ἑῴαν, τὴν Ἀσίαν πᾶσαν. τοῦτο δὲ τὸ μέρος αὐξήσεις τῷ μεγέθει τῶν ἐγκωμίων ἐπεργαζόμενος, ὅτι ἐκινδύνευσε μὲν ἀοίκητος εἶναι γῆ πᾶσα, εἰ μὴ τὰ μαντεῖα τοῦ θεοῦ πανταχοῦ δὴ γῆς ἐπεφοίτησε παρ' ἡμῶν, ἐκ Δελφῶν, ἐκ Μιλήτου, ἐν ᾧ μέρει, ἐάν τι μάθῃς ἐκ πατρίων ἐνεργήσαντα τὸν θεὸν ἀπὸ τῶν μαντευμάτων, πρόσθες.

Μετὰ τοῦτο τὸ κεφάλαιον ἄλλο τῶν πράξεων, ὅτι μουσικὸς ὁ θεός. ἐνταῦθα καιρὸν ἕξεις, ὅπως μὲν κατ' οὐρανὸν μέσος ἐν μέσοις θεοῖς πλήττει τὴν λύραν, ὅπως δὲ μετὰ τῶν Μουσῶν ἐν Ἑλικῶνι καὶ ἐπὶ τῆς Πιερίας· καὶ φιλοσοφήσεις μετρίως ἐνταῦθα· εἰ δὲ δεῖ καὶ ἀπορρητότερον λόγον εἰπεῖν, ὃν φιλοσόφων παῖδες πρεσβεύουσι, λέγουσι μὲν αὐτὸν ὄντα τὸν ἥλιον
327 μουσικῇ μὲν αὐτὸν κινεῖσθαι, κατὰ μουσικὴν δὲ περιδινεῖν περὶ αὐτὸν τὸν πόλον, καὶ δι' ἁρμονίας ἅπαντα

www.libtool.com.cn
Digitized by Google

τὸν κόσμον διοικεῖν. οὐ μὴν ἀλλ' ἐπειδὴ ταῦτα τοῖς θεολόγοις παρεῖναι δεῖ, λέγωμεν μᾶλλον τὰ γνωριμώτατα· ὁ γὰρ Ὀρφεὺς δι' αὐτὸν εὐδόκιμος ὢν εἰς τοσοῦτον εὐμουσίας προῆλθεν, ὥστε καὶ θηρία συλλέγειν, εἰ πλήττοι τὴν λύραν, καὶ λίθους κινεῖν, καὶ πᾶν ὁτιοῦν καταθέλγειν πιπτούσης εἰς αἴσθησιν αὐτῶν τῆς ἁρμονίας. Ἀμφίονος μνημονεύσεις, Ἀρίονος, καὶ ὅτι ὁ μὲν τὰς Θήβας ἐτείχισε τῇ λύρᾳ τὰς πέτρας μετάγων, ὁ δὲ τὸ Τυρρηνικὸν ἔπλευσεν ἐπὶ Δελφῖνος ὀχούμενος. ἀνοίσεις δὲ τὰ ἐγκώμια ἐπὶ τὸν μουσηγέτην, ὡς παρ' ἐκείνου λαμβανόντων τὴν μουσικήν.

Μετὰ δὲ τὴν ἀρετὴν ταύτην τοῦ Θεοῦ ἥξεις ἐπὶ τὴν τετάρτην, ὅτι καὶ ἰατρός, ἀεὶ δὲ προοιμιάσῃ καθ' ἑκάστην τῶν ἀρετῶν, ὡς μὴ δοκεῖν μικρὰ μηδὲ φαῦλα τὰ ῥηθησόμενα· αἱ γὰρ διὰ μέσων τῶν λόγων ἔννοιαι προοιμιακαί, προδιατιθεῖσαι τὸν ἀκροατὴν καὶ προσεχέστερον διαθεῖσαι, ταῖς ὑποθέσεσιν αὐξήσεις ἐργάζονται. οὐκοῦν ἐρεῖς, ὅτι καὶ τὴν ἰατρικὴν ταύτην ὁ Θεὸς ἡμῖν ἐξεῦρεν, ἐν ᾧ καὶ θέσιν ἐρεῖς, ὅτι διαφθειρομένου τοῦ γένους ταῖς νόσοις καὶ τοῖς πόνοις κατοικτείρας ἡμᾶς τὴν ἰατρικὴν ἐξεῦρεν, ἧς τί ἂν γένοιτο τοῖς ἀνθρώποις χρησιμώτερον; τίς μὲν γὰρ ἂν εἰργάσατο γῆν, τίς ἂν ἔπλευσε θάλασσαν, τίς δ' ἂν πόλεις ἔκτισε, τίς δ' ἂν νόμους ἡμῖν ἔθηκε μὴ τῆς ἰατρικῆς παρελθούσης; ὅθεν καὶ παιᾶνα αὐτὸν καὶ πέπωνα καὶ ἀκεσώδυνον καὶ σωτῆρα καλεῖν εἰώθασι καὶ ποιηταὶ καὶ σύμπαντες. θήσεις δὲ ἐπὶ τούτοις καὶ τὴν Ἀσκληπιοῦ γένεσιν· βουλόμενος δὲ αὐξῆσαι τὴν τέχνην ὁ Θεὸς καὶ μεταδοῦναι ταύτην τῷ τῶν ἀνθρώπων γένει τὴν Ἀσκληπιοῦ γένεσιν ἐδημιούργησεν, ἧς πῶς ἄν τις κατ' ἀξίαν μνησθείη; ζητήσεις δὲ ἐφ' ἑκάστῳ τῶν 32ª

www.libiool.com.cn

κεφαλαίων τῶν πατρίων τινὰ καὶ τῶν μυθευομένων, καὶ προσθήσεις, ἵνα μᾶλλον οἰκεῖον γένηται. μετὰ ταῦτα κεφάλαιον θήσεις τοιοῦτον περὶ τῆς πόλεως, ὅτι τοιγαροῦν Ἀλέξανδρος τὴν Εὐρώπην χειρωσάμενος καὶ διαβεβηκὼς ἐπὶ τὴν Ἀσίαν ἤδη, ἐπειδὴ προσέβαλε τῷ ἱερῷ καὶ τοῖς τόποις, σύμβολα μὲν ἐκίνησεν ἐπὶ τὴν κατασκευὴν τῆς πόλεως, τοῦ θεοῦ ταῦτα καταπέμποντος, καὶ κατασκευάζει τὴν εὐδαίμονα ταύτην πόλιν, καθιερώσας αὐτὴν Ἀπόλλωνι τῷ Σμινθίῳ, δίκαιον αὐτοῦ προπέμποντος κρίνας αὐτοῦ δεῖν κατοικίζειν πόλιν, καὶ τὸν τόπον πάλαι τῷ θεῷ καθιερωμένον μὴ περιϊδεῖν ἔρημον καὶ ἀοίκητον τὴν χώραν. τοιγάρτοι καὶ ἡμεῖς πειρώμενοι ἀεὶ τῆς τοῦ θεοῦ προνοίας τε καὶ εὐμενείας ἀπολαύειν εὔνοιαν ποιούμεθα τῆς περὶ αὐτὸν εὐσεβείας, καὶ ὁ μὲν διατελεῖ καρπῶν ἀφθόνων διδοὺς φορὰν καὶ ῥυόμενος κινδύνων, ἡμεῖς δὲ ὅμοια διδασκόμεθα· τοιγάρτοι κρείττονα ἀγῶνα τὸν ἱερὸν τοῦτον διὰ ταῦτα τίθεμεν καὶ πανηγύρεις συγκροτοῦμεν καὶ θύομεν, χάριτας ἐκτινύντες, ἀνθ' ὧν εὖ πάσχομεν. καὶ διαγράψεις τὴν πανήγυριν, ὁποία καὶ ὅπως ἔχει πλήθους ἀνθρώπων συνιόντων, καὶ ὅτι οἱ μὲν ἐπιδείκνυνται τὰς αὑτῶν ἀρετὰς ἢ διὰ λόγων ἢ διὰ σώματος εὐεξίας, καὶ τὰ τοιαῦτα, οἱ δὲ θεαταί, οἱ δὲ ἀκροαταί, καὶ διὰ βραχέων ἐργάσῃ θέσιν, ὡς Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ, λέγων ὅσα ἐκ τῶν πανηγύρεων καὶ τούτων τῶν συνόδων εἴωθεν. καθόλου δέ σοι ἔστω τὸ τοιοῦτο θεώρημα ἐν τοῖς τοιούτοις, λέγω δὴ τοῖς ὁμολογουμένοις ἀγαθοῖς ἤτοι ἐνδόξοις προτάττειν μὲν τὴν θέσιν, οἷον ὅτι καλὸν μὲν μουσική, καλὸν ἡ τοξική, καλὸν ἡ πανήγυρις, ἐπάγειν τε τὰ καθ' ἕκαστον· οὐ μὴν ἐνδιατρίψεις ταῖς θέσεσι ταύταις, ἐπειδὴ δοκοῦσιν ἐν τῇ ὑποθέσει ταύτῃ πλείους εὑρίσκεσθαι.

www.libook.com.cn

Digitized by Google

μετὰ δὲ τὴν ἔκφρασιν τῆς πανηγύρεως ἐκφράσεις τὸν νεών· εἰ μὲν ὑψηλὸς εἴη τὸ ὕψος, οἷον ἀκροπόλει ἐξεκαστέον, ὡς μεγέθει μὲν τοὺς τοιούτους καὶ ὑπερμεγέθεις ὑπερφέρων, ὕψει δὲ τὰ ὑψηλότατα τῶν ὀρῶν· εἰ δὲ ἐναρμόνιος εἴη ἢ λίθος ἐκ τοῦ τῶν ὀρῶν καλλίστου, ἔτι τοίνυν τὴν τοῦ νεὼ στιλπνότητα καὶ τὴν αὐγὴν τίς οὐκ ἂν ἐκπλαγείη; καὶ τὴν ἁρμονίαν τοῦ λίθου εἴποις ἂν τῇ λύρᾳ τοῦ Ἀμφίονος συντεθεῖσθαι. ποῖα μὲν αὐτῷ τείχη Βαβυλώνια κατεσκευάσθη καὶ λέγεται; ποῖα δὲ τείχη Θηβαΐα; ποῖος νεὼς τῶν παρ' Ἀθηναίοις; τάχα που καὶ αὐτὸς τῇ λύρᾳ τοῦ θεοῦ καὶ τῇ μουσικῇ συνετέθη· τὰ μὲν γὰρ Λαομέδοντος τείχη Ἀπόλλων καὶ Ποσειδῶν κατασκευάσαι λέγονται, τὸν δὲ παρ' ἡμῖν νεὼν Ἀπόλλων καὶ Ἀθηνᾶ σὺν Ἡφαίστῳ, μᾶλλον δὲ ἐδημιούργησεν. ἐπὶ τούτοις ἐκφράσεις τὸ ἄγαλμα τοῦ θεοῦ παραβάλλων τῷ Ὀλυμπίῳ Διΐ, καὶ Ἀθηνᾷ τῇ ἐν ἀκροπόλει τῶν Ἀθηναίων. εἶτα ἐπάξεις, ποῖος Φειδίας, τίς Δαίδαλος τοσοῦτον ἐδημιούργησε ξόανον; τάχα που ἐξ οὐρανοῦ τὸ ἄγαλμα τοῦτ' ἐρρύη, καὶ ὅτι ἐστεφάνωται δάφναις, φυτῷ προσήκοντι τῷ θεῷ κατὰ Δελφούς. καὶ τὸ ἄλσος ἐκφράσεις καὶ ποταμοὺς τοὺς ἐγγὺς καὶ τὰς πηγάς, καὶ ὅτι οὐ πολὺ τὸ διάστημα, καὶ ὅτι πᾶσα ἡ ἄνοδος ἡ ἐπὶ τὸ ἱερὸν ἱερὰ καὶ ἀνακειμένη Ἀπόλλωνι.

329

Μέλλων δὲ πληροῦν τὴν ὑπόθεσιν χρήσῃ ἀνακλητικοῖς ὀνόμασι τοῦ θεοῦ οὕτως, ἀλλ' ὦ Σμίνθιε καὶ Πύθιε, ἀπὸ σοῦ γὰρ ἀρξάμενος ὁ λόγος εἰς σὲ καὶ καταντήσει, ποίαις σὲ προσηγορίαις προσφθέγξομαι; οἱ μὲν σὲ Λύκειον λέγουσιν, οἱ δὲ Δήλιον, οἱ δὲ Ἀσκραῖον, ἄλλοι δὲ Ἄκτιον, Λακεδαιμόνιοι δὲ Ἀμυκλαῖον, Ἀθηναῖοι πατρῷον, Βραγχιάτην Μιλήσιοι, πᾶσαν πόλιν καὶ πᾶσαν χώραν καὶ πᾶν ἔθνος διέπεις καὶ καθάπερ

330 τὸν οὐρανὸν περιχορεύεις ἔχων περὶ σεαυτὸν τοὺς χοροὺς τῶν ἀστέρων, οὕτω καὶ τὴν οἰκουμένην πᾶσαν διέπεις· Μίθραν σε Πέρσαι λέγουσιν, Ὧρον Αἰγύπτιοι· σὺ γὰρ εἰς κύκλον τὰς ὥρας ἄγεις, Διόνυσον Θηβαῖοι,
5 Δελφοὶ δὲ διπλῇ προσηγορίᾳ τιμῶσιν, Ἀπόλλωνα καὶ Διόνυσον λέγοντες· περὶ σὲ θοῦραι, περὶ σὲ θυάδες, παρὰ σοῦ καὶ σελήνη τὴν ἀκτῖνα λαμβάνει, Χαλδαῖοι δὲ ἄστρων ἡγεμόνα λέγουσιν· εἴτε οὖν ταύταις χαίροις ταῖς προσηγορίαις, εἴτε τούτων ἀμείνοσι, σὺ μὲν ἀκμά-
10 ζειν ἀεὶ ταῖς εὐδαιμονίαις τὴν πόλιν τήνδε δίδου, ἐσαεὶ δὲ τήνδε συγκροτεῖσθαί σοι τὴν πανήγυριν· νεῦσον δὲ καὶ χάριν τοῖς λόγοις, παρά σοι γὰρ καὶ οἱ λόγοι καὶ ἡ πόλις.

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

XXXVI.

ΝΙΚΟΛΑΟΥ ΣΟΦΙΣΤΟΥ

ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΝΙΚΟΛΑΟΥ ΣΟΦΙΣΤΟΥ

ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Προγύμνασμά ἐστι καθόλου ἄσκησις μετρίων πρὸς μειζόνων ἐπίρρωσιν πραγμάτων· ῥητορικὸν δὲ προγύμνασμά ἐστιν εἰσαγωγικὴ τριβὴ διὰ λόγων τῶν κατὰ τὴν ῥητορικὴν μερῶν καὶ εἰδῶν, χρήσιμά τινα προασκουμένη. πρόσκειται τῷ λόγῳ "τῶν κατὰ ῥητορικὴν μερῶν καὶ εἰδῶν χρήσιμά τινα προασκουμένη", ἐπειδὴ οὐ πρὸς πάντα ὁμοῦ τὰ κατὰ ῥητορικὴν μέρη ἢ εἴδη, ἀλλὰ πρὸς ἕκαστον τῶν μερῶν ἢ εἰδῶν ἰδίᾳ τοῖς προγυμνάσμασι γυμναζόμεθα. ἰστέον γὰρ ὡς τριῶν ὄντων τῶν ἀνωτάτω εἰδῶν τῆς ῥητορικῆς, δικανικοῦ φημι καὶ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ, οὔτε πρὸς πάντα ταῦτα οὔτε πρὸς ὅλα ἕκαστον τῶν προγυμνασμάτων τὸ οἰκεῖον παρέχεται χρήσιμον, ἀλλὰ τισὶ μὲν τῶν πάντων, μέρεσι δὲ τῶν ὅλων· τὰ μὲν γὰρ τῷ δικανικῷ τὰ χρήσιμα φέρει, ὡς ἥ τε ἀνασκευὴ καὶ ἡ κατασκευὴ καὶ ὁ κοινὸς τόπος καὶ εἴ τι τοιοῦτον ἕτερον, τὰ δὲ τῷ συμβουλευτικῷ, ὥσπερ ὁ μῦθος καὶ ἡ γνώμη, τὰ δὲ τῷ πανηγυρικῷ, ὡς τὸ ἐγκώμιον καὶ ὁ ψόγος· οὐχ ὅλοις δέ· ἢ γὰρ ἂν ἤρκει ταῦτα μαθοῦσι, τὰ προγυμνάσματά φημι, τῶν κατὰ ῥητορικὴν πραγμάτων καὶ τῆς περὶ τὰς διαιρέσεις ἑκάστου εἴδους ἀπηλλάχθαι φιλοπονίας· οὐχ ὅλοις οὖν, ὥσπερ ἔφαμεν, τὰ

Digitized by Google

προγυμνάσματα, ἀλλὰ μέρεσι τῶν ὅλων χρησιμεύει. τρία δὲ τῆς ῥητορικῆς εἴδη, ἐπειδὴ καὶ οἱ ἀκροαταί, οἳ χαρακτηρίζουσι τὰ ὑποκείμενα πρόσωπα, ἢ δικασόμενοι συνεληλύθασιν ἢ συμβουλευσόμενοι ἢ πανηγυρίσοντες. ἔστι δὲ τοῦ μὲν δικανικοῦ ἴδιον πᾶν τὸ ἐν κατηγορίᾳ καὶ ἀπολογίᾳ, τέλος δὲ τὸ δίκαιον· τοῦ δὲ συμβουλευτικοῦ προτροπή τε καὶ ἀποτροπή, τέλος δὲ τὸ συμφέρον· τοῦ δὲ πανηγυρικοῦ τὸ ἐγκωμιαστικὸν καὶ ψεκτικόν, τέλος δὲ τὸ καλόν. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. πάλιν δὲ τοῦ πολιτικοῦ λόγου πέντε μερῶν ὄντων, οἷον προοιμίων, διηγήσεων, ἀντιθέσεων, λύσεων, ἐπιλόγων, καὶ τούτοις τὸ ἑαυτῶν τὰ προγυμνάσματα χρήσιμον χορηγεῖ· τὰ μὲν γὰρ τὴν τῶν προοιμίων διδάσκει χρείαν, τὰ δὲ τὴν τῶν διηγήσεων, ἕτερα τὴν τῶν ἀγώνων ἐν ταῖς ἀντιθέσεσι καὶ λύσεσιν· ἔστι δὲ ἃ καὶ τοῖς ἐπιλόγοις. περὶ ὧν ὕστερον κατὰ μέρος μεταχειριζόμενοι ἐροῦμεν, πρὸς τὸ παρὸν τοσοῦτον μόνον ὑπειπόντες, ὃ καὶ πᾶσι συνοίσει, ὡς προοίμιον μέν ἐστι λόγος παρασκευάζων τὸν ἀκροατὴν καὶ οἰκείως διατιθεὶς εἰς τὸν ὑποκείμενον λόγον, ἔργον δὲ αὐτοῦ καὶ τέλος (τὸ γὰρ αὐτό τινες ᾠήθησαν) τὸ προσοχὴν καὶ εὐμάθειαν καὶ εὔνοιαν ἀπεργάσασθαι· διήγησις δὲ τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσις εἰς τὸ ὑπὲρ τοῦ λέγοντος μέρος ῥέπουσα, ἢ ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος, ἔργον δὲ αὐτῆς καὶ τέλος τὸ παράδοσιν καὶ δήλωσιν ποιῆσαι τῷ ἀκροατῇ τοῦ πράγματος· ἀντίθεσις δὲ ἡ παρὰ τοῦ ἀντικειμένου προσώπου ἔνστασις, τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσα καὶ εἰς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν μετάγουσα· λύσις δὲ ἡ τὴν ἐκ τῆς ἐνστάσεως βλάβην ἀφαιρουμένη καὶ εἰς τὸ ἐξ ἀρχῆς τὸν ἀκροατὴν ἐπανάγουσα καὶ εἰς συγκατάθεσιν ἰέναι πείθουσα τοῦ προκειμένου ζητήματος. ἐπίλογος δέ ἐστι

www.libtool.com.cn

Digitized by Google

λόγος ἐπὶ προειρημέναις ταῖς ἀποδείξεσιν ἐπαγόμενος, ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν καὶ παθῶν περιέχων· ἔργον δέ ἐστι καὶ τούτου, φησὶν ὁ Πλάτων, τὸ ἐπὶ τελευτῆς τοὺς ἀκούοντας ὑπομνῆσαι τῶν εἰρημένων. ἀλλὰ περὶ τοῦ προκειμένου μὲν ὁρισμοῦ ταῦτα. οὐ χεῖρον δὲ καὶ τὸν τῆς ῥητορικῆς αὐτῆς ὁρισμὸν παραθεῖναι. ῥητορικὴ τοίνυν ἐστίν, ὡς Διόδωρός φησι, δύναμις εὑρετικὴ καὶ ἑρμηνευτικὴ μετὰ κόσμου τῶν ἐνδεχομένων πιθανῶν ἐν παντὶ λόγῳ. δύναμις μὲν οὖν ἐστι πρᾶγμα ἐν μεσότητι, ᾧ ἔξεστι καὶ καλῶς καὶ κακῶς χρήσασθαι, οἷον πλοῦτος, ἰσχύς, μάχαιρα· τούτοις γὰρ χρήσαιτ' ἄν τις καὶ καλῶς καὶ πρὸς τἀναντία. καὶ τοίνυν καὶ τὴν ῥητορικὴν διὰ τοῦτο ἐκάλεσε δύναμιν, ἐπειδὴ χρήσαιτ' ἄν τις αὐτῇ καὶ πρὸς τὰ μὴ καλὰ καὶ τὰ μὴ τοιαῦτα· εὑρετικὴν δὲ καὶ ἑρμηνευτικήν, ἐπειδὴ τοῦτο ἔργον τοῦ ῥήτορος, τὸ ἐν παντὶ τῷ προτεθέντι προβλήματι νοῆσαι τὰ δέοντα καὶ οἰκονομῆσαι καλῶς καὶ ἑρμηνεῦσαι ἄριστα, τέλος δὲ οὐ τὸ πεῖσαι πάντως· τοῦτο γὰρ καὶ τῷ Σταγειρίτῃ δοκεῖ· ἀλλὰ τὸ πειστικῶς εἰπεῖν μηδὲν τῶν ἐνδεχομένων εἰρῆσθαι παραλιπόντα. ταύτῃ καὶ ὁ ἐν Γοργίᾳ Σωκράτης πειθοῦς αὐτήν φησι δημιουργόν. ῥητορικὴ δὲ εἴρηται ἤτοι ἀπὸ τοῦ ῥύδην λέγειν ἢ ἀπὸ τοῦ συνηγορεῖν τῷ νόμῳ· ῥήτραν γὰρ τὸν νόμον φασὶν οἱ Δωριεῖς. περὶ μὲν οὖν ῥητορικῆς ἐπὶ τοσοῦτον πρὸς τὸ παρόν.

ΟΡΟΣ ΜΥΘΟΥ.

Πρῶτον δὲ πάντων τῶν προγυμνασμάτων τὸν μῦθον ἔταξαν. ὥσπερ τὸ ἐν ταῖς τελείαις ὑποθέσεσι δυσχερὲς φεύγοντες τὴν τῶν προγυμνασμάτων εὖρον

Digitized by Google

χρείαν οἱ ταῦτα τάξαντες, οὕτω καὶ τὸν μῦθον τῶν ἄλλων προγυμνασμάτων ἔταξαν πρῶτον, φύσει τε ὄντα ἀφελῆ καὶ τῶν ἄλλων ἁπλούστερον καὶ ὡς συγγενείᾳ τινὶ χρώμενον πρὸς τὰ ποιήματα, ἀφ' ὧν μεταβαίνοντας τοὺς νέους οὐκ ἀθρόως ξένοις τε καὶ μηδαμῶς συνηθεσιν ἐντυγχάνειν ἐχρῆν. καὶ τοῦτο δὲ γνῶναι καλόν, ὡς τοὺς μύθους οἱ μὲν Αἰσωπείους ὠνόμασαν, οἱ δὲ Συβαριτικούς, οἱ δὲ Φρυγίους, οἱ δὲ Λυδίους, ἀπὸ τόπων τινῶν ἢ προσώπων τὰς προσηγορίας εὑρόντες. ἔστι δὲ οἳ Συβαριτικοὺς μὲν τοὺς ἐκ μόνων λογικῶν ζώων ἐκάλεσαν, Αἰσωπείους δὲ τοὺς ἐξ ἀλόγων καὶ λογικῶν συγκειμένους, Λυδίους δὲ καὶ Φρυγίους καὶ Λιβυκοὺς τοὺς ἐκ μόνων ἀλόγων ζώων. εἰσὶ δέ τινες μῦθοι καὶ ἐκ θεῶν συγκείμενοι, οἷον Ἥρα συνὼκει τῷ Διί, οἳ φιλοσοφίᾳ μόνῃ ἀνάκεινται· αὐτῆς γάρ ἐστιν εὖ κρίνειν τὰς ἐν αὐτοῖς ἀλληγορίας. τούτους δέ τινες καὶ οὐδὲ μύθους, ἀλλὰ μυθικὰ ἐκάλεσαν διηγήματα, ἀναμιγνύντες αὐτὰ τοῖς περὶ τῶν μεταμορφώσεων λόγοις καὶ τῶν ἐκείνοις παραπλησίων. πλὴν ὁποτέρως ἂν ἔχοι, τὰς ἐν αὐτοῖς ἀλληγορίας, ᾗ καὶ προείρηται, ἀναπτύξουσιν οἱ φιλόσοφοι.

Ἰστέον ὡς τῶν προγυμνασμάτων καὶ μερῶν ὄντων καὶ ὅλων, ὁ μῦθος τῶν μερῶν ἂν εἴη μόνον. οὐ γὰρ ἰδίαν πληροῖ ὑπόθεσιν, ἀλλὰ πρὸς ἄλλων παραλαμβάνεται ἀεὶ χρείαν, ὃ ἴδιόν ἐστι μέρους· ποτὲ δὲ καὶ αὐτὸς ἰδίαν πληροῖ ὑπόθεσιν.

Τὸν μῦθον προδήλως τοῦ συμβουλευτικοῦ τῶν κατὰ ῥητορικήν φαμεν εἰδῶν· ἢ γὰρ προτρέπομεν ἐπί τι, ἢ ἀποτρέπομεν ἀπό τινος τὸν ἀκροατὴν διὰ τοῦ μύθου. ἤδη δέ τισιν ἔδοξε καὶ πρὸς τὴν τῶν τριῶν εἰδῶν μελέτην εἶναι χρήσιμος· ἐν ᾧ μὲν γάρ, φησί, προτρέπομεν ἢ ἀποτρέπομεν, τὸ τῆς συμβουλῆς ἴδιον

www.libtool.com.cn
Digitized by Google

φυλάττεται· ἐν ᾧ δὲ καταδρομὴν τῶν ἁμαρτανόντων ποιούμεθα καὶ τὰ ψευδῆ πιθανῶς διηγούμεθα, τὸ δικανικὸν μέρος σώζεται· ἐν ᾧ δὲ καθαρᾷ τῇ λέξει χρώμεθα καὶ μετὰ ἀφελείας προάγομεν ἐπαινοῦντες ἅμα, τῆς πανηγυρικῆς ἰδέας οὐκ ἀφιστάμεθα· ἄλλως τε καὶ ἔθος, φασίν, ἐν ταῖς πανηγυρικαῖς ὑποθέσεσι μύθους παραλαμβάνειν. καὶ οἱ τοῦτον δόξαντες τὸν τρόπον διὰ τοῦτο καὶ τὴν πρώτην αὐτῷ τάξιν ἀποδεδώκασιν, ἐπειδὴ πρὸς τὰ τρία ἡμᾶς γυμνάζει, φασίν, εἶδη. πλὴν καλῶς ἔχει, ὃ καὶ πρόδηλον, τῷ συμβουλευτικῷ νέμει ὁ μῦθος τὸ χρήσιμον· μετὰ γὰρ τῆς ψυχαγωγίας ὠφελεῖ τοὺς πειθομένους, ἀποτρέπων μὲν τῶν φαύλων, τῶν δὲ ἀγαθῶν ἐφίεσθαι παραινῶν, καὶ μετὰ ἡδύτητος ἐθίζων, τῆς ὠφελείας ἀντέχεσθαι. συντελέσει δέ τι καὶ τοῖς μέρεσι τοῦ πολιτικοῦ λόγου· πέντε γὰρ ὄντων τὴν διήγησιν ἡμᾶς προασκήσει· καὶ γὰρ ἐν αὐτῷ τῷ πλάττειν μανθάνομεν, ὅπως δεῖ τὰ γινόμενα διηγεῖσθαι.

Μῦθός ἐστι λόγος ψευδὴς τῷ πιθανῶς συγκεῖσθαι εἰκονίζων τὴν ἀλήθειαν· λόγος μὲν ψευδής, ἐπειδὴ ὁμολογουμένως ἐκ ψευδῶν σύγκειται, εἰκονίζων δὲ τὴν ἀλήθειαν, ἐπειδὴ οὐκ ἂν ἐργάσαιτο τὸ ἑαυτοῦ, μὴ ἔχων τινὰ πρὸς τὸ ἀληθὲς ὁμοιότητα. πῶς δὲ πιθανῶς σύγκειται καὶ πόθεν ἂν γένοιτο τοῦτο, σκοπητέον. πολλαχόθεν δὲ τοῦτο· ἐκ τόπων, περὶ οὓς διατρίβειν εἴωθε τὰ ὑποκείμενα τῷ λόγῳ ζῶα, οἷον περὶ ἐλεφάντων λέγοντας ἢ στρουθῶν Λιβυστικῶν δεῖ κατὰ τὰ τῆς χώρας ἰδιώματα, ἐν οἷς πέφυκε γίνεσθαι ταῦτα, πλάττειν τὸν μῦθον, οἷον αὐχμηρᾶς ταύτης καὶ ψαμματώδους ὑπαρχούσης, μὴ ὡς περὶ εὐγαίου καὶ διαρρύτου ὕδασι ποιεῖσθαι τὸν λόγον· ἐκ καιρῶν, ἐν οἷς φαίνεσθαι φιλεῖ τὰ ὑποκείμενα τῷ λόγῳ ζῶα, οἷον εἰ περὶ

www.libool.com.cn
Digitized by Google

ᾠδῆς λέγοιμεν τεττίγων ἢ ἀηδόνων, ἐν ἔαρι καὶ θέρει ταῦτα, ἀλλ' οὐκ ἐν χειμῶνι ὑποτίθεσθαι πιθανόν· ἐκ λόγων τῶν τῇ φύσει ἑκάστου ἁρμοζόντων· δεῖ γὰρ προβάτοις μὲν εὐήθεις περιτιθέναι λόγους, λύκοις δὲ ὠμούς, ἀλώπεκι δὲ δολεροὺς καὶ πανούργους, πιθήκοις δὲ πάντα τὰ πρὸς σύνεσιν ἀνθρωπείαν ἀπονεύοντα· ἐκ πραγμάτων δέ, ἃ μὴ ὑπερβαίνει τὴν ἑκάστου ποιότητα, ἵνα μὴ λέγωμεν, ὅτι ὁ μῦς περὶ βασιλείας τῶν ζώων ἐβουλεύετο, ἢ ὅτι ὁ λέων ὑπὸ τυροῦ κνίσσης ἐζωγρήθη, καὶ αὖ ὁ μὲν ἀετὸς ἁρπακτικὸς καὶ νεβρῶν καὶ ἀρνίων εἰσάγηται, ὁ δὲ κολοιὸς μηδὲν τοιοῦτον μηδὲ ἐννοῶν. εἰ δ' ἄρα ποτὲ τοιοῦτον γένοιτο, δεῖ προοικονομεῖσθαι τὸν παρὰ τὴν φύσιν τι πλάττοντα καὶ παρέχειν τῷ πλαττομένῳ τὴν ἐκ τοῦ μύθου διάνοιαν· οἷον, εἰ τὰ πρόβατα φιλικῶς τοῖς λύκοις διαλέγοιντο, προοικονομεῖσθαι τὴν φιλίαν, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ πιθανῶς μὲν οὕτω συνθείης τὸν μῦθον. εἴρηται δὲ μῦθος ἀπὸ τοῦ μυθεῖσθαι, ὅ ἐστι λέγειν, οὐχ ὅτι καὶ ἐν τοῖς ἄλλοις οὐ λέγομεν, ἀλλ' ὅτι ἐν αὐτῷ πρῶτον τὸ λέγειν πολιτικῶς μανθάνομεν. τινὲς δὲ αὐτὸν καὶ αἶνον ἐκάλεσαν ἀπὸ τῆς δι' αὐτοῦ παραινέσεως, ἄλλοι δὲ λόγον· δεῖ δὲ τὴν τοῦ μύθου φράσιν ἁπλουστέραν εἶναι καὶ ἀνεπιβούλευτον καὶ δεινότητος ἁπάσης καὶ περιοδικῆς ἀπαγγελίας ἀπηλλαγμένην, ὥστε καὶ τὸ βούλημα εἶναι σαφὲς καὶ τὰ λεγόμενα μὴ μείζω τῶν ὑποκειμένων προσώπων τῆς ποιότητος φαίνεσθαι, καὶ μάλιστα ὅταν ἐξ ἀλόγων ζώων ὁ μῦθος ὑπάρχῃ συγκείμενος. ταύτῃ τοι ἁπλούστερον αὐτὸν εἶναι δεῖ, ὀλίγον τῆς ἐν τῇ συνηθείᾳ ὁμιλίας ἐξαλλάττοντα. διαφέρει δὲ χρείας καὶ γνώμης, ὅτι ἐν ἐκείναις ἐξ ἀληθῶν ἡ παραίνεσις, ἐνταῦθα δὲ διὰ ψευδῶν, καὶ ἐκείνας μὲν ἀνασκευάζομεν, μῦθον δὲ οὐδαμῶς, κἀκεῖ

www.libook.com.cn

Digitized by Google

μὲν ἐξ ἐνδόξου καὶ ὡρισμένου τὰς χρείας καὶ τὰς γνώμας κατασκευάζομεν, ἐπαινοῦντες τὸν εἰρηκότα ἢ διαβάλλοντες, ἐνταῦθα δὲ εἰς οὐδένα τὸν λόγον ἀναφέροντες ὡς οἰκείᾳ τῇ γνώμῃ παραινοῦμεν, λεληθότως τὴν ὠφέλειαν τοῖς νέοις προσάγοντες.

www.libnet.com.cn

ΟΡΟΣ ΔΙΗΓΗΜΑΤΟΣ.

Δεύτερον τὸ διήγημα, ὡς τοῦ μύθου μὲν ἐναγωνιώτερον, τῶν δὲ λοιπῶν ἁπλούστερον. ἀλλὰ τί μὲν διήγημα, ἀποχρώντως ἐδίδαξεν ὁ Ἀφθόνιος. διαφορὰν δὲ τούτου πρὸς τὴν διήγησιν οἱ μὲν ἦν καὶ ὁ τεχνικός φησι· διαφέρει γὰρ διήγησις τοῦ διηγήματος τῷ καθολικωτέρῳ καὶ μερικωτέρῳ· ἄλλοι δὲ διήγησιν μὲν τῶν ἐν δικαστηρίῳ ἀμφισβητήσεων πρὸς τὸ τοῦ λέγοντος συμφέρον ἔκθεσιν εἶπον, διήγημα δὲ τὴν τῶν ἱστορουμένων ἀπαγγελίαν καὶ γεγονότων· ἕτεροι δὲ διήγησιν μὲν τὴν τῶν ἀληθῶν πραγμάτων ἔκθεσιν ἐκάλεσαν, διήγημα δὲ τὴν τῶν ὡς γεγονότων· οἱ πλείονες μέντοι τῷ τεχνικῷ συνεῖπον. τῶν διηγημάτων τρεῖς τὰς πάσας πρὸς ἀλήθειάν φασιν εἶναι διαφοράς· τὰ μὲν γάρ ἐστιν ἀφηγηματικά, τὰ δὲ δραματικά, τὰ δὲ μικτά· ἀφηγηματικὰ μέν, ὅσα ἀπὸ μόνου τοῦ ἀπαγγέλλοντος προσώπου εἰσίν, οἷα τὰ παρὰ Πινδάρῳ· δραματικὰ δέ, ὅσα ἀπ' αὐτῶν τῶν ὑποκειμένων προσώπων ἐστὶ μόνον, μὴ παρεμφαινομένου τοῦ συντιθέντος προσώπου, εἶτα τὰ κωμικὰ πάντα καὶ τραγικά· μικτὰ δὲ τὰ ἐξ ἀμφοῖν τοῦ τε συντιθέντος καὶ τῶν ὑποκειμένων συγκείμενα προσώπων, οἷα τὰ Ἡροδότου καὶ Ὁμήρου· ταῦτα γὰρ πῇ μὲν ἀπ' αὐτοῦ τοῦ ἀπαγγέλλοντος ἐκφέρεται, πῇ δὲ ἐξ ἑτέρου προσώπου. ἔτι τῶν διηγημάτων τὰ μέν ἐστι μυθικά, τὰ δὲ ἱστορικά, τὰ δὲ πραγματικά, ἃ καὶ δικανικὰ καλοῦν-

Digitized by Google

ται, τὰ δὲ πλασματικά. μυθικὰ μὲν τὰ οὐκ ἀναμφισβητήτως πιστευόμενα, ἀλλ' ἔχοντα καὶ ψεύδους ὑπόνοιαν, οἷα τὰ περὶ Κυκλώπων καὶ Κενταύρων· ἱστορικὰ δὲ τὰ τῶν ὁμολογουμένως γενομένων παλαιῶν πραγμάτων, οἷα τυχὸν τὰ περὶ Ἐπιδάμνου· πραγματικὰ δὲ ἤτοι δικανικὰ τὰ ἐν τοῖς πολιτικοῖς ἀγῶσι λεγόμενα· πλασματικὰ δὲ τὰ ἐν ταῖς κωμῳδίαις καὶ τοῖς ἄλλοις δράμασιν. κοινωνεῖ δὲ τὰ μὲν μυθικὰ τοῖς μύθοις τῷ ἀμφότερα δεῖσθαι πίστεως· [τὰ δὲ] διαφέρει, ὅτι ὁ μὲν μῦθος [ὁ] τῶν ὁμολογουμένως ψευδῶν, τὰ δὲ μυθικὰ καὶ παρ' ἄλλων ὡς γεγονότα ἱστόρηται, καὶ τῶν ἐνδεχομένων ἐστὶ καὶ μή. ἔτι κοινωνεῖ τὰ πλασματικὰ τοῖς μύθοις τῷ ἀμφότερα πεπλάσθαι, διαφέρει τῷ τὰ μέν, εἰ καὶ μὴ γέγονεν, ὅμως ἔχειν φύσιν γενέσθαι. τῶν διηγημάτων στοιχεῖά ἐστιν ἕξ, ἃ ἐξ ἀναγκαίου τῷ διηγήματι παρέπεται, ἔσθ' ὅτε μὲν πάντα, ἔσθ' ὅτε καὶ τινά. εἰσὶ δὲ ταῦτα· πρόσωπον μὲν [οἷον] τὸ ποιοῦν, ὡς Δημοσθένης ἢ Μειδίας· πρᾶγμα δὲ τὸ τελούμενον, οἷον ὕβρις· τόπος δέ, οἷον τὸ θέατρον· χρόνος δέ, οἷον τότε· αἰτία δὲ δι' ἣν, οἷον ἔχθρα· τρόπος καθ' ὃν, οἷον λόγοις, χερσίν. εἰσὶ δὲ οἳ τὴν ὕλην ἕβδομον στοιχεῖον προσέθηκαν, διαιροῦντες αὐτὴν ἀπὸ τοῦ τρόπου, καὶ τῷ μὲν τρόπῳ ἀπονέμοντες τὸ παρανόμως καὶ βιαίως πρᾶξαι ἢ ὁπωσοῦν ἢ κατέναντι· τῇ δὲ ὕλῃ τὸ ξίφει τυχὸν ἢ λίθῳ ἢ καὶ παλτῷ ἢ καὶ ἄλλῳ τινὶ χρῆσθαι τοιούτῳ.

Τῶν προγυμνασμάτων τῶν μὲν μερῶν ὄντων, τῶν δὲ μερῶν καὶ ὅλων τὸ διήγημα τῶν μερῶν ἐστι μόνον· μέρους γὰρ ἀεὶ χρείαν πληροῖ, καὶ οὐδέποτε ἀρκεῖ πρὸς ὅλην ὑπόθεσιν ἐν τοῖς πολιτικοῖς λόγοις, εἰ μή τις οὐκ ὀρθῶς εἴποι ἐν ταῖς ἐκφράσεσιν, αἵτινες αὐτῶν τῶν διηγημάτων εἰσίν, ὡς εἰπεῖν, μέρος, ὡς ἐν τῷ περὶ ἐκφράσεως δειχθήσεται. ἰστέον δέ, ὡς μέρη μέν εἰσι μόνον,

www.libtool.com.cn
Digitized by Google

ἃ ἐν ἄλλαις ὑποθέσεσι πάντως συμπαραλαμβάνεται, μέρη δὲ καὶ ὅλα, ἃ ποτὲ μὲν ὡς ἄλλων μέρη ἐργάζεται, ποτὲ δὲ καὶ αὐτὰ ἰδίαν πληροῖ ὑπόθεσιν. [πενταχῶς δὲ τὸ διήγημα γίνεται· κατὰ τὸ ὀρθόν, κατὰ τὸ ἐγκεκλιμένον, κατὰ τὸ ἐλεγκτικόν, κατὰ τὸ συγκριτικὸν καὶ κατὰ τὸ ἀσύνδετον· κατὰ τὸ ὀρθόν μέν, οἷον Φαέθων, Ἡλίου παῖς, ἐρασθεὶς τοῦ ἅρματος τοῦ ἰδίου πατρός, καὶ τὰ ἑξῆς· κατὰ δὲ τὸ ἐγκεκλιμένον, οἷον Φαέθοντα, τὸν Ἡλίου παῖδα, φασὶν ἐρασθῆναι τοῦ ἅρματος τοῦ ἰδίου πατρὸς καὶ τὸν πατέρα πείσαντα ἐπιβῆναι τοῦ ἅρματος· κατὰ δὲ τὸ ἐλεγκτικόν, ὅταν ὡς ἐλέγχοντες λέγωμεν· τί δέ; οὐκ ἠράσθη Φαέθων, Ἡλίου παῖς, τοῦ πατρικοῦ ἅρματος; οὐκ ἔπεισε τὸν πατέρα; οὐκ ἐπέβη τοῦ ἅρματος; κατὰ δὲ τὸ συγκριτικόν, ὅταν λέγωμεν· ἀντὶ τοῦ σωφρονεῖν ἠράσθη ἀτόπως, ἀντὶ δὲ τοῦ κρατῆσαι τοῦ ἔρωτος, ἐπέβη τῶν ἵππων· [ἐδέξατο τὰς ἡνίας·] κατὰ δὲ τὸ ἀσύνδετον, οἷον ἐπέβη τῶν ἵππων, ἐδέξατο τὰς ἡνίας, οὐχ ὑπεῖξε λέγοντι τῷ πατρί· χρησιμεύει δὲ ἕκαστον τούτων, τὸ μὲν κατ' ὀρθὸν ἐν τοῖς ἱστορικοῖς, καὶ ὅτε δεόμεθα σαφηνείας, τὸ δὲ κατὰ τὸ ἐγκεκλιμένον καὶ τὸ ἐλεγκτικὸν ἐν τοῖς ἀγῶσι, τὸ δὲ κατὰ τὸ ἀσύνδετον ἐν τοῖς ἐπιλόγοις· τὸ δὲ κατὰ τὸ συγκριτικόν, ὅπου ὁ καιρὸς δίδωσι· πανταχοῦ γὰρ καὶ ἐν ἅπασι τοῖς τῆς ῥητορικῆς εἴδεσι καὶ τοῖς τοῦ πολιτικοῦ λόγου μέρεσιν αὐτῷ χρώμεθα.]

Ἀρεταὶ διηγήσεως κατὰ μέν τινας πέντε, συντομία, σαφήνεια, πιθανότης, ἡδονή, μεγαλοπρέπεια, καθ' ἑτέρους δὲ μόνη πιθανότης· τὰς γὰρ ἄλλας τέσσαρας κοινὰς παντὸς λόγου ἐνόμισαν· ὡς δὲ τοῖς ἀκριβεστέροις δοκεῖ, τρεῖς εἰσι μόναι, σαφήνεια, συντομία καὶ πιθανότης. δεῖ δὲ εἰδέναι, ὅτι σφόδρα δυσχερές ἐστι τοῖς τῆς σαφηνείας ἐπιμελουμένοις τῆς συντομίας φροντίζειν· πολλάκις γὰρ ἡ διὰ συντομίαν εἰς ἀσάφειαν προάγομεν

www.libool.com.cn
Digitized by Google

τὸν λόγον, ἢ διὰ τὸ σαφῶς εἰπεῖν μήκους δεόμεθα. χρὴ τοίνυν τὴν συντομίαν σκοπεῖν, εἰ σύμμετρός ἐστι, μήτε παραλιμπάνοντάς τι τῶν ἀναγκαίων, μήτε πλεονάζοντας· τότε γὰρ ἀρετὴ κατὰ λόγον· εἰ γὰρ φανῇ τι παραλιμπάνουσα τῶν χρησίμων, κακία γίνεται. ἀλλὰ περὶ μὲν τούτων κρεῖττον ἢ κατ' εἰσαγωγὴν ἀκριβολογεῖσθαι· δεῖ μέντοι, ἵνα τι μικρὸν περὶ τούτων ὡς ἔνι μάλιστα εἴπωμεν, τὸν κρίνειν μέλλοντα καλῶς, ὅταν σαφηνείας καὶ συντομίας φροντίζειν ἀναγκάζηται, εἰ μὲν ἀμφότερα συμβαίνει, χρῆσθαι ἀμφοτέροις, εἰ δὲ ἓν μόνον, τῷ κατεπείγοντι, το δὲ ἐστὶ μᾶλλον τῆς σαφηνείας γίνεσθαι· οὐ γὰρ τοσοῦτον ἐκ τοῦ μήκους, ὅσον ἐκ τῆς ἀσαφείας, ὁ λόγος βλαβήσεται. συντελοίη δ' ἂν πρὸς σαφήνειαν ἐν τοῖς διηγήμησι μετὰ πολλῶν καὶ ἄλλων ἡ κατ' εὐθεῖαν πτῶσιν ἀπαγγελία· εὔγνωστον γὰρ ταῖς συνεχέσιν ἀναπαύσεσι ποιεῖ τὸν λόγον, ὅπερ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν ἐν ταῖς πλαγίαις πτώσεσι. γυμνάζει δὲ ἡμᾶς τὸ διήγημα καὶ πρὸς τὰ πάντα τῆς ῥητορικῆς εἴδη, συμβουλευτικόν φημι καὶ δικανικὸν καὶ πανηγυρικόν· ἐν πᾶσι γὰρ αὐτοῦ δεόμεθα· ἔτι δὲ καὶ πρὸς τὰ μέρη τοῦ πολιτικοῦ λόγου, ὧν ἐστι τὸ διήγημα· ἔστι δ' ὅτε καὶ ἐν τοῖς ἀγῶσιν αὐτῷ χρώμεθα, καὶ μάλιστα ἐν ταῖς παραδειγματικαῖς πίστεσιν· ἤδη δὲ καὶ ἐν τοῖς ἐπιλόγοις, ὅταν ἀναμιμνήσκωμεν τῶν λεχθέντων. διὸ καὶ διαφόροις αὐτῷ σχήμασιν ἐγγυμναζόμεθα. διαφόρου οὖν τῆς ἀπαγγελίας οὔσης, τῇ μὲν κατ' ὀρθὸν διὰ τὴν σαφήνειαν ἐν ταῖς ἱστορικαῖς χρησόμεθα, ἢ ἐν οἷς δεόμεθα σαφηνείας, τῇ δὲ κατὰ τὸ ἐγκεκλιμένον καὶ ἐλεγκτικὸν καὶ ἀσύνδετον, καθὰ προείπομεν.

ΟΡΟΣ ΧΡΕΙΑΣ.

Χρεία μετὰ τὸ διήγημα τέτακται, ὡς ποικιλωτέραν

ἐπιδεχομένη τοῦ διηγήματος τὴν διαίρεσιν. ὅσοι γὰρ πρὸ τοῦ διηγήματος αὐτὴν ἔταξαν, τῷ ὥσπερ τὸν μῦθον καὶ αὐτὴν προτρέπειν καὶ ἀποτρέπειν τοὺς νέους ἐπὶ αἱρετὰ καὶ μή, οὗτοι, ὅσον κατὰ τοῦτο, οὐκ ἔξω σκοποῦ ἔβαλον, ἐπεὶ μηδὲ κατὰ τὴν νῦν διαίρεσιν αὐτὴν ἠβούλοντο διαιρεῖν, ἀλλὰ κατὰ πάσας μόνον ὁμοῦ τὰς πτώσεις· κατ' εὐθεῖαν μέν, οἷον Πιττακὸς ὁ Μιτυληναῖος ἐρωτηθείς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλα ποιῶν, ἀπεκρίνατο, ἀλλ' οὐδὲ διανοούμενος· κατὰ γενικήν· Πιττακοῦ ἐρωτηθέντος λόγος φέρεται, ἀλλ' οὐδὲ διανοούμενος· κατὰ δοτικήν· Πιττακῷ ἐρωτηθέντι ἐπῆλθεν εἰπεῖν, ἀλλ' οὐδὲ διανοούμενος· κατὰ αἰτιατικήν· Πιττακὸν ἐρωτηθέντα φασὶν εἰπεῖν, ἀλλ' οὐδὲ διανοούμενος· κατὰ κλητικήν· σύ, ὦ Πιττακέ, ἐρωτηθεὶς εἶπας, ἀλλ' οὐδὲ διανοούμενος· καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν οὕτως. τοῦτο δὲ ἐποίουν οἱόμενοι τοῖς νέοις ἄρτι ποιητικῆς ἀφισταμένοις καὶ ἐπὶ τὰ ῥητορικὰ ἰοῦσιν ἀρκεῖν αὐτὴν οὕτως πρὸς τὴν τοῦ πολιτικοῦ λόγου μελέτην. ὅσοι μὲν οὖν διὰ ταῦτα τοῦ διηγήματος προὔταξαν, οὐκ ἔξω πεποιήκασι λόγου, ἢ καὶ προείρηται, ἀλλ' ἐπειδὴ νῦν πλείονος τετύχηκε διαιρέσεως καὶ ποικιλωτέρας τοῦ μύθου καὶ διηγήματος, διὰ ταῦτα καὶ μετ' ἐκεῖνο τάττεσθαι καλῶς ἔδοξεν. ὁρίζονται δὲ αὐτὴν οὕτως· χρεία ἐστὶ λόγος ἢ πρᾶξις εὔστοχος καὶ σύντομος εἴς τι πρόσωπον ἔχουσα τὴν ἀναφοράν, πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ παραλαμβανομένη. πρόσκειται λόγος ἢ πρᾶξις, ἐπειδὴ καὶ ἐν λόγοις εὑρίσκεται καὶ ἐν πράξεσιν· εὔστοχος δέ, ἐπειδὴ ἐν τῷ εὐστόχως εἰρῆσθαι ἡ τῆς χρείας ἰσχύς· σύντομος δὲ διὰ τὰ ἀπομνημονεύματα, * καὶ ἐν συντόμῳ ἂν γένοιντο, αἱ δὲ χρεῖαι διὰ βραχυτέρων ἀεί· εἰς τι δὲ πρόσωπον ἔχουσα τὴν ἀναφορὰν διὰ τὴν γνώμην πρόσκειται· ἐκείνη γὰρ οὐ πάντως εἰς

www.libpool.com.cn
Digitized by Google

ὡρισμένον ἀναφέρεται πρόσωπον· καὶ καθ' ἃ ἄλλα γνώμη καὶ χρεία διαφέρουσιν, ἐν τῷ περὶ γνωμῶν εἰρήσεται. τὸ δὲ πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ διὰ τὸ ὡς ἐπὶ πλεῖστον ἀγαθήν τινα παραίνεσιν τῇ χρείᾳ ἕπεσθαι προσκειται. χρεία δὲ εἴρηται, οὐχ ὅτι καὶ τὰ ἄλλα προγυμνάσματα οὐ πληροῖ τινα χρείαν, ἀλλὰ κατ' ἐξοχήν, ὥσπερ καὶ τὸν Ὅμηρον ποιητὴν φαμεν εἶναι, ἢ ὅτι τὴν ἀρχὴν ἐκ περιστάσεώς τινος καὶ χρείας αὐτῇ τις ἐχρήσατο. τρεῖς αἱ ἀνώταται τῆς χρείας διαφοραί· αἱ μὲν γὰρ αὐτῶν εἰσι λογικαὶ μόνον, αἱ δὲ πρακτικαί, αἱ δὲ μικταί. πρόσκειται τὸ ἀνώταται, ἐπειδὴ αὗται πολλὰς διαφορὰς ἔχουσιν, ἃς δεῖ μανθάνειν ἐκ παρασκευῆς τῆς περὶ τὴν τέχνην ἢ ὕλην πλείονος. λογικαὶ μὲν οὖν εἰσιν αἱ διὰ λόγων μόνων δηλοῦσαι τὴν ὠφέλειαν, οἷον Ἰσοκράτης ἔφη, τῆς παιδείας τὴν μὲν ῥίζαν εἶναι πικράν, γλυκεῖς δὲ τοὺς καρπούς· πρακτικαὶ δὲ αἱ δι' ἔργων, οἷον Ἀλέξανδρος ὁ Μακεδών, ἐρωτηθείς, ποῦ οἱ θησαυροὶ τῶν χρημάτων, οἷς τὰ ἐν χερσὶ κατορθοῖ, τοὺς φίλους ἔδειξε· μικταὶ δὲ ἐξ ἀμφοτέρων, οἷον Λάκων ἐρωτηθείς, ποῦ τὰ τείχη τῆς Σπάρτης, ἐνταῦθα, ἔφη, τὸ δόρυ ἀνατείνας. ἔτι τῶν χρειῶν αἱ μὲν χρησίμου τινὸς ἕνεκα παραλαμβάνονται, οἷον Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικράν, γλυκεῖς δὲ τοὺς καρπούς· συμβάλλεται γὰρ πρὸς τὸ δεῖν καρτερεῖν τὰ δυσχερῆ διὰ τὴν ἡδονήν, τὴν μετὰ ταῦτα· αἱ δὲ χαριεντισμοῦ· οἷον Ὀλυμπία, φησίν, ἡ μήτηρ Ἀλεξάνδρου, ἀκούουσα, ὅτι ὁ παῖς αὐτῆς Διὸς ἑαυτὸν εἶναι λέγει, οὐ παύσεται, ἔφη, τὸ μειράκιον διαβάλλον με πρὸς τὴν Ἥραν; δοκεῖ γὰρ χαριεντισμὸν ἔχειν· καὶ πάλιν. Λάμων ὁ παιδοτρίβης, φησί, στρεβλοὺς ἔχων τοὺς πόδας καὶ τὰ ὑποδήματα ἀπολέσας ἠύχετο ταῦτα τοῖς ποσὶ τοῦ κλέψαντος ἁρμόσαι· δοκεῖ γὰρ καὶ τοῦτο χαριεντισμὸν ἔχειν·

www.libtool.com.cn
Digitized by Google

ἡ μὲν γὰρ ἀποτρέπει τὸν παῖδα τοῦ ἑαυτὸν Διὸς εἶναι λέγειν, ὁ δὲ τὴν κλοπὴν ψέγει, ὡς ἀτοπώτατον. διὸ οὐδὲ ὑπεικτέον τοῖς ἀνασκευάζουσι τὰς χρείας· εἰσὶ γάρ τινες, οἳ καὶ αὐτὰς καὶ τοὺς μύθους ἀνασκευάζειν πειρῶνται. πρὸς οὓς λεκτέον, ὅτι δεῖ μήτε τὰ ὁμολογούμενα ἀγαθὰ ἀνασκευάζειν, διὰ τὸ μηδένα ἔχειν τὸν πειθόμενον, μήτε τὰ ὁμολογούμενα ψευδῆ, διὰ τὸ πρόδηλον εἶναι τὸ ψεῦδος. ὅτι δὲ ὁ μῦθος ψευδῶς πέπλασται, καὶ ὅτι πρός τι βιωφελὲς καὶ αὐτὴ ἡ χρεία προῆκται, οὐδεὶς ἂν ἀμφιβάλλοι τῶν νοῦν ἐχόντων. ἔτι τῶν χρειῶν αἱ μὲν δηλοῦσιν, ὁποῖά εἰσι τὰ πράγματα, ὡς ἐκεῖνο· Αἴσωπος ὁ λογοποιὸς ἐρωτηθείς, τί ἰσχυρότατον τῶν ἐν ἀνθρώποις, ὁ λόγος, ἀπεκρίνατο· τοῦτο δὲ ἰσχυρότατόν ἐστιν· αἱ δὲ δηλοῦσιν, ὁποῖα δεῖ εἶναι, ὡς ἐκεῖνο· Ἀριστείδης ἐρωτηθείς, τί ἐστι τὸ δίκαιον, τὸ μὴ ἐπιθυμεῖν, εἶπε, τῶν ἀλλοτρίων· τοῦτο δὲ δεῖ εἶναι. τοῦτο δὲ συμβάλλεται ἡμῖν [εἰδέναι] πρὸς τὴν διαίρεσιν· ἐὰν μὲν γὰρ ᾖ χρεία δηλοῦσα, ὁποῖά εἰσι τὰ πράγματα, μετὰ τὸ προοίμιον καὶ τὴν παράφρασιν ἐπαινέσομεν αὐτὴν ὡς ἀληθῶς ἔχουσαν, ἐὰν δὲ ὁποῖα δεῖ εἶναι, ὡς εἰκότως ἔχουσαν. ἔτι τῶν χρειῶν αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ πρός τι· ἁπλαῖ μέν, οἷον Ἰσοκράτης ἔφη, τῆς παιδείας τὴν μὲν ῥίζαν πικράν· πρός τι δέ, οἷον Πλάτων ἐρωτηθείς, ποῦ οἰκοῦσιν αἱ Μοῦσαι, ἐν ταῖς τῶν πεπαιδευμένων, ἔφη, ψυχαῖς. τῶν δὲ προγυμνασμάτων καὶ μερῶν ὄντων καὶ ὅλων ἡ χρεία τῶν μερῶν ἂν εἴη· αὐτὴ γὰρ ἐφ' ἑαυτῆς οὐκ ἂν πληροῖ μόνη ὑπόθεσιν. ἔτι τριῶν ὄντων τῶν εἰδῶν, ὡς ἤδη δεδήλωται, τῆς ῥητορικῆς, ἡ χρεία προδήλως μὲν τῷ συμβουλευτικῷ χρησιμεύει· πάντως γὰρ ἢ ἐπί τι προτρέπει χρηστόν, ἢ πονηροῦ τινος ἀπείργει· συντελέσειε δ' ἂν καὶ πρὸς τὰ ἄλλα* διὰ τοῦ ἐν τῷ προοιμίῳ τοῦ φήσαντος ἐπαίνου, τῷ δικανικῷ δὲ διὰ τοῦ

Digitized by Google

ἀπὸ παραδειγμάτων εἰκότος. ἀλλὰ καὶ τοῖς μέρεσι τοῦ πολιτικοῦ λόγου συντελέσει, τῷ μὲν προοιμίῳ διὰ τοῦ ἐν τῷ ἐπαίνῳ τοῦ εἰρηκότος προοιμίου, τῇ δὲ διηγήσει διὰ τῆς παραφράσεως, τοῖς δὲ ἀγῶσι, κἂν μὴ ἀντιτιθῶμεν, διὰ τοῦ κατασκευάζειν τὸ καλῶς εἰρῆσθαι, τοῖς δὲ ἐπιλόγοις διὰ τῆς παραινέσεως, ἐν οἷς ζηλοῦν ταῦτα προτρέπομεν. ἡ δὲ χρεία τοῖς μὲν ὀκτὼ τούτοις τέμνεται κεφαλαίοις, οἷον ἐγκωμίῳ τοῦ εἰρηκότος βραχεῖ καὶ οὐκ εἰς μῆκος ἐκτεινομένῳ· οὐ γὰρ καὶ διὰ πάντων πρόεισι τῶν ἐγκωμιαστικῶν κεφαλαίων, ἵνα μὴ μεῖζον ᾖ τὸ προοίμιον τῆς ὑποθέσεως· ἔπειτα μετ' αὐτὸ τῇ παραφράσει, εἶτα τῷ εἰκότι καὶ τῷ ἀληθεῖ, ἃ ἐκ τῆς αἰτίας καὶ τοῦ ἐναντίου Ἀφθόνιος εἶπεν, εἶτα τῷ ἀπὸ παραδειγμάτων, ὃ πάλιν διττόν, ἐκ πράξεως καὶ προσώπου, ὧν τὸ μὲν παράδειγμα τὸ ἀπὸ προσώπου, ἡ δὲ παραβολὴ τὸ ἀπὸ πράξεως λέγεται· καὶ ἐπὶ πᾶσι τῇ ἀφ' ἑτέρων κρίσει, μεθ' ἣν, ἂν δέῃ, καὶ ἐπὶ βραχεῖάν τινα παράκλησιν ἐρχόμεθα. καὶ τούτοις μὲν τέμνεται τοῖς ὀκτώ. ἰστέον δέ, ὅτι τινὲς μετὰ τὸ εἰκὸς τὸ ἀπὸ παραβολῆς τάττουσιν, ὅπερ ἐστὶ μέρος τοῦ εἰκότος, ἐμπῖπτον ἐν αὐτοῖς ὡς ἐνθύμημα· τῶν γὰρ ἀποδείξεων ἁπασῶν τῶν μὲν οὐσῶν ἐνθυμηματικῶν, τῶν δὲ παραδειγματικῶν, ἐν μὲν τῷ εἰκότι ταῖς ἐνθυμηματικαῖς χρησόμεθα, ἐν δὲ τῷ ἀπὸ παραδειγμάτων ταῖς παραδειγματικαῖς. ὡς μὲν οὖν ἐν βραχεῖ προγυμνάσματι, οὕτως· πῶς δὲ δεῖ κεχρῆσθαι ταῖς ἀποδείξεσιν ἐν τελειοτέραις ὑποθέσεσι, μαθησόμεθα· προμηθῶς δ' ἂν ἔξει, καὶ ἐπ' αὐτῆς τῆς ὕλης ἐπιδείξασθαι τὴν διαίρεσιν. ἴσμεν, ὅτι τὰ προοίμια δεῖ οἰκεῖα εἶναι τῶν ὑποκειμένων προσώπων καὶ ὑποθέσεων, ὥστε μὴ κοινὰ φαίνεσθαι, μηδὲ πολλοῖς τὰ αὐτὰ δύνασθαι ἁρμόζειν, καὶ μάλιστα ἐν ταῖς χρείαις, ὅτι δεῖ ἐν τῷ προοιμίῳ εἶναι τὸν ἔπαινον τοῦ εἰπόντος ἢ πράξαν-

www.libool.com.cn

Digitized by Google

τος· πῶς οὖν οἷόν τ' ἔστιν εἶναι μὴ μόνης τῆς προκειμένης χρείας τὸ οἰονεὶ προοίμιον; δεῖ οὖν τὸν ἔπαινον τὸν κατασκευαζόμενον διὰ βραχέων εἶναι, ἵνα μή, ὥσπερ εἴρηται, μεῖζον τοῦ δέοντος ᾖ τὸ πάρεργον· κἂν μὲν ᾖ τινα αὐτῷ ἕτερα πεπραγμένα ἢ δι' ἔργων ἢ διὰ λόγων, ἐν παραιτήσεως ἤτοι ἀποσιωπήσεως ἢ παραλείψεως σχήματι, ὡς ἔνι μάλιστα, διὰ βραχέων αὐξήσαντες τὸν ἔπαινον, οὕτως ἐπὶ τὸ προκείμενον ἥξομεν, ὑπερτιθέντες αὐτὸ πάντων ἐκείνων· ἂν δὲ μὴ ἔχωμεν τοιοῦτον, ἀπὸ τῆς οἰκείας αὐτῷ ποιότητος αὐξήσομεν τὸν ἔπαινον· οἷον Ἀθηναῖος φέρε ἀπὸ τῆς πόλεως καὶ τῶν Σόλωνος νόμων ὡς ἀξίως τούτων τέθραπται· εἰ δὲ Λακεδαιμόνιος, ὁμοίως ἀπό τε τῆς πόλεως καὶ τῶν Λυκούργου νόμων καὶ τοῦ ἐπιτηδεύματος, καὶ δεῖ σπεύδειν, ἁρμόττειν τῷ προκειμένῳ λόγῳ τὰ ἀπὸ τῆς ποιότητος ἀναφαινόμενα ἐξαίρετα. ἔσθ' ὅτε δὲ καὶ ἀπὸ τῶν καθολικωτέρων βεβαιωτέον τὸν ἔπαινον, οἷον ποιητὴν ἢ λογογράφον ἀπὸ τῶν ὁμοίων, ὡς ἐστὶ λέγειν οὕτως· οἱ ποιηταὶ καὶ λογογράφοι πολλοῦ τοῖς ἀνθρώποις ἄξιοι πεφήνασι, πολλῷ μᾶλλον οὗτοι· ὁμοίως καὶ στρατιώτην ἢ ῥήτορα ἢ φιλόσοφον ἢ στρατηγὸν ἢ βασιλέα. ἡ μὲν οὖν τέχνη αὕτη· σκοπεῖν δὲ καὶ ἐπὶ τοῦ προκειμένου τὰ ἐμπίπτοντα χρή.

ΟΡΟΣ ΓΝΩΜΗΣ.

Τὴν γνώμην ἀπόφασιν εἶναι βούλεται καθολικήν, 4
συμβουλήν τινα καὶ παραίνεσιν ἔχουσαν πρός τι τῶν ἐν 26
τῷ βίῳ χρησίμων. διαφέρει δὲ τῆς χρείας, κατὰ πᾶσαν κοινωνοῦσα τὴν διαίρεσιν, πρῶτον μὲν τούτῳ, καθὸ ἡ μὲν χρεία καὶ ἐν λόγοις ἐστὶ καὶ ἐν πράξεσιν, ἡ δὲ γνώμη ἐν λόγοις μόνον· εἶτα ὅτι ἡ μὲν γνώμη ἀπόφασίς ἐστι 30
καθολικὴ καὶ οὐ πάντως εἴς τι πρόσωπον ἀναφέρεται,

www.libtool.com.cn
Digitized by Google

ἡ δὲ χρεία τὴν ἀναφορὰν εἰς πρόσωπων πάντως ἔχει, καὶ πρὸς τούτοις, ὅτι ἡ μὲν χρεία ἐκ περιστάσεώς τινος σύγκειται, ἡ δὲ γνώμη ἐν πλήθει λόγων· ἐνθυμηματικὴν γὰρ ἀπόδειξιν ἔχουσα τοῦ προειρημένου καθολικὴν ἅμα ποιεῖται παραίνεσιν· ἔτι ἡ μὲν γνώμη πάντως αἵρεσιν ἀγαθοῦ ἢ κακοῦ εἰσηγεῖται φυγήν, ἡ δὲ χρεία καὶ χαριεντισμοῦ ἕνεκα εἰσάγεται. ἔστι καὶ ἄλλας ἐπιστήσαντας διαφορὰς τούτων εἰπεῖν, ἀλλὰ καὶ αὗται ἱκανῶς ὅσον πρὸς εἰσαγομένους. εἴρηται δὲ γνώμη ἀπὸ τοῦ γνῶσίν τινα καὶ πίστιν ἐμποιεῖν τοῦ προκειμένου, οὗ χάριν ἐνθυμηματικῶς παρείληπται. τὸ γὰρ „οὐκ ἀγαθὸν πολυκοιρανίη“ γνῶσιν ἐναργῆ οἷον ἐπιστρέφουσαν ἐφιστάνειν τῷ προειρημένῳ ἐνεποίησεν καὶ ἀπόδειξιν ἐναργῆ τοῦ μὴ πάντας ἐθέλειν βασιλεύειν· οὐδὲ γὰρ ἀγαθόν. ἐπεὶ δὲ κοινωνεῖ καὶ τὸ ἀπομνημόνευμα τῇ χρείᾳ καὶ τῇ γνώμῃ κατὰ τὴν προαίρεσιν, δεῖ καὶ τούτου πρὸς ταύτας εἰπεῖν τὰς διαφοράς. διαφέρει οὖν τῆς μὲν γνώμης σχεδὸν πᾶσιν, οἷς καὶ ἡ χρεία, τῆς δὲ χρείας τῷ μήκει τῶν λόγων· ἃ γὰρ εἰσηγεῖται δι' ὀλίγου ἡ χρεία, ταῦτα διὰ πλειόνων τὸ ἀπομνημόνευμα, καὶ τούτου μάρτυς Ξενοφῶν ἐν τοῖς καλουμένοις ἀπομνημονεύμασι. τῶν γνωμῶν πρὸς ἀλλήλας εἰσὶ διαφοραὶ αὗται· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἀληθεῖς, αἱ δὲ πιθαναί· ἀληθεῖς μέν,

οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα·

πιθαναὶ δέ, τοιοῦτός ἐστιν ἕκαστος, οἵσπερ ἥδεται ξυνών. ἔτι αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ διπλαῖ· ἁπλαῖ μέν, οἷον·

οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί·

διπλαῖ δέ, οἷον·

ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι συμμίξῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Digitized by Google

πάλιν τῶν γνωμῶν αἱ μὲν ἄνευ αἰτίας προσφέρονται, ὡς ἐκείνη, οἷον·

εἷς ἐστι δοῦλος, οἰκίας ὁ δεσπότης·

αἱ δὲ μετὰ αἰτίας, ὡς αὕτη·

ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

καὶ αὖθις τῶν γνωμῶν αἱ μὲν δηλοῦσιν ὥσπερ αἱ χρεῖαι, ὁποῖά ἐστι τὰ πράγματα, αἱ δέ, ὁποῖα δεῖ εἶναι· ὁποῖα μέν ἐστιν, ὡς τό· οἱ πλεῖστοι κακοί· ὁποῖα δὲ δεῖ εἶναι, ὡς τό· μηδὲν ἄγαν. ἔτι τῶν γνωμῶν αἱ μέν εἰσι προστακτικαί, οἷον· ἄλκιμος ἔσσο· αἱ δὲ εὐκτικαί, οἷον·

μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος·

αἱ δὲ ἀπαγορευτικαί·

μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι·

αἱ δὲ κατ' ἐπίκρισιν·

ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον.

καὶ ἔτι τῶν γνωμῶν αἱ μέν εἰσιν ἄδοξοι, ὡς αὕτη·

ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν·

αἱ δὲ ἔνδοξοι·

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

ταύτας μὲν οὖν οἱ περὶ Σιρίκιον τὰς διαφορὰς προστιθέασι, καὶ ἄλλας ἄλλος πλείστας. ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις, νῦν δὲ τοσοῦτον εἰπεῖν ἀναγκαῖον, ὡς τριῶν μὲν ὄντων εἰδῶν τῆς ῥητορικῆς, πέντε δὲ μερῶν τοῦ πολιτικοῦ λόγου, τὴν αὐτὴν τούτοις γυμνασίαν παρέχει ἡ γνώμη, ἣν καὶ ἡ χρεία. ἔστι δὲ καὶ τῶν μερῶν μόνον, οὐδὲ γὰρ δύναται αὐτὴ καθ' ἑαυτὴν ἰδίαν πληρῶσαι ὑπόθεσιν, καὶ τοῦτο παντὶ δῆλον τῷ καὶ μικρὸν ἐπιστήσαντι, πλὴν εἰ μὴ κατὰ τὴν ἀπόφασιν μόνην τις ἡγοῖτο ἀρκεῖν καὶ πρὸς ὅλην ὑπόθεσιν τὸ εἰπεῖν·

μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι.

μᾶλλον δ' ἂν εἰκότως τῶν μερῶν νομίζοιτο, ὥσπερ καὶ ἡ χρεία. ἡ μὲν οὖν διαίρεσις αὕτη τῆς γνώμης· περὶ δὲ

www.libtool.com.cn
Digitized by Google

τῶν διαιρέσεων τῶν κεφαλαίων οὐδὲν πλέον ἔχομεν εἰπεῖν τῶν ἐν τῇ χρείᾳ εἰρημένων· τοῖς γὰρ αὐτοῖς καὶ αὕτη τέμνεται κεφαλαίοις, καὶ πέρα τῶν εἰρημένων ἐν τῇ χρείᾳ οὐκ ἔχει τι.

www.libtool.com.cn

ΟΡΟΣ ΑΝΑΣΚΕΤΗΣ.

Μετὰ τὴν γνώμην τάττεται ἡ ἀνασκευὴ καὶ ἡ κατασκευή. αὗται γὰρ ἐγγεγυμνασμένους ἡμᾶς ἤδη διὰ τῶν προειρημένων παραλαβοῦσαι ταῖς τε παραδειγματικαῖς καὶ ἐνθυμηματικαῖς ἀποδείξεσιν, διδάσκουσι διὰ πλειόνων, πῶς δεῖ τοὺς πρὸς τὰς ἀντιθέσεις ἀγῶνας δέχεσθαι, δι' ὧν καὶ ἐν ταῖς τελείαις ὑποθέσεσι δυνησόμεθα τὰ παρὰ τῶν ἐναντίων φερόμενα λύειν τε καὶ πρὸς τὸ δοκοῦν ἡμῖν κατασκευάζειν εὐχερῶς. ἀνασκευὴ τοίνυν ἐστὶ λόγος ἀνατρεπτικὸς τοῦ πιθανῶς προτεθέντος λόγου. πρόσκειται τοῦ πιθανῶς, ἵνα γνῶμεν, ὡς οὔτε τὰ ὁμολογούμενα ἀληθῆ ἀνασκευάσομεν, οὔτε τὰ ὁμολογούμενα ψευδῆ, ἀλλὰ τὰ δεχόμενα τοὺς ἐφ' ἑκάτερον λόγους πιθανούς. οὔτε γὰρ τὰ ὁμολογούμενα ἀληθῆ ἀνατρέποντες ἀληθεῖς φανησόμεθα· οὐδεὶς γὰρ ὁ προσέξων· ἀλλὰ πρὸς τῷ γελοῖοι εἶναι ἔτι καὶ κολάσεως ἢ αἰσθήσεως κατὰ τὸν Σταγειρίτην δεησόμεθα· οὔτε τὰ ὁμολογουμένως ψευδῆ· οὐδεὶς γὰρ ὁ τοῦ πεισθῆναι δεόμενος· δεῖ οὖν περὶ τὰ πιθανὰ τὴν τοιαύτην μελέτην στρέφεσθαι. ἰστέον δέ, ὅτι ἡ τούτων τάξις ἀδιάφορος· οὔτε γὰρ τὴν ἀνασκευὴν πάντως προτάξαντες μετὰ ταύτην κατασκευάσομεν, οὔτε αὖ πάλιν τὸ ἐναντίον ὡρισμένως ποιήσομεν, ἀλλὰ ἔχομεν ἐπὶ πολλῆς ἀδείας, ὁποτέρα ἂν αὐτῶν ἐθέλωμεν, χρῆσθαι προτέρᾳ. ἡ ἀνασκευὴ τοίνυν εἴωθε διαιρεῖσθαι τοῖσδε τοῖς κεφαλαίοις· τῷ ἀπιθάνῳ, τῷ ἀδυνάτῳ, τῷ ἀπρεπεῖ, τῷ

Digitized by Google

ἀσυμφόρῳ, τῷ μαχομένῳ, καὶ ἔτι τῶν περιστατικῶν μορίων τοῖς ἐμπίπτουσι, τόπῳ ἢ χρόνῳ ἢ προσώπῳ ἢ ἄλλῳ τινὶ τούτων. ἰστέον δέ, ὅτι τῶν κεφαλαίων τούτων τινὲς τάξιν ἀπέδωκαν ὡρισμένην, ὥσπερ καὶ ὁ παρὼν τεχνικός· κατὰ γοῦν τὴν ἀκρίβειαν οὐκ ἔχει τάξιν ταῦτα ἐν τῇ ἀνασκευῇ καὶ κατασκευῇ, ἀλλ' ὡς ἂν ἡ τοῦ ὑποκειμένου δίδωσι φύσις χρῆσθαι τῇ τέχνῃ, οὕτως προάγειν δεῖ τὰ κεφάλαια, μικρὰ τῆς τάξεως αὐτῶν φροντίζοντας. ἀλλ' οὐδὲ πάντα τὰ κεφάλαια δεῖ βιάζεσθαι, ἂν μὴ χορηγῇ τὸ πρᾶγμα, ἀλλὰ τοῖς ἐμπίπτουσιν ἀρκεῖσθαι· εἰ γὰρ μὴ τοῦτο, εἰς ψυχρολογίαν περιστῆναι τὸν λόγον ἀνάγκη, πλῆθος ἀπειρόκαλον ἐπισωρευόντων ἡμῶν, οἷον ὡς ἐπὶ ὑποδείγματος. προκείσθω τοίνυν ἡμῖν εἰς ἀνασκευὴν τὸ κατὰ Δάφνην· τὸ τοίνυν πρῶτον μέρος τοῦ διηγήματος ἀπὸ τοῦ ἀπιθάνου ἐστὶν ἢ ἀδυνάτου, καὶ οὕτω τῇ ἐργασίᾳ τοῦ κεφαλαίου χρησόμεθα. τοῦτο καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου μέρους τοῦ διηγήματος, καὶ ἐφεξῆς ἐπὶ πάντων ὁμοίως· οὕτω γὰρ οὐ συγχυθήσεται ὁ λόγος, βιαζομένων ἡμῶν εἰς τὴν τῶν κεφαλαίων τάξιν κατατέμνειν τὸ διήγημα, ἀλλὰ μὴ πρὸς τὴν τοῦ διηγήματος τάξιν ἐπάγειν τὰ κεφάλαια. τοῦτο δὲ καὶ Δημοσθένης ἐν ἄλλοις τε πεποίηκε, καὶ ἐν τῷ κατὰ Τιμοκράτους· τὸν γὰρ νόμον τὸν Τιμοκράτους καὶ ἀσύμφορον διαβάλλων, καὶ προελθὼν εἰς τοῦτο, μετὰ τὴν τοῦ νόμου ἐξέτασιν πάλιν ἄνωθεν ἐξ ἀρχῆς ἀρξάμενος [κατὰ μέρος] τὰ δοκοῦντα ἀσύμφορα εἶναι κατὰ μέρος τίθησι καὶ ἀγωνίζεται. δεῖ δὲ κἀκεῖνο ἐπισημήνασθαι, ὅτι οὐδὲν κωλύει καὶ ἓν μέρος τοῦ διηγήματος ὑπὸ πλείονα ἀνάγεσθαι κεφάλαια, οἷον, εἰ τύχοι, ὑπὸ τὸ ἀσύμφορον καὶ ὑπὸ τὸ ἀπίθανον καὶ ὑπὸ ἕτερον, καὶ χρησόμεθα μὲν αὐτῷ ἐν ἅπασι, τῇ δὲ περὶ τὴν ἐργασίαν διαφορᾷ τὴν ἐξαλλαγὴν μηχανησόμεθα. τὸ δὲ ἀγωνιστι-

www.libool.com.cn
Digitized by Google

κώτατον καὶ κάλλιστον ἡμῖν συμβαλλόμενον κεφάλαιόν ἐστι τὸ καλούμενον μαχόμενον, ὅπου τοῦτον ὥσπερ ἀντιλέγοντα αὐτὸν ἑαυτῷ καὶ ἐναντία προσφέροντα τὸν τὴν ἱστορίαν γράφοντα τοῖς προειρημένοις ἡμεῖς ἀνασκευάζοντες δείκνυμεν. οὕτω καὶ Δημοσθένης ἐν τῷ προειρημένῳ λόγῳ πεποίηκε· καὶ γὰρ δείκνυσι τοῖς πρώην ὑπὸ Τιμοκράτους τεθεῖσι νόμοις ἐναντίον τὸν νῦν ὑπ' αὐτοῦ τούτου τιθέμενον. συλλάβοι δ' ἂν καὶ ἡ ἐκ τῶν περιστατικῶν μάχη πολύ, ἐλεγκτικὸν ποιοῦσα τὸν λόγον, οἷον ἐν ποίοις τόποις ἡ Δάφνη ἢ χρόνοις ἢ εἴ τι ἄλλο ἐμπίπτει. ἔτι καὶ τοῦτο προσθετέον, ὡς οἱ μὲν κατὰ μέρος τιθέντες ἠγωνίσαντο, οἱ δὲ πρὸς ὅλον ἐμαχέσαντο τὸν λόγον· ἀλλ' ἐμοὶ δοκεῖ ἡ κατὰ μέρος εἶναι μάχη· ἀγωνιστικώτερος γὰρ οὕτως ὁ λόγος γίνεται· οὕτω δὲ ἔχει καὶ ἡ προσκειμένη μελέτη, * εἶτα ἡ κατὰ μέρος ἀνασκευή. πάντων μὲν οὖν ἤλγουν. ἀπὸ τῆς τοῦ κρείττονος ὕβρεως καὶ τῆς ὑπὲρ τούτου ἀγανακτήσεως ἔοικεν εὐπαράδεκτον ποιεῖσθαι τοῖς ἀκροαταῖς τὸν λόγον, καὶ πείθειν ὑπερφρονεῖν τῶν εἰρηκότων. τριῶν δὲ ὄντων τῶν τῆς ῥητορικῆς εἰδῶν, ὡς πολλάκις εἰρήκαμεν, περὶ τὸ δικανικὸν μᾶλλον ἡ μελέτη ἐν τοῖς προγυμνάσμασι τούτοις γίγνοιτο. τὸ γὰρ συμφέρον, ὅπερ ἐστὶ τοῦ συμβουλευτικοῦ, οὐ προηγουμένως ἐνταῦθα ἐξετάζεται, ἀλλ' ἐπὶ ταῖς ἄλλαις ἀποδείξεσιν εἰσφέρεται. ἀλλὰ καὶ πρὸς πάντα τὰ τοῦ πολιτικοῦ λόγου μέρη πλὴν τῶν ἐπιλόγων συντελέσει. καὶ γὰρ προοιμιακῶν ἐννοιῶν προγυμνασία γένοιτ' ἂν καὶ διηγήσεων καὶ ἀντιθέσεων καὶ λύσεων, ὡς ἐν τῇ κατασκευῇ· ἃ γὰρ ἡ ἀνασκευὴ ἀναμοχλεύειν πειρᾶται, ταῦτα λύει ἡ κατασκευή· πρὸς δὲ τὴν τῶν ἐπιλόγων γυμνασίαν ὁ κοινὸς ἀσκήσει ἡμᾶς τόπος. εἰσὶ δὲ τῶν ὡς μερῶν μόνον, ἀλλ' οὐχὶ τῶν ὡς μερῶν καὶ ὅλων,

www.libtool.com.cn

Digitized by Google

ἢ τῶν ὡς ὅλων· καίτοι με οὐ λέληθεν, ὥς τινες ἀπεφήναντο ταῦτα δύνασθαι καὶ ἐφ' ἑαυτῶν πληροῦν ὑπόθεσιν, καὶ τούτου τεκμήριον λέγουσιν εἶναι τὸν Ἀριστείδου ὑπὲρ τῶν τεσσάρων λόγον, ὃν ἀνασκευὴν ἡγοῦνται. ἀλλ' οἱ τοιοῦτοι δῆλοί εἰσι τὴν τοῦ ἀντιρρητικοῦ εἶδους διαίρεσιν ἀγνοοῦντες καὶ ἀνασκευὴν τὴν ἀντίρρησιν ὀνομάζοντες. ὥστε ταῦτα, ἢ καὶ προείρηται, τῶν ὡς μερῶν ἂν εἴη, εἰ καὶ δοκεῖ ἐκ πάντων τῶν μερῶν τοῦ λόγου συνίστασθαι· ἀλόγως δὲ οἱ διὰ πάντων μὲν ἐπεξιόντες, μὴ ἐξετάζοντες δὲ τὰς διαφοράς, μηδὲ ὁρῶντες, τί μὲν ἐνταῦθα πρὸς τὸ ὅλον ἐλλείπει, τί δὲ ἀντιρρήσεως ἴδιον, ἐπὶ τὸ ἀντιρρητικὸν εἶδος τὸν λόγον ἀνάγουσι. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς, ἡνίκα πρὸς ἔνδοξα πρόσωπα λέγομεν, οὐ δεῖ τῇ ταχύτητι χρῆσθαι προοιμιαζομένους, ἀλλὰ τῇ ποιότητι τῶν ὑποκειμένων προσώπων, ἀφ' ὧν τὸ ἀνασκευαζόμενον πρόεισι, μετρεῖν τὸν λόγον. ἐπεὶ τυχόν, ἐὰν νέος ᾖ ὁ ἀνασκευάζων, οὐκ ἔχει παρρησίας πολλὴν ἄδειαν, ἀλλ' οὐδ' ἂν πρεσβύτης· ὀφείλει γὰρ καὶ οὗτος ἠθικῶς καὶ ὑφειμένως πως ἐφιέναι καὶ κατασκευάζειν τὸν λόγον.

ΟΡΟΣ ΚΑΤΑΣΚΕΥΗΣ.

Κατασκευή ἐστι λόγος κατασκευαστικὸς τοῦ πιθανῶς προτεθέντος λόγου. πρόσκειται πιθανῶς, ἵνα γνῶμεν, ὡς οὔτε τὰ ὁμολογούμενα ἀληθῆ κατασκευάσομεν· πάντες γάρ εἰσι περὶ αὐτῶν ἤδη προπεπεισμένοι· οὔτε τὰ ὁμολογούμενα ψευδῆ· οὐδεὶς γὰρ ἀνέξεται· δεῖ οὖν περὶ τὰ πιθανὰ τὴν τοιαύτην στρέφεσθαι μελέτην. ἰστέον δέ, ὡς περί τε τῆς τάξεως τῆς ὅλης ταύτης μελέτης καὶ περὶ τῶν κεφαλαίων τῆς τάξεως καὶ τῆς διαιρέσεως καὶ τῶν λοιπῶν ἐν τῇ ἀνασκευῇ εἰρήκα-

www.libpool.com.cn
Digitized by Google

μεν, διὸ καὶ περιττὸν ἐνομίσαμεν, ταῦτα πάλιν ἐνταῦθα παρατίθεσθαι· κατὰ πάντα γὰρ τῇ ἀνασκευῇ ἡ κατασκευὴ ἀκολουθεῖ, κατὰ μόνον τὸ ἐναντίον τὰ κεφάλαια μεταχειριζομένη.

www.ftbtool.com.cn

ΟΡΟΣ ΚΟΙΝΟΥ ΤΟΠΟΥ.

Τινὲς μετὰ τὴν ἔκφρασιν τὸν κοινὸν ἔταξαν τόπον, ἕτεροι πρὸ τῆς ἀνασκευῆς καὶ κατασκευῆς, ἄλλοι δὲ ἄλλως, πάντες δὲ οὗτοι πάντως κακῶς εἰδότες· χρὴ γὰρ τοὺς ἀρίστην αὐτῷ τάξιν ἀπονέμοντας μετὰ τὴν ἀνασκευὴν καὶ κατασκευὴν αὐτὴν κατὰ τὴν νῦν τιθέναι τάξιν. εἰ γὰρ τοῖς προγυμνάσμασι πρὸς τὰς τελειοτέρας ὑποθέσεις προασκούμεθα, καὶ εἴ ἕκαστον τούτων πρὸς ἑνὸς τῶν τοῦ πολιτικοῦ λόγου μερῶν μελέτην ἐπιτήδειον, πάντως ἐχρῆν αὐτὸν μετὰ τὴν ἀνασκευὴν καὶ κατασκευὴν τετάχθαι, εἴγε ἐκεῖναι ἐγύμνασαν μὲν ἡμᾶς πρὸς τὰς ἀντιθέσεις καὶ λύσεις, λοιπὸν δὲ κεφάλαιον οἱ ἐπίλογοι, οὗ πρὸς ἄσκησιν ὁ κοινὸς ἡμᾶς γυμνάσει τόπος. τόπος δέ ἐστι κοινὸς αὔξησις καὶ καταδρομὴ ὁμολογουμένου ἀδικήματος. καὶ οὗτος μὲν ὁ τέλειος ὁρισμός· ὅσοι δὲ καὶ ἀνδραγαθήματος αὐτὸν εἶναι αὔξησιν ὡρίσαντο, οὐκ ἐπέστησαν τὸ ἐγκώμιον τῆς οἰκείας ἐκβάλλοντες χρείας· εἰ γὰρ ὁ κοινὸς τύπος τὸ τοῦ ἐγκωμίου ἐργάσαιτο, περιττὸν καὶ ἄλλως ὄχλος ἡ τοῦ ἐγκωμίου μάθησις. ἄλλως τε εἰ πρόκειται ἐν κοινῷ τόπῳ ὑπέρ τινων λέγειν, πάντως ἢ ὑπὲρ αὐτῶν ἐροῦμεν, καθ' ὧν ἤδη εἰρήκαμεν, ἢ ὑπὲρ ἑτέρων· ἀλλ' εἰ μὲν ὑπὲρ τούτων, καθ' ὧν καὶ προειρήκαμεν, οἷον κατὰ φονέως [ἢ ὑπὲρ φονέως], οὐκέτι τὸ πρᾶγμα ὁμολόγηται· εἰ δὲ ὑπὲρ ἑτέρων τῶν τὰ ὁμολογούμενα ἀγαθὰ διαπεπραγμένων, τῷ ἐγκωμίῳ μᾶλλον ἁρμόζων ὁ τοιοῦτος φανεῖ-

Digitized by Google

ται λόγος. ὥστε οὐκ ἂν ἐν κοινῷ τόπῳ λέγειν δειχθείην ὑπέρ τινος, ἀλλὰ πάντως καταδρομὴν χρὴ γίγνεσθαι ἐν αὐτῷ κατὰ ἀνθρώπου ὁμολογουμένως ἠδικηκότος καὶ ἐξεληλεγμένου, ὥσπερ καὶ ἐν δευτερολογίᾳ τοὺς λόγους ποιησόμεθα. ἄλλοι δὲ καὶ οὕτως ὡρίσαντο· κοινός τόπος ἐστὶν αὔξησις καὶ καταδρομὴ ὁμολογουμένου κακοῦ πράγματος. ἀλλὰ καὶ οὗτοι ἐλάνθανον ἑαυτοὺς ὑπὸ τὸν κοινὸν τόπον ἐξελαύνοντες πάντα τὰ διαβολῆς ἄξια, οἷς πάλιν ὁ ψόγος ἀργὸς γένοιτο, ἀριθμὸς ἄλλως τοῖς προγυμνάσμασι συνταττόμενος. εἰ γὰρ κατὰ οἰνόφλυγος φέρε ἤ τινος ἄλλου φαῦλον μὲν διαπραττομένου, μὴ μέντοι καὶ τιμωρίας ἀξίου [οὐκ] ἀρκέσει ὁ κοινὸς τόπος, περιττὴ ἡ τοῦ ψόγου προσθήκη ἐν προγυμνάσμασιν. ἀλλ' οὐχ οὕτως ἔχει· ταῦτα γὰρ ὑπὸ τὸν ψόγον τάττεται, καὶ ταύτῃ διαφέρειν ψόγον κοινοῦ τόπου φαμέν, καθὸ ὁ μὲν κοινὸς τόπος δικαστὰς ἐπὶ τιμωρίαν τοῦ ἡμαρτηκότος παρακαλεῖ, ὁ δὲ ψόγος ψιλὴν ἔχει διαβολήν, καὶ μῖσος μόνον κατὰ τοῦ διαβαλλομένου κινεῖ. ἔτι δὲ καὶ κατὰ τοῦτο διαφέρει, ὅτι ἐν μὲν τῷ κοινῷ τόπῳ ἀόριστόν ἐστι τὸ πρόσωπον, ἐν δὲ τῷ ψόγῳ ὡρισμένον, ὅταν προσώπου διαβολήν, ἀλλὰ μὴ πράγματος ποιώμεθα. εἴρηται δὲ κοινὸς τόπος διὰ ταῦτα, ἢ ὅτι τόποι τὰ ῥητορικὰ ἐπιχειρήματα λέγονται, ἵνα ᾖ κοινὸν ἐπιχείρημα, ἢ ὅτι ὥσπερ ἀπὸ τόπου ἦτοι ἀπό τινος κοινοῦ χωρίου ἐντεῦθεν ὁρμώμενοι καὶ τοὺς κατὰ τῶν ὡρισμένων προσώπων ποιούμεθα λόγους, ῥᾳδίως τῇ ἐκ τούτου προγυμνασίᾳ καὶ κατ' ἐκείνων ἐπιχειροῦντες· κοινὸς δέ, ὅτι οὐχ ὡρισμένου προσώπου ἐστίν, οἷον κατὰ Τιμάρχου φέρε ἤ τινος ἄλλου ὡρισμένου, ἀλλ' ἁπλῶς κατὰ πόρνου ἢ μοιχοῦ. διαφορὰς δὲ κοινοῦ τόπου τινὲς παραδιδόντες εἰρήκασι τῶν κοινῶν τόπων τοὺς μὲν εἶναι ἁπλοῦς, τοὺς δὲ

www.libtool.com.cn

Digitized by Google

διπλοῦς· ἁπλοῦς μέν, οἷον κατὰ ἱεροσύλου ἢ κλέπτου ἢ προδότου· διπλοῦς δὲ κατὰ ἱερέως ἱεροσύλου, ἢ στρατηγοῦ προδότου. ἁμαρτάνουσι δὲ οὗτοι ἐν τοῖς διπλοῖς· εἴπερ γὰρ διπλοῦς γένοιτο, οὐ τῇ τοῦ ἱερέως ἢ στρατηγοῦ προσθήκῃ γένοιτ' ἂν· οὐ γὰρ ὑπεύθυνα τὰ πρόσωπα ταῦτα, ὅθεν καὶ περιαιρεθέντος τοῦ ἀδικήματος κατὰ στρατηγοῦ ἢ ἱερέως μόνου οὐδέν τι λέγειν τις ἕξει, ἀλλ' εἰ ἄρα καὶ γένοιτο διπλοῦς τόπος κοινός, γένοιτ' ἂν κατὰ μοιχοῦ φονέως ἢ κλέπτου φονέως· ἐνδέχεται γάρ· ἢ ἄλλου τοιούτου, ἐν ᾧ δύο εἰσὶν ἀδικήματα, ὧν καὶ ἑκάτερον ἰδίαν κρίσιν ἐπιδέχεται. ἐπεὶ δὲ εἴρηται, ὅτι ἐπιλόγου χρείαν πληροῖ ὁ κοινὸς τόπος, καὶ ὅτι ὡς ἐν δευτερολογίᾳ τοῦτον ἐργαστέον, ζητητέον, εἰ ἐν τῷ κοινῷ τόπῳ καὶ προοίμιον ἐργασόμεθα, ἢ εὐθὺς ἐπὶ τὴν ἄλλην διαίρεσιν ἥξομεν. φαμὲν οὖν, ὅτι προοίμιον ἐργασόμεθα, ὡς αὐτῷ Ἀφθονίῳ δοκεῖ· εὑρίσκομεν γὰρ τούς τε ἄλλους ῥήτορας καὶ αὐτὸν τὸν Δημοσθένην πολλάκις μετὰ τὸ τὴν πᾶσαν ἐργάσασθαι ὑπόθεσιν ἐν αὐτῷ τῷ μέλλειν ἅπτεσθαι τῶν ἐπιλόγων οἷον προοιμίοις τισὶ κεχρημένον, δι' ὧν προσέχειαν ὅλως ἐργάζεται, καὶ ἔστιν ἡ τῶν προοιμίων καὶ ἐπιλόγων χρῆσις παρ' αὐτῷ ἀδιάφορος· καὶ γὰρ προοιμιακαῖς ἐννοίαις καὶ ἐν ἀρχῇ καὶ ἐν μέσοις κέχρηται καὶ δὴ καὶ πρὸς τῷ τέλει, καὶ μὴν καὶ τοῖς ἐπιλόγοις ἔν τε τοῖς μέσοις πολλάκις καὶ ἐν τῷ τέλει. οὐδὲν ἂν οὖν κωλύοι καὶ ἐν κοινῷ τόπῳ προοιμιάζεσθαι. εἰ δέ, ὅτι δευτερολογία ἐστί, διὰ τοῦτο παραιτοῦνται τὰ προοίμια (τεχνικῷ μὲν γὰρ κέχρηνται λόγῳ· πάντα γάρ, ὅσα δεῖ διὰ προοιμίων ἐργάζεσθαι, ὁ πρότερος ἔσχε λόγος), ὅμως δὲ καὶ οὕτω χρή τινας εἶναι προοιμιακὰς ἐννοίας, ὡς ἂν μὴ ἀκέφαλος καὶ οὕτω φαίνοιτο ὁ λόγος· δέδεικται γάρ, ὅτι κεφαλῆς τάξιν ἐπέχει τὰ προοίμια, καὶ φαίνε-

www.libtool.com.cn

Digitized by Google

ται καὶ Δημοσθένης ἐν ταῖς δευτερολογίαις αὐτοῖς χρησάμενος, οἷον ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ ἐν τῷ κατὰ Τιμοκράτους, καὶ μέντοι καὶ ἐν τῷ πρὸς Λεπτίνην, εἰ καὶ βραχύ, ὅμως γοῦν οἷον προοίμιον ἔταξε. τούτου δὲ δειχθέντος, ζητητέον, εἰ ἐνὶ χρησόμεθα προοιμίῳ ἐν τῷ κοινῷ τόπῳ ἢ καὶ πλείοσι. φαμὲν οὖν, ὅτι καὶ ἑνὶ ἔξεστι καὶ πλείοσιν· εἰ γὰρ μελέτης ἕνεκα παραλαμβάνεται, οὐδὲν κωλύει, ἑνὶ καὶ πλείοσιν ἐγγυμνάζεσθαι. ἄλλως τε καὶ ἐν ταῖς τελείαις ὑποθέσεσιν οὐχ ὥρισται ἡ τῶν προοιμίων ποσότης, ἀλλ' ἡ χρεία τὸ πλεῖον ἢ ἔλαττον ὁριεῖ τῷ ῥήτορι· αὐτίκα γοῦν καὶ μέχρι πέντε προῆλθόν τινες προοιμίων, καὶ οὐδὲν ὁ λόγος ἐβλάβη· ὥστε, ὅπερ εἶπον, καὶ πλείοσι προοιμιακαῖς ἐννοίαις ἐν τῷ κοινῷ τόπῳ χρησόμεθα. ἡ δὲ τοῦ προοιμίου ἀρετή, τὸ ἴδιον αὐτὸ τῆς ὑποθέσεως, καὶ μὴ πάσαις τὸ αὐτὸ ἁρμόζειν ὑποθέσεσιν * ἐν τῷ κοινῷ τόπῳ· οὐχ ὡρισμένου δὲ τοῦ προσώπου, καθ' οὗ ποιούμεθα τοὺς λόγους, πῶς ἂν ἰδιάζοντα εὑρεθείη προοίμια; λέγουσι τοίνυν, ὅτι δεῖ ἐν τῷ κοινῷ τόπῳ ἀντὶ ὡρισμένου προσώπου τῇ τοῦ πράγματος ποιότητι προσαρμόζειν τὰ προοίμια, οἷον ἵνα ἁρμόζῃ κατὰ παντὸς μέν, εἰ τύχοι, μοιχοῦ, μηκέτι δὲ τὰ αὐτὰ καὶ κατὰ προδότου, ἢ κατὰ προδότου μέν, μηκέτι δὲ κατὰ ἱεροσύλου, καὶ ὅλως ἵνα μόνοις τοῖς ὑποκειμένοις πράγμασιν ἐπιτήδειος φαίνοιτο, καὶ οὕτως ἡ ἰδιότης αὐτοῖς γενήσεται. πᾶν δὲ προοίμιον, ὡς ἐν κεφαλαίοις εἰπεῖν, ἐκ τεσσάρων λαμβάνεται τούτων, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ ἀντιδίκου, ἢ ἀπὸ τῶν δικαστῶν, ἢ ἀφ' ἑαυτοῦ, καὶ τοῦτο ἐν παντὶ λόγῳ παρατηρητέον. διαιρεῖται δὲ ὁ κοινὸς τόπος ἐν ἄλλοις ἄλλως· οἱ μὲν γὰρ τὸ πρᾶγμα, ὃ κρίνουσι, πρῶτον τάττουσιν, οἱ δὲ τὰ προβεβιωμένα ἐξετάζουσιν, ἅπερ καὶ πρὸ τοῦ πράγματος κα-

www.libtool.com.cn

Digitized by Google

λοῦσιν, ἄλλοι δὲ εὐθὺς ἐπὶ τὰ συγκριτικὰ ἔρχονται. ἐπεὶ δὲ οἱ καλῶς διαιροῦντες οὐκ ἐδοκίμασαν οὐδεμίαν τούτων τῶν τάξεων· οὔτε γὰρ τὰ πρὸ τοῦ πράγματος ἔφησαν δεῖν προτάττειν· ἄτοπον γὰρ πρὸ τοῦ παρόντος βίου τὸν παρελθόντα ἀνασκέπτεσθαι· οὔτε αὐτὸ τὸ πρᾶγμα πρῶτον· οὐ γὰρ νῦν τοῦ διδάσκειν, ἀλλὰ τοῦ παροξύνειν χρεία· οὐ γὰρ διηγεῖσθαι μέλλομεν αὐτὰ ἐν τῷ προτέρῳ λόγῳ δηλονότι μεμαθηκόσιν· ἀλλ' οὐδὲ συγκρίσεις ἐπάξομεν μὴ πρῶτον τὸ παρὸν αὐξήσαντες· διὰ τοῦτο γοῦν ἔταξαν μετὰ τὰ προοίμια πρώτην τοῦ ἐναντίου τὴν σύστασιν, ἣν καὶ ἔπαινόν τινες τοῦ ἠδικημένου καλοῦσι πράγματος. ἔστι δὲ τὸ κεφάλαιον τοῦτο τοιοῦτον, οἷον εἰ κατὰ μοιχοῦ λέγομεν, ἐπαινέσομεν τὴν σωφροσύνην, εἰ κατὰ τυράννου, τὴν δημοκρατίαν καὶ τὰ ἐν αὐτῇ καλά, εἰ κατὰ προδότου, τὴν περὶ τὴν πόλιν εὔνοιαν, καὶ ὅλως οὕτως ἐπὶ πάντων τὰ ἐναντία ζητήσομεν, καὶ μετὰ τὸ ἐργάσασθαι δεόντως ἐπάξομεν τὸ πρᾶγμα, οὐχ ὡς διηγούμενοι, ἀλλ' ὡς δεινοποιοῦντες καὶ ἐν τῶν χαλεπωτάτων ἀποδεικνύντες, καὶ εὐθὺς ἐπισυνάψομεν αὐτῷ τὴν καλουμένην περιοχήν, καὶ δείξομεν, πόσα τῷ νῦν τούτῳ συναδικεῖται πράγματι, οἷον ὅτι νόμοι καταλύονται, δικαστήρια, βουλευτήρια, πάντα ἁπλῶς τὰ τῆς πόλεως καλά, καὶ ἁπλῶς εἰς ἄτοπον ἀπαγωγῇ χρησόμεθα, ἐξ ἑνὸς τούτου τὰ ἔσχατα συμβαίνειν λέγοντες, καὶ οὕτως χώραν ἕξει τὰ συγκριτικά, ἐν οἷς πρὸ τῶν ἄλλων φροντιοῦμεν, ὥστε ὁμοιογενέσι κεχρῆσθαι πράγμασιν. ὁμοιογενῆ δὲ λέγεται τὰ ἐν ταῖς αὐταῖς αἰτίαις γινόμενα· οἷον εἰ κατὰ τυμβωρύχου λέγοιμεν, τὴν σύγκρισιν ἐργασόμεθα πρὸς κλέπτας, πρὸς ἱεροσύλους, πρὸς πάντας τοὺς κέρδους ἕνεκα τὰ τοιαῦτα τολμῶντας. γενήσονται δὲ αἱ συγκρίσεις ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἐλάττονος, ἀπὸ τοῦ

www.libtool.com.cn

Digitized by Google

ἴσου· τῷ μὲν γὰρ μείζονι ἴσον αὐτὸ ἀποδείξομεν, τοῦ δὲ ἴσου μεῖζον· ἐπὶ μέντοι τῇ ἀπὸ τοῦ ἐλάττονος ἐπιτιμήσει χρησόμεθα, λέγοντες ἄτοπον εἶναι, ἐπὶ μὲν δραχμῇ εὐθύνεσθαί τινα, ἐπὶ δὲ ἱεροσυλίᾳ τοῦτον μένειν ἀτιμώρητον. ἰστέον δέ, ὡς οὔτε κατὰ τοὺς τρεῖς τόπους πάντως ἐμπεσοῦνται αἱ συγκρίσεις, οὔτε κατὰ ὡρισμένην τάξιν, ἀλλὰ καὶ ποῖα δεῖ πρῶτα ἢ δεύτερα ἢ τρίτα ἐξετάσαι, ἢ ποῖα ὅλως ἐμπεσεῖται ἢ ὅλως ἐκλείψει, ὁ διαιρῶν εἴσεται. ἐργασάμενοι δὲ τὰ συγκριτικά, εὐθὺς καὶ τοῖς καλουμένοις πρὸ τοῦ πράγματος χρησόμεθα. ποιησόμεθα δὲ καὶ ἐν τούτοις φροντίδα τοῦ ὁμοιογενῆ ταῦτα εἶναι· στοχαζόμενοι γὰρ τῶν προγεγενημένων καὶ λέγοντες, μετὰ πολλὰ ἕτερα καὶ νῦν ταῦτα τὸν κρινόμενον διαπεπρᾶχθαι, ὀφείλομεν τὸ πιθανὸν προσάγειν τοῖς λόγοις, ἐκ τοῦ ὅμοια τοῖς νῦν κρινομένοις ἐπιζητεῖν πράγματα, οἷον τυχὸν [οἷον] ἐπὶ τυμβωρυχίᾳ τινὸς κρινομένου λέγομεν, ὅτι, ὡς εἰκός, πολλὰς πρότερον κλοπὰς ἐργασάμενος τὸ τελευταῖον καὶ ἐπὶ ταύτην ἦλθε τὴν ἀφορμὴν τοῦ κέρδους. καὶ ἔστι τοῦτο τὸ κεφάλαιον πρὸ τοῦ πράγματος λεγόμενον ἐοικὸς τοῖς ὀνομαζομένοις παρακατηγορήμασιν ἐν ταῖς τελείαις ὑποθέσεσιν, ἃ ἐκεῖ παραλαμβάνομεν οὐχ ὡς πρωτότυπα κρίνοντες, ἀλλ' ὡς διὰ τούτων τὰ ἐν τῷ νῦν κρινόμενα πιστούμενοι, οἷον ὁ Δημοσθένης, δεῖξαι τὸν Μειδίαν βουλόμενος ἐκ προαιρέσεως ὑβριστὴν κατὰ τὸν καιρὸν τῆς χορηγίας, ἐμνημόνευσε καὶ παλαιῶν αὐτοῦ ἀδικημάτων καὶ πρὸς ἄλλους ὕβρεων, ἵνα ἐξ ἐκείνων καὶ τοῖς νῦν ἰσχύν τινα παράσχῃ. οὕτως οὖν ἐν τῷ κοινῷ τόπῳ τὸν κρινόμενον διαβάλλοντες ἔκ τε τῶν νῦν καὶ τῶν πάλαι πεπραγμένων ἥξομεν ἐπὶ τὰ τελικὰ καλούμενα κεφάλαια, ἃ διὰ τί μὲν εἴρηται οὕτως, κατὰ τὸν καιρὸν μαθησόμεθα· ἔστι δὲ ταῦτα τὸ συμ-

www.libtool.com.cn

Digitized by Google

φέρον, τὸ δίκαιον, τὸ νόμιμον, τὸ δυνατόν, τὸ ἔνδοξον, τὸ ἀναγκαῖον, τὸ ῥᾴδιον, ὧν τοῖς ἐμπίπτουσι χρησόμεθα· οὐ γὰρ πᾶσα ἀνάγκη διὰ πάντων ἰέναι, πλεονάσει δὲ ὅμως τὸ συμφέρον. καὶ οὕτως μετὰ τὴν τῶν κεφαλαίων ἐργασίαν τὴν μόνην λοιπὴν αὐτῷ πρὸς σωτηρίαν ἀφορμὴν ἀναιρήσομεν· ἔστι δὲ αὕτη ἡ τοῦ ἐλέου ἐκβολὴ ὀνομαζομένη, ᾗ πάντες εἰώθασιν οἰκτειρόμενοι χρῆσθαι μετὰ τὸ μηδεμίαν ἐλπίδα ἔχειν τοῦ φυγεῖν δύνασθαι· καὶ θέντες αὐτὴν καὶ πλατύναντες, ὡς ἐνδέχεται, λύσομεν δι' αὐτῶν τε τῶν τελικῶν κεφαλαίων πάλιν, οἷς ἂν δυνώμεθα χρώμενοι, καὶ διὰ τῆς καλουμένης ὑποτυπώσεως. ἔστι δὲ ὑποτύπωσις κεφάλαιον εἰς ὄψιν ἄγον τὸ γεγενημένον καὶ δι' ἐκφράσεως θεατὰς τῶν ἀτόπων ἐργαζόμενον ἡμᾶς. σκοπεῖν δὲ ἐπὶ τούτου δεῖ τοῦ κεφαλαίου, ὅπως μὴ λάθωμεν ἐκφράζοντες αἰσχρὰ πράγματα, ὃ συμβαίνει, ὅταν κατὰ μοιχοῦ τινος ἢ παιδοφθόρου ποιώμεθα τὸν λόγον· ἐπὶ γὰρ τούτων δεῖ φυγεῖν τὴν διατύπωσιν· ἐκφράζοντες γὰρ πλέον ἡμᾶς αὐτοὺς ἢ ἐκεῖνον διαβαλοῦμεν· ἀλλ' εἰ δεῖ χρῆσθαι ἐπὶ τοιούτων πραγμάτων ὑποτυπώσει, παραστήσομεν αὐτοῦ διὰ ταύτης τὴν προπέτειαν, θρασύν τινα ἄνθρωπον καὶ καταφρονοῦντα τῶν νόμων ἐκφράζοντες, καὶ διὰ τοῦτο λέγοντες αὐτὸν μηδὲ αὐτὰς ὀκνῆσαι τὰς οὕτως ἀτόπους τῶν πράξεων. καὶ ταῦτα μὲν τὰ κεφάλαια, οἷς ὁ κοινὸς τόπος διαιρεῖται. τῶν δὲ προγυμνασμάτων τῶν μὲν ὄντων μερῶν, τῶν δὲ καὶ μερῶν καὶ ὅλων, ὁ κοινὸς τόπος ἐστὶ ποτὲ μὲν τῶν ὡς μερῶν παραλαμβανομένων, ποτὲ δὲ τῶν ὡς ὅλων. ἔστι γὰρ ὅπου καὶ ὅλην ὑπόθεσιν ἀρκέσει πληρῶσαι, ὡς εὑρίσκομεν ἐν ταῖς δευτερολογίαις, ἐν αἷς ἀκριβῶς τῶν προτέρων κατηγορησάντων καὶ ταῖς ἀποδείξεσι χρησαμένων οἱ δεύτεροι κοινοῖς τόποις κέχρηνται, κα-

www.libtool.com.cn

Digitized by Google

ταδρομὴν τῶν ἡμαρτηκότων ποιούμενοι καὶ παρακαλοῦντες ἐπὶ τὴν ψῆφον τοὺς δικάζοντας. καὶ τούτου τεκμήριον ὁ λόγος, * [ὅτι] ἄντικρυς ὢν ἐπίλογος· οὐδαμοῦ γὰρ ἰσχυραὶ ἀντιθέσεις οὐδὲ ἀγῶνος μεσταὶ ἀποδείξεις, ἀλλὰ καταδρομαὶ πανταχοῦ. ἴδιον δὲ ἐπιλόγων τὸ δεινώσεις παραλαμβάνειν καὶ σχετλιασμούς, καὶ παθητικὴν ὅλως ἐργάσασθαι τὴν φράσιν, καὶ αὐτῇ τῇ ὑποκρίσει κεχρῆσθαι περιπαθεστέρᾳ, ἅπερ δεῖ πάντως ἐν τῷ κοινῷ τόπῳ φυλάττειν, ἔστι γάρ, ὅπερ ἔφην, ἐπίλογος, εἰ καὶ μὴ πάντα ἔχει, ὅσα οἱ ἐπίλογοι, ἀλλὰ κατά τινα διαφέρει. τίνα δέ ἐστι τὰ τοῦ ἐπιλόγου ἴδια, καὶ κατὰ τί τοῦ κοινοῦ τόπου διαφέρει, ἐν ἑτέρῳ καιρῷ μαθησόμεθα. ὅτι δὲ τριῶν ὡς ἐν κεφαλαίῳ μερῶν ὄντων τοῦ ῥητορικοῦ τὴν περὶ τὸ δικανικὸν ὁ κοινὸς τόπος ἐπαγγέλλεται μελέτην, δῆλον ἅπασι τοῖς μὴ προσδεχομένοις ἐν κοινῷ τόπῳ τοὺς ὑπὲρ ἀριστέων ἢ τυραννοκτόνων ἢ τῶν ὅλως ἀγαθόν τι πεποιηκότων λόγους· ἐπεὶ κατά γε ἐκείνους γένοιτο ἄν τις ἐν κοινῷ τόπῳ καὶ περὶ τὸ πανηγυρικὸν γυμνασία.

www.libpol.com.cn

ΟΡΟΣ ΕΓΚΩΜΙΟΥ.

Ἔστι μὲν ἁπλοῦς οὐκέτι ὁ περὶ τοῦ ἐγκωμίου λόγος, ἀλλὰ πολυσχιδής τε καὶ εἰς πολλὰ διαιρούμενος· καὶ γὰρ οἱ ἐπιβατήριοι καὶ οἱ προσφωνητικοὶ καὶ οἱ ἐπιθαλάμιοι καὶ οἱ ἐπιτάφιοι, καὶ μέντοιγε καὶ οἱ εἰς τοὺς θεοὺς ὕμνοι καὶ πάντες ἁπλῶς οἱ εὐφημίαν ἔχοντες λόγοι ὑπὸ τοῦτο τὸ εἶδος τάττονται. δεῖ δὲ τοσαῦτα περὶ αὐτοῦ νῦν εἰπεῖν, ὅσα προαρχομένοις ἁρμόζει. καὶ πρῶτόν γε ἐκεῖνο ἐζήτηται, διὰ τί τριῶν ὄντων, ὡς ἐν γένει εἰπεῖν, τῶν τῆς ῥητορικῆς μερῶν ἢ εἰδῶν, ἢ ὅπως τις ἐθέλοι καλεῖν, τοῦ τε συμβουλευτικοῦ καὶ δικανικοῦ καὶ πανηγυρικοῦ, τὸ τρίτον μέρος, λέγω δὴ τοῦτο τὸ τοῦ πανηγυρικοῦ,

Digitized by Google

οὗπερ ἐστὶ τὸ ἐγκώμιον, ἐν τοῖς προγυμνάσμασι τέτακται· εἰ γὰρ ἕκαστον τῶν ἄλλων προγυμνασμάτων εὕρηται διὰ τὸ εἴς ἕν τι τῶν τελείων ἡμᾶς ὑποθέσεων γυμνάζειν, ὅτου χάριν τοῦτο τέλειον ὂν ἐν τοῖς μέρεσι παρείληπται. φαμὲν οὖν πρὸς τοῦτο, ὡς ἤδη πρότερον εἰρήκαμεν, ὅτι τῶν προγυμνασμάτων τὰ μέν ἐστι μέρη, τὰ δὲ μέρη καὶ ὅλα· μέρη μέν, ὅσα μόνον πρὸς χρείαν ἑτέρου παραλαμβάνεται· μέρη δὲ καὶ ὅλα, ἃ ποτὲ μὲν καὶ καθ' ἑαυτὰ ὑπόθεσίν τινα ἐξεργάζεται, ποτὲ δὲ εἰς ἑτέρων ὑποθέσεων μέρη συντελεῖ. τὸ τοίνυν ἐγκώμιον τῶν μερῶν ἐστι καὶ ὅλων· ὡς ὅλον μὲν γὰρ αὐτὸ ἐργαζόμεθα, ὅταν αὐτὸ τοῦτο προθώμεθά τινα εὐφημῆσαι, ὡς μέρος δέ, ὅταν ἢ συμβουλεύοντες ἐπαινέσομεν τυχὸν τὸ πρᾶγμα τόδε, ἐφ' ὃ καὶ προτρέπομεν, ἢ καὶ κατηγοροῦντες συστήσομέν τε τὴν οἰκείαν ποιότητα καὶ διαβαλοῦμεν τὴν τοῦ ἐναντίου, ὧν τοῦ μὲν προτέρου παράδειγμα ὁ πανηγυρικὸς Ἰσοκράτους λόγος, συμβουλευτικὸν μὲν ἔχων τὸ εἶδος, διὰ δὲ ἐγκωμιαστικῆς ὕλης κατασκευαζόμενος, τοῦ δὲ δευτέρου ὁ περὶ τοῦ στεφάνου Δημοσθένους, καὶ αὐτὸς δικανικοῦ μὲν εἴδους ὤν, δι' ἐπαίνου δὲ τοῦ εἰς ἑαυτὸν καὶ διαβολῆς τῆς εἰς τὸν Αἰσχίνην ἅπας ὑπὸ τοῦ ῥήτορος εἰργασμένος. ἐπεὶ οὖν ποτὲ μὲν ἐν μέρει, ποτὲ δὲ ὡς ὅλον παραλαμβάνεται, διὰ τοῦτο καὶ ἐν τοῖς γυμνάσμασι τέτακται. ἐγκώμιον δέ ἐστιν εὐφημία ὡρισμένου προσώπου ἢ πράγματος ἐπὶ ὁμολογουμένοις ἀγαθοῖς διεξοδικῶς γινομένη. διεξοδικοὺς δὲ λόγους λέγομεν τοὺς εἰς μῆκος ἀποτεταμένους καὶ διὰ πάντων τῶν πλεονεκτημάτων ἐργασθέντας, καθ' οὓς καὶ διαφέρει τῶν ἐπαίνων τὸ ἐγκώμιον. ἔπαινος μὲν γάρ ἐστι τὸ δι' ὀλίγων κατασκευαζόμενον, οἷον ἡ ἑνὸς ἀγαθοῦ μνήμη, ἐγκώμιον δὲ τὸ διὰ πασῶν τῶν ἀρετῶν καὶ διὰ πάντων τῶν τοῦ

www.libtool.com.cn

Digitized by Google

ἐπαινουμένου πλεονεκτημάτων ἐργασθέν. τέλος δὲ ἐγκωμίου τὸ καλόν, ὥσπερ τοῦ δικανικοῦ τὸ δίκαιον καὶ τοῦ συμβουλευτικοῦ τὸ συμφέρον. εἴρηται δὲ ἐγκώμιον ἀπὸ τοῦ ἐν κώμῳ τινὶ καὶ παιδιᾷ πάλαι τοὺς ἀνθρώπους τούς τε εἰς θεοὺς ὕμνους καὶ τοὺς εἰς ἀλλήλους ἐπαίνους ἐργάζεσθαι. διήρηται δὲ ἕκαστον μὲν τῶν ὑπ' αὐτὸ εἰδῶν, οἷον λέγω ἐπιθαλάμιος ἢ προσφωνητικὸς ἢ σμινθιακὸς ἢ ἄλλος ὅλως ἐπὶ ἑορταῖς λεγόμενος λόγος ἢ ὕμνος θεῶν, διήρηται οὖν ἕκαστον τῶν εἰδῶν ἰδίᾳ τινὶ διαιρέσει, ἥτις οὐκ ἔστι τῆς κατ' εἰσαγωγὴν ἐξετάσεως. δεῖ δέ, ὡς εἰπεῖν ἐν βραχέσιν, ἐφ' ἑκάστης ἐκείνων τῶν ὑποθέσεων τὸ ἰδιάζον πλεονάζειν κεφάλαιον, οἷον ἐν ἐπιθαλαμίοις τὸ περὶ τῶν γάμων, ὃ καὶ θετικὸν καλεῖται, ἐν Παναθηναϊκῷ ἢ καὶ ἄλλῳ τινὶ τῶν τοιούτων τὸ περὶ τῆς ἑορτῆς, καὶ ὅλως ἐν ἑκάστῳ αὐτῶν, ὅπερ ἔφην, τὸ παρέχον τῇ ὑποθέσει τὴν πρόφασιν. τὸ δὲ νῦν ὑφ' ἡμῶν αὐτὸ δὴ τοῦτο ἐγκώμιον ὀνομαζόμενον, ὃ ἐκπονοῦμεν εἰς ἔπαινον τυχὸν ἀνδρὸς βεβιωκότος πρὸς ἀρετήν, ὡς μὲν ἕτεροί τε τῶν ἀρχαίων καὶ ὡς ὁ θειότατος Πλάτων ἐν Φαίδρῳ διεῖλεν, εἰς τὰ περὶ ψυχῆς, εἰς τὰ περὶ σώματος, εἰς τὰ ἐκτὸς διαιρεῖται, ὧν τὰ μὲν περὶ ψυχὴν εἰς φρόνησιν, δικαιοσύνην, σωφροσύνην, ἀνδρείαν μεριζόμενά ἐστι, τὰ δὲ περὶ σῶμα εἰς κάλλος, ἰσχὺν καὶ μέγεθος καὶ τάχος, τὰ δὲ ἐκτὸς εἰς γένος, φίλους, πλοῦτον καὶ ὅσα τοιαῦτα· ἡμεῖς δὲ οὐ ταύτῃ νῦν τῇ διαιρέσει, ἀλλὰ τῇ κρατούσῃ ἐψόμεθα. διαιρεῖται τοίνυν μετὰ τὰ προοίμια· χρησόμεθα γὰρ καὶ ἐν τούτοις προοιμίοις, οὐχ ὡρισμένοις, ἀλλ' ὅσοις ἡ χρεία παρέχει, κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν ἤδη πολλάκις εἰρήκαμεν· διαιρεῖται οὖν μετὰ τὰ προοίμια πρώτῳ κεφαλαίῳ τῷ καλουμένῳ ἀπὸ τοῦ γένους, ὅπερ λαμβάνεται ἀπὸ ἐθνους,

www.libool.com.cn

Digitized by Google

ἀπὸ πόλεως, ἀπὸ προγόνων. ταῦτα δὲ ἢ πάντα ἐμπίπτει, ἢ τοῖς ἐμπίπτουσι χρησόμεθα, οἷον ἐὰν ἡ πόλις ᾖ λαμπρὰ καὶ ἐπίδυξος, τότε μᾶλλον ἐν τῷ περὶ αὐτῆς λόγῳ ἢ τῷ τοῦ ἔθνους διατρίψομεν· ἐὰν δὲ μηδὲν ἔχωμεν γενναῖον εἰπεῖν περὶ τῆς πόλεως, τότε ἐπὶ τὸ ἔθνος καταφευξόμεθα· εἰ δ' ἄρα περὶ μηδετέρου λέγειν τι δυνώμεθα σπουδαῖον, τότε εὐθὺς ἀπὸ τῶν προγόνων ἀρξόμεθα. ὅσα δὲ ἐνδέχεται καὶ περὶ ἐκείνων, λέγω δὴ τῶν ἀπὸ ἔθνους ἢ πόλεως, εἰπόντες πρότερον· οἷον βουλόμεθα Σίφνιόν τινα ἐπαινεῖν, ἐπειδὴ οὐδὲν ἔστιν ἄξιον περὶ Σίφνου εἰπεῖν, ἀρκέσει αὐτῆς πρὸς ἔπαινον εἰπεῖν τὸ πλησίον αὐτὴν κεῖσθαι τῆς Ἀττικῆς καὶ μέσην τῶν Κυκλάδων νήσων· καὶ ἐκ τοιούτων φυλάξαντες τῆς τέχνης τὴν τάξιν ἥξομεν ἐπὶ τὰ οἰκειότερα, καὶ αὖ πάλιν τοὺς ἐνδοξοτέρους ἐπαινοῦντες, τοὺς ἄλλους ἀποκρύψομεν. ἀεὶ δὲ δεῖ σπεύδειν καὶ ἐπείγεσθαι ἐπὶ τὰ ἴδια καὶ μόνῳ αὐτῷ ὑπάρχοντα, οἷον λέγω ἐκ τῶν ἀνωτάτων προγόνων εἰκὸς πολλοὺς κατάγεσθαι καὶ πολλὰς οἷον σειρὰς εἶναι καὶ πλείοσιν ἁρμόζειν τὰς αὐτὰς εὐφημίας, ἐπὶ δὲ πατρὸς πλεονεκτήμασι μόνους τοὺς ἐξ αὐτοῦ γενομένους δεῖ σεμνύνεσθαι· διὸ ἐπὶ ταῦτα μᾶλλον ἥξομεν. οὐ μὴν ἀμέσως οὐδέ, ὡς ἔτυχε, τὴν ἐκείνων μνήμην παραδραμούμεθα, ἵνα μὴ δόξωμεν κακίαν τινὰ συνειδότες ἀποφεύγειν τοὺς περὶ αὐτῶν λόγους, ἀλλ' εἴτε βουλόμεθα αὐτὰ ἐξετάζειν, μετὰ ἀξιώματος ἐπ' αὐτὴν χωρήσομεν, λέγοντες, ὅτι ἄτοπόν ἐστιν ἐν τοιᾷδε μνήμῃ μὴ καὶ τὰς ἐκ τῶν προγόνων αὐτοῦ σκοπεῖν ἀρετάς, εἴτε ὑπερβαίνειν ἐθέλομεν, πειρασόμεθα αἰτίαν εἰπεῖν εὔλογον, ἵνα μὴ δοκοίημεν αὐτὰς ὑποκρύπτειν ἐθελοντί. μετὰ δὲ ταῦτα ἀπὸ τοῦ γένους εἰς τὸ ἀπὸ τῆς γενέσεως ἥξομεν, οἷον εἴ τι κατὰ τὸν καιρὸν τῆς ὠδῖνος ἔξομεν λέγειν συμβεβηκὸς περὶ αὐ-

www.libnol.com.cn

Digitized by Google

τόν, οἷον δὴ ἐπὶ τῆς Περικλέους λέγεται μητρὸς τῆς Ἀγαρίστης, ᾗ δι' ἐνυπνίου προεῖπεν ὁ θεός, ὅτι λέοντα τέξεται, ἢ ἐπὶ τῆς Κύρου μητρὸς ἐπικλύσει τοῦ ὀνείρου θρυλλούμενον· πολλὰ δ' ἡμῖν καὶ ἄλλα τοιαῦτα παραδέδοται, οἷον ἐπὶ Εὐαγόρου τοῦ Κυπρίων βασιλέως, ἢ ἐπὶ ἑτέρων· εἶτα μετὰ τὸ ταῦτα εἰπεῖν παραληψόμεθα τὸ ἐκ τῆς ἀνατροφῆς, ἂν ἔχωμέν τι περὶ αὐτῆς ἐξαίρετον λέγειν καὶ οἷον μὴ ἑτέροις γέγονεν, ὥσπερ ἐπὶ Ἀχιλλέως, ὅτι μυελοῖς ἐλάφων ἐτράφη, καὶ ὅτι ὑπὸ Χείρωνος, καὶ τὰ κατὰ μέρος ἐπ' αὐτῷ λεγόμενα. μετὰ ταῦτα, ἅπερ ἐν τῇ νέᾳ ἡλικίᾳ ἐπετήδευσεν, εἰ ῥητορικὴν ἤσκησεν ἢ ποιητικὴν ἤ τι τῶν τοιούτων· εἶτα ἐπ' αὐτὰ τὰ ὑπ' αὐτοῦ πεπραγμένα. κἀνταῦθα, μᾶλλον δὲ ἐν πᾶσι τοῖς μέρεσιν, ἵνα μὴ ὕπτιος ὁ λόγος γίγνηται, εἰ καὶ ἁρμόζειν πως τοῖς πανηγυρικοῖς ἡ ὑπτιότης δοκεῖ, ὅμως, ἵνα μὴ πάντη ἐκλύηται μόνην μνήμην ποιουμένων ἡμῶν καὶ ἀνεξέργαστον, πειρασόμεθα εἰς ἀρετὰς ἀναφέρειν τὰς πράξεις καὶ ἐπάγειν κατὰ μέρος τὰς συγκρίσεις· οὕτω γὰρ ἥ τε ὑπτιότης διαλύεται καὶ ἐναγώνιος ὁ λόγος κατασκευάζεται. καὶ εἴπου τι ἐλάττωμα ἔχει, καὶ τοῦτο πειρασόμεθα περιστέλλειν εὐφημοτέροις λόγοις, τὴν δειλίαν εὐλάβειαν καὶ προμήθειαν καλοῦντες, τὸ δὲ θράσος ἀνδρείαν καὶ εὐψυχίαν, καὶ ὅλως ἀεὶ πάντα ἐπὶ τὸ κάλλιον ἐργαζόμενοι. ὅπερ δὲ εἶπον, πανταχοῦ δεῖ τὰς συγκρίσεις ἐπάγειν, τὴν ὑπὲρ τὸ μέτρον ὑπτιότητα διαφεύγοντας, καὶ ἐπὶ τὰς τῶν ἀρετῶν ἐξετάσεις ἰέναι, ἵνα ἔμψυχος ὁ λόγος φαίνηται. ζητητέον δέ, εἰ ἀντίθεσιν ἐπιδέχεται τὸ ἐγκώμιον· εἰ γὰρ δεῖ ὁμολογουμένων ἀγαθῶν βάσανον γίνεσθαι, οὐκέτι ὁμολογηθήσεται τὰ ἔχοντα ἀντίθεσιν· εἰ δὲ ἐξ ἰδιαζούσης ὕλης ἐμπέσοι, ὃ ἀποκρύψαι οὐ δυνάμεθα διὰ τὸ τὸν ἀκροατὴν αὐτὸ ζητεῖν, τῇ τε μεθόδῳ αὐτὸ κα-

www.libtool.com.cn
Digitized by Google

θαιρήσομεν, καὶ τὰς λύσεις ἐπάξομεν ἰσχυροτέρας, ἵνα πανταχόθεν τὸ τῆς ἀντιθέσεως βλάβος λύηται. παράδειγμα δὲ τούτου παρά τε τῷ Ἀριστείδῃ καὶ τῷ Ἰσοκράτει ἐν τῷ Πανηγυρικῷ καὶ ἐν τῷ Βουσίριδι, ὧν μάλιστα τὴν ἐν τῷ Πανηγυρικῷ ἀντίθεσιν ζηλωτέον, ἐπειδὴ καὶ καλῶς λέλυται· ἡ γὰρ ἐν τῷ Βουσίριδι εἰσαχθεῖσα ἀσθενέστερον λελύσθαι δοκεῖ. ἐξ ἰδιαζούσης δὲ ὕλης ἐμπεσοῦσαι ἀντιθέσεις κανόνα τῷ εἴδει τούτῳ τῆς ῥητορικῆς καθολικὸν οὐ ποιήσουσιν.

www.libtool.com.cn

ΟΡΟΣ ΨΟΓΟΥ.

9 Καὶ ὁ ψόγος δὲ τοῖς αὐτοῖς διαιρεῖται κεφαλαίοις, ἀπὸ τῶν ἐναντίων ἐνθυμημάτων καὶ ἐπιχειρημάτων συμπληρούντων ἡμῶν τὴν ἅπασαν ἐργασίαν καὶ διαίρεσιν· τῶν γὰρ ἐγκωμίων τὸ μέν ἐστιν ἔπαινος, τὸ δὲ ψόγος. διὰ τοῦτο καὶ ὁ κατὰ τῶν σοφιστῶν Ἰσοκράτους λόγος, καίτοι ἐκ λοιδοριῶν ἅπας τῶν περὶ τοὺς ἁμαρτάνοντας εἰς τὰς τέχνας κατεσκευασμένος, ἐν τοῖς ἐγκωμίοις τέτακται. οὐ λέληθε δέ με, ὅτι ἐπέσκηψάν τινες τῇ ἐπιγραφῇ ἐκείνου τοῦ λόγου, ὅτι μὴ ψόγον αὐτὸν τῶν σοφιστῶν ἐπέγραψεν, ἀλλὰ κατὰ τῶν σοφιστῶν ἔθετο αὐτῷ ὄνομα, ὥστε δοκεῖν εἶναι κοινὸν τόπον. ἰστέον δέ, ὅτι οὐχ αἱ ἐπιγραφαὶ κοινοῦσι τὰ εἴδη, ἀλλ' ἡ ὑποκειμένη ὕλη. εἴρηται μὲν οὖν ἤδη καὶ ἐν τῷ κοινῷ τόπῳ ἡ διαφορὰ τοῦ τε ψόγου καὶ αὐτοῦ τοῦ κοινοῦ τόπου, οὐδὲν δὲ κωλύει, καὶ νῦν αὐτῆς ἀναμνησθῆναι· διὰ γὰρ αὐτῆς εἰσόμεθα, ποῖα δεῖ ὑπὸ ψόγον ἀνάγειν καὶ ποῖα ὑπὸ τοὺς τόπους. ὅταν μὲν οὖν ᾖ πρᾶγμα τὸ ἐξεταζόμενον, καθ' οὗ τιμωρία τις ὑπὸ τῶν νόμων διώρισται, τότε τῇ καταδρομῇ κατὰ τὰ κεφάλαια τοῦ κοινοῦ τόπου χρησόμεθα· ὅταν δὲ πρᾶγμα ᾖ μόνην λοι-

Digitized by Google

δορίαν τῷ χρωμένῳ φέρον, τότε ὡς ψόγον ἐργαζόμεθα, ὥστε καὶ ὁ κατὰ τῶν σοφιστῶν κατὰ τοῦτον τὸν λόγον ὑπὸ τὸ πανηγυρικὸν εἶδος ἂν τάττοιτο. ἔστι δὲ καὶ ἄλλα πολλὰ εἴδη, ὥσπερ ἤδη καὶ μικρὸν ἔμπροσθεν ἐπεσημηνάμεθα, ἀναγόμενα ὑπὸ τὸ πανηγυρικόν, ἰδίας διαιρέσεως δεόμενα, ὥσπερ καὶ ὑπὸ τὸ δικανικὸν καὶ συμβουλευτικόν· μᾶλλον δὲ χρὴ καὶ περὶ αὐτῶν δι' ὀλίγων εἰπεῖν· οὕτω γὰρ ἂν ταῖς περὶ ἐκείνων τῶν εἰδῶν τέχναις ἐπιμελέστερον ἐντευξόμεθα. τῶν γὰρ τεχνογράφων οἱ μὲν ἀπὸ τῶν ὑποκειμένων προσώπων μόνον ἐχαρακτήρισαν τοὺς λόγους, καὶ ἐν τρισὶν εἴδεσιν ἔστησαν τῆς ῥητορικῆς, λέγοντες, ὡς οἱ ὑποκείμενοι ἡμῖν ἀκροαταὶ ἢ ἐκκλησιάζουσιν ἢ δικάζουσιν ἢ πανηγυρίζουσι, καὶ δεῖ πάντως ἑνὸς τῶν εἰδῶν εἶναι τούτων τὸν λόγον τὸν λεγόμενον, οἱ δὲ οὐκ ᾠήθησαν δεῖν τρία μόνον ὀνομάζειν εἴδη, ἀλλ' εἰς πλείονα ἐξέτειναν, καὶ ἐμοὶ δοκεῖν πρὸς τοῦτο ἐκινήθησαν πεισθέντες ὑπὸ τοῦ Ἀριστοτέλους· ὁ ἀνὴρ γὰρ ἐκεῖνος αἰδέσιμος ὢν τέταρτον παρὰ τὰ τρία τὰ προλεχθέντα τὸ ἱστορικὸν ἐκάλεσε, μικτὸν ἀπὸ τῶν τριῶν εἶναι εἰπών· εἰ δὲ δοίη τις εἶναι τέταρτον, ὥσπερ οὖν καὶ δεῖ δοῦναι, οὐδὲν κωλύει καὶ τοῖς ἄλλοις ἕπεσθαι τοῖς μέχρι τριάκοντα εἰδῶν, οἶμαι, προελθοῦσιν· ἴσως δ' ἂν εὑρεθείη καὶ πλείονα· σχεδὸν γὰρ ὅσα ἐν ἀνθρώποις πράγματα, τοσοῦτοι καὶ λόγοι. ἀλλὰ λήσεταί τις οὕτω σύγχυσιν ἐργαζόμενος· διὸ ὑπ' ἐκεῖνα τὰ παρὰ τῷ Κουρνούτῳ ὀνομαζόμενα καὶ Πορφυρίῳ ἅπαντα χρὴ πειρᾶσθαι ἀνάγειν τὰ πράγματα, εἰδοποιοῦντας αὐτῶν τὰς ὑποθέσεις. δύναιτο δ' ἄν τις καὶ ἐκείνων τὴν μὲν διαίρεσιν διαφορὰν λέγειν, ἀνάγειν δὲ αὐτὰ ἐπὶ τὰ τρία εἴδη, εἰ προσέχοι τοῖς ὑποκειμένοις προσώποις καὶ τῷ ἑκάστου τῶν τῆς ῥητορικῆς εἰδῶν τέλει. οἷόν τι λέγω τοῦ δικανικοῦ τέλος τὸ δί-

www.hbtool.com.cn
Digitized by Google

καιον, ὅπερ ἐκ ψήφου τῶν δικαστῶν κατὰ τοὺς νόμους κρινόντων δείκνυται· ἆρα οὖν οἱ ἀντιρρητικοί, ἐπεὶ πρός τινας ἔχουσι τοὺς ἀγῶνας, εἶεν ἂν τοῦ δικανικοῦ; ἀλλ' οὐκ ἂν εἴποι τις· οὐδὲ γὰρ οἱ ἀκροαταὶ ὑπόκεινται, ὡς μέλλοντες ζημίαν ἐπάγειν τινά, ἣν νόμοι διώρισαν, ὥστε μᾶλλον ἂν ὑπὸ τὸ πανηγυρικὸν εἶδος τάττοιντο. καὶ ὅλως τοὺς νομοθετικούς, τοὺς χαριστηρίους, τοὺς πρὸς ἀπολογίαν αἰτιῶν οὐκ ἐχουσῶν τιμωρίαν ἐκ νόμων ἐπομένην, ἀλλὰ πρὸς διαβολὴν μόνην μεμηχανημένους, πάντας τοὺς περὶ τῶν τοιούτων πραγμάτων ἔξεστι τάττειν ὑπὸ τὰ εἴδη τὰ τρία, εἰ βούλοιτό τις βιάζεσθαι καὶ προσδέχεσθαι τὴν εἰς πλείονα τομήν, τὰς δὲ ὕλας, δι' ὧν κατασκευάζονται, ἐπιπλέκειν. εἰ γὰρ καὶ ἐπὶ τοῦ πανηγυρικοῦ Ἰσοκράτους καὶ ἐπὶ τοῦ περὶ στεφάνου Δημοσθένους, ὁμολογουμένως ὄντος τοῦ μὲν τοῦ δικανικοῦ, τοῦ δὲ τοῦ συμβουλευτικοῦ εἴδους, αἱ ὕλαι ἐκ τοῦ πανηγυρικοῦ παρελήφθησαν, τί κωλύει τοιαύτας εἶναι μίξεις καὶ ἐπιπλοκὰς καὶ ἐπὶ τῶν ἄλλων εἰδῶν, ἵνα ἕτερόν τι ἔχῃ τέλος ὁ λόγος, ὅπερ ἐκ τῶν ὑποκειμένων μὲν ἀκροατῶν εὑρίσκεται, ἐξ ἑτέρας δὲ ὕλης κατασκευάζεται; οὕτω καὶ ὁ ὑπὲρ τῶν τεσσάρων Ἀριστείδου τοῦ ἀντιρρητικοῦ ἂν λέγοιτο, καὶ πολλοὶ ἂν εὑρεθεῖεν οἱ λόγοι αὐτοῦ τοῦ Ἀριστείδου καὶ τῶν κατ' αὐτὸν καὶ τῶν χρόνοις ὕστερον σοφιστῶν, δυνάμενοι δεικνύναι καλῶς δόξαντας καὶ τοὺς στῆναι μέχρι τριῶν εἰδῶν ἑλομένους. ἀλλὰ περὶ μὲν τούτων ταῦτα. ἐλέγομεν δὲ ἀνωτέρω, ὅτι περὶ πραγμάτων εὐφημίας ἀσχολεῖται τὸ ἐγκώμιον· τὰ δὲ πράγματα ἢ ἄψυχά εἰσιν ὄντα ἐν σώμασιν, * οἷον ῥητορική, καὶ ὅλως τὰ ἐν ἐπιτηδεύμασιν· εἰκὸς οὖν τινα ζητῆσαι, πῶς οὖν ταῦτα ἐγκωμιάσομεν, εἰ μὴ δυνατὸν τοῖς αὐτοῖς χρῆσθαι κεφαλαίοις, οἷσπερ καὶ ὅταν ἄνδρα τινὰ ἐπαινῶμεν. δεῖ

www.libtool.com.cn

Digitized by Google

τοίνυν εἰδέναι, ὅτι καὶ ἐπὶ τούτων τοῖς ἐνδεχομένοις τῶν ἐγκωμίων τόποις χρησόμεθα, οἷον τυχὸν ἐπὶ τῶν ἐπιτηδευμάτων, ἀντὶ μὲν γένους παραλαμβάνοντες τοὺς εὑρόντας ἢ πρώτως χρησαμένους αὐτοῖς, ἀντὶ δὲ ἀγωγῆς τὴν ἐν αὐτοῖς ἄσκησιν, ἀντὶ δὲ πράξεων τὰς χρείας, ἃς ἂν πληροῖ τῷ τῶν ἀνθρώπων βίῳ, καὶ τὰς ὠφελείας, καὶ ἐφ' ἑκάστου τῶν ἄλλων οὕτως, ἐπεὶ καὶ αὐτῶν τῶν εἰς ἔμψυχα γενομένων ἐπαίνων οἱ μέν εἰσι κοινοί, οἷον ἀνθρώπου, ἵππου, οἱ δὲ ἴδιοι, οἷον Σωκράτους ἢ ἄλλου τινός· καὶ ἐπ' ἐκείνων οὖν τῶν κοινῶν τῶν [μὲν] ἐνδεχομένων δεῖ στοχάζεσθαι, καὶ ὅλως αὐτὸν τὸν λέγοντα δεῖ, κατὰ τὸν Ἰσοκράτην φάναι, μανθάνειν μὲν τὰς διαιρέσεις, κριτὴν δὲ εἶναι τῆς κρίσεως, καὶ συμβαίνοντας καὶ καιροῖς καὶ προσώποις καὶ πράγμασι ποιεῖσθαι τοὺς λόγους. φασὶ δέ, ἐν τοῖς ἐγκωμίοις ὅτι ἐπιτηδεύειν δεῖ τὴν γλαφυράν τε καὶ ἁβροτέραν καὶ θεατρικὴν φράσιν μετά τινος σεμνότητος, ὥσπερ [γὰρ] ἐν τοῖς συμβουλευτικοῖς ὄγκου δεόμεθα καὶ ἀξιώματος καὶ ἐν τοῖς δικανικοῖς σφοδρότητός τινος τῆς ἔμψυχον τὸν ἀγῶνα ποιούσης. οὕτω καὶ ἐχρῆν ὑμᾶς μαθεῖν, ὦ φίλτατοι παῖδες. περὶ ἐγκωμίου ἀρκούντως εἴρηται, καὶ ἴσως οὐ δεῖσθε πρὸς τοῦτο διαιρέσεως, τῶν εἰρημένων ἱκανῶν ὄντων ὑμᾶς ἐπιστῆσαι καὶ δοῦναι ὁδὸν τῆς τοῦ προγυμνάσματος τούτου μελέτης.

ΟΡΟΣ ΣΥΓΚΡΙΣΕΩΣ.

Τὴν καλουμένην σύγκρισιν οἱ μὲν οὐδὲ ὅλως ἔταξαν ἐν τοῖς προγυμνάσμασι διὰ τὸ ἓν τε τοῖς κοινοῖς τόποις, ἡνίκα τοῦ νῦν κρινομένου πράγματος πρὸς ἕτερα ἀδικήματα ἐποιούμεθα τὴν ἐξέτασιν, καὶ ἐν αὐτοῖς τοῖς ἐγκωμίοις, ὅπου τῇ πρὸς ἕτερον παραθέσει μεγάλα

www.libtool.com.cn
Digitized by Google

ἐπιδεικνύναι ἐπειρώμεθα τὰ τοῦ νῦν ἐπαινουμένου, ἱκανὴν αὐτῆς γεγενῆσθαι τὴν μελέτην· ἔνιοι δὲ εἶναι μὲν καὶ αὐτὴν ἐβουλήθησαν τῶν ἄλλων προγυμνασμάτων, ἔταξαν δὲ ὅμως πρὸ τοῦ ἐγκωμίου. ὧν οὐδ' ἑτέρους ἄν τις ἐπαινέσειεν, οὐ γάρ, ἐπειδὴ ὡς μέρος παρελήφθη, διὰ τοῦτο ἔδει [ἢ] μηκέτι αὐτὴν καὶ ὡς ὅλην ἐξετασθῆναι, ἢ ἐξεταζομένην τετάχθαι μετὰ τὸ ἐγκώμιον· ὅτε μὲν γὰρ ὡς μέρος παρελαμβάνετο, καὶ μάλιστα ἐν τῷ κοινῷ τόπῳ, καθ' ἕτερον τρόπον ἡ ἐργασία αὐτῆς ἐγίγνετο, συγκρινόντων ἡμῶν ἢ πρὸς ἴσον, ἢ πρὸς ἔλαττον, ἢ πρὸς τὸ κρεῖττον, ὅπερ ἐν αὐτῇ τῇ συγκρίσει οὐ γενήσεται, ἀλλ' οὐδὲ ἐν αὐτῷ τῷ καλουμένῳ ἐγκωμίῳ ὅλου πρὸς ὅλον ἡ ἐξέτασις ἔσται, ἀλλὰ μέρους πρὸς μέρος. οἷον ἐξετάζοντες τὴν εὐγένειαν τοῦδε τοῦ νῦν ἐπαινουμένου βουλόμεθα αὐτὸν δεῖξαι μηδὲν εὐγενείᾳ τυχὸν Ἀχιλλέως λειπόμενον· ἐνταῦθα βραχύ τι ἐκ τῶν περὶ Ἀχιλλέως ἱστορουμένων παραλαμβάνοντες, ὅσον πρὸς τὴν χρείαν ἡμῖν ἀρκεῖ, ἀλλὰ τὰ περὶ τοῦ ἥρωος παραλείψομεν, ἐπεὶ συμβαίνει μεῖζον εἶναι τοῦ ἔργου τὸ πάρεργον καὶ τὸν ἅπαντα ἡμῖν περὶ τούτου δαπανᾶσθαι λόγον. πρὸ τοῦ ἐγκωμίου δὲ αὐτὴν τάττειν οὐκ ἐχρῆν, ἐπειδὴ διπλοῦν ἐστιν ἐνταῦθα ἐγκώμιον· ἡ γὰρ σύγκρισις λόγος τὸ βέλτιον ἢ χεῖρον παριστάς, ἤτοι οὕτως· σύγκρισίς ἐστι παράλληλος ἐξέτασις ἀγαθῶν ἢ φαύλων προσώπων ἢ πραγμάτων, δι' ἧς πειρώμεθα ἢ ἴσα ἀλλήλοις ἀμφότερα δεικνύναι τὰ προκείμενα, ἢ τὸ ἕτερον προέχον τοῦ ἑτέρου. ἐν τοίνυν τῇ συγκρίσει καλουμένῃ, λέγω δὴ ἐν τούτῳ τῷ προγυμνάσματι, τέως τὴν πρὸς τὸ ἔλαττον σύγκρισιν, ἣν ἐν τῷ κοινῷ τόπῳ κατ' ἐπιτίμησιν παραλαμβάνομεν, φευξούμεθα ἤδη. εἰ τοίνυν διπλοῦν ἐστιν ἐγκώμιον ἡ σύγκρισις, πῶς εἰκὸς ἦν τοῦ ἁπλοῦ τὸ δι-

www.libtool.com.cn

Digitized by Google

πλοῦν προτάττειν; οὐκ ἄρα οὖν πρὸ τοῦ ἐγκωμίου ταχθήσεται. ἔστι δὲ καὶ αὐτὴ τῶν μερῶν καὶ ὅλων· καὶ γὰρ ὡς μέρος παραληφθήσεται, ὥσπερ ἐν τοῖς ἐγκωμίοις καὶ ἐν τοῖς κοινοῖς τόποις, καὶ ὡς ὅλον, ὥσπερ ὅταν τυχὸν πρόκειται καλοῦ βίου γέρως καὶ ἀμφισβητοῦσι πρὸς ἀλλήλους δύο τινὲς ἐπ' αὐτῷ διαπρέψαντες. χρησόμεθα οὖν διαιρέσει καὶ ἐνταῦθα, ἥπερ καὶ ἐν τῷ ἐγκωμίῳ, τοσοῦτον μόνον εἰδότες, ὅτι διπλᾶ εὑρίσκεται ἐν αὐτῇ τὰ κεφάλαια, καὶ ὥσπερ ἐκεῖ, τὰ ἐνδεχόμενα ζητήσομεν, τοῖς ὑποκειμένοις ἀκολουθοῦντες ἢ προσώποις ἢ πράγμασι, τοσαῦτα δὲ ἢ καλὰ ἢ μὴ ἀλλήλοις συγκρινοῦμεν, ὅσα δὴ ἐγκωμιάζομεν ἢ ψέγομεν. οὐδὲν οὖν δεῖ ἐνταῦθα πλέον περὶ τούτων λέγειν. ἐκεῖνο δὲ χρὴ μόνον προσθεῖναι, ὅτι, εἴτε ἀγαθῶν εἴτε κακῶν ποιούμεθα ἐξέτασιν, δεῖ μὴ τῇ καθαιρέσει τῶν ἀντεξεταζομένων αὔξειν τὰ ἡμέτερα· οὐ γὰρ οὕτω μεγάλα ταῦτα ἐπιδείξομεν, ἀλλὰ τότε ἔσται τὰ ἡμέτερα μεγάλα, ὅταν μεγάλων μείζονα φανῇ, ὡς τὸ Ὁμηρικόν·

πρόσθε μὲν ἐσθλὸς ἔφυγε, δίωκε δέ μιν μέγ' ἀμείνων.

οἷον ἐθέλομεν Θεμιστοκλέα Παυσανίου δεῖξαι βελτίονα· οὐκ ἐρεῖ πρὸς αὐτὸν Θεμιστοκλῆς, ὅτι οὐδὲν ἀγαθὸν διεπράξατο εἰς τοὺς Ἕλληνας, ἀλλ' ὅτι ἔπραξας μὲν καὶ σὺ πολλὰ καὶ μεγάλα, τὰ δὲ ἐμὰ πολλῷ τῶν σῶν κρείττονα. καὶ ἐπὶ τῶν κακῶν ὁμοίως, ὡς ὑπέδειξεν ἡμῖν ὁ Δημοσθένης εὐθὺς ἐν τῷ προοιμίῳ τοῦ κατ' Ἀνδροτίωνος· Διόδωρος γὰρ οὐκ εἶπεν, ὅτι οὐδὲν Εὐκτήμων παρ' αὐτοῦ ἠδίκηται, ἀλλ' ὅτι πολλὰ μὲν ἠδίκηται καὶ μεγάλα, πολλῷ δὲ ἐγὼ μείζονα, καὶ οὕτω τῇ τῶν γενομένων εἰς Εὐκτήμονα αὐξήσει τὰ ἑαυτοῦ αὐξήσας ἔλαθε. φράσιν δὲ ὁμοίως κἀνταῦθα πομπικὴν

www.libtool.com.cn
Digitized by Google

καὶ θεατρικὴν εἶναι δεῖ, τοῦ σεμνοῦ μὴ ἀφισταμένην. τριῶν δὲ ὄντων τῆς ῥητορικῆς μερῶν, τοῦ μὲν ἑνός, λέγω δὴ τοῦ ἐγκωμίου, φανείη ἂν ἰσότιμος, γυμνάσει δὲ ἡμᾶς καὶ πρὸς τὰ ἄλλα· καὶ γὰρ συμβουλεύοντες δεόμεθα τῶν ὑφ' ἑτέρων λεγομένων τὰ ἡμῶν αὐτῶν δεῖξαι καλλίονα, καὶ κατατρέχοντες τῶν ἀδικημάτων τὸ αὐτὸ τοῦτο ἐργασόμεθα, καὶ τὰ νῦν ταῦτα πάντων ἐπιχειρήσομεν δεικνύναι μείζονα. καὶ ὅλως πολυσχιδὴς τούτου ἡ χρεία, ὥσπερ καὶ τοῦ ἐγκωμίου, καὶ καθ' ἑαυτὸ ὡς ὅλου παραλαμβανομένου καὶ μεθ' ἑτέρου ὡς μέρους. πέντε δ' ὄντων τῶν μερῶν τοῦ λόγου γυμναζόμεθα ἐν αὐτῷ καὶ εἰς προοιμίων εὑρέσεις καὶ εἰς διηγήσεων μεταχειρίσεις, ἐν οἷς ὡς διηγούμενοι τὰ πλεονεκτήματα λέγομεν, καὶ εἰς ἀγώνων σφοδρότητας, ἐν οἷς ἢ ὅμοια ἀποπειρώμεθα δεικνύναι ἢ μείζονα, καὶ εἰς ἐπιλόγων πάθη, ἐν οἷς καταπαύομεν τὰς ὑποθέσεις. εἰ δὲ ἀνθέων ἡμῖν ἢ φυτῶν ἢ τοιούτων ὅλως γίνοιτο ἡ ἀντεξέτασις, ἐξέσται ἡμῖν καὶ ἀνειμένῃ χρήσασθαι τῇ φράσει, ὥστε μήτε ἀναγκάζεσθαι διὰ πάντων τῶν κεφαλαίων ἰέναι, μήτε ζητεῖν παραιτήσεως τρόπους, τῆς ἀνειμένης φράσεως ἐχούσης ἄδειαν μὴ σφόδρα ἔπεσθαι τῇ τέχνῃ τῶν ἐγκωμίων τῶν διὰ συντόνου χαρακτῆρος τιθεμένων ἐν διαιρέσει.

ΟΡΟΣ ΗΘΟΠΟΙΙΑΣ.

Τινὲς μετὰ τὴν σύγκρισιν εὐθὺς τὴν ἔκφρασιν τάξαντες, τὴν δὲ ἠθοποιΐαν μετὰ τὴν θέσιν, οὕτως ἔγραψαν· καλῶς μετὰ τὴν θέσιν ἡ ἠθοποιΐα τέτακται· τρόπον γάρ τινα ὁδός ἐστιν ἀπὸ τῆς θέσεως διὰ ταύτης ἐπὶ τὰς τελείας ὑποθέσεις. οἷον ἔστι τις θέσις, εἰ φιλοσοφητέον· αὕτη κατασκευάζεται δι' ὧν εἴπομεν ἐργασιῶν ἐν τοῖς περὶ αὐτῆς λόγοις· ἐν δὲ τῇ ἠθοποιΐᾳ ἐροῦμεν·

www.libtool.com.cn

Digitized by Google

γεωργὸς φιλοσοφεῖν τὸν υἱὸν προτρέπεται· προστεθεῖσα οὖν ἡ τοῦ πατρὸς ποιότης οὔπω μὲν ἐποίησε τελείαν ὑπόθεσιν, ἐπειδὴ ἔτι λείπεται τῇ περιστάσει, τελειοτέραν μέντοι ἔδειξεν, ἢ κατὰ τὴν θέσιν. καὶ οὕτω μὲν ἐκεῖνοι γεγράφασιν· ἀλλ' ἡμεῖς τῷ κεκρατηκότι ἔθει ἑπόμενοι, καὶ τὴν ἠθοποιΐαν εὐθὺς μετὰ τὴν σύγκρισιν τιθέντες φαμέν· ἠθοποιΐα ἐστὶ λόγος ἁρμόζων τοῖς ὑποκειμένοις, ἦθος ἢ πάθος ἐμφαίνων ἢ καὶ συναμφότερα· ἁρμόζων μὲν τοῖς ὑποκειμένοις, ἐπειδὴ δεῖ στοχάζεσθαι καὶ τοῦ λέγοντος καὶ πρὸς ὃν λέγει· ἦθος δὲ ἢ πάθος ἢ καὶ συναμφότερον, ἐπειδὴ ἢ πρὸς τὰ καθόλου τις ἀποβλέπει ἢ πρὸς τὸ ἐκ περιστάσεως γινόμενον· ταύτῃ γὰρ ἦθος πάθους διαφέρει· οἷον εἰ λέγοιμεν, ὅτι ποίους ἂν εἴποι λόγους δειλὸς ἐπὶ μάχην μέλλων ἐξιέναι, τοῦ καθόλου τοῖς δειλοῖς προσόντος ἤθους φροντιοῦμεν· εἰ δὲ λέγοιμεν, ποίους ἂν εἴποι λόγους τυχὸν Ἀγαμέμνων, ἑλὼν τὴν Ἴλιον, ἢ Ἀνδρομάχη, πεσόντος Ἕκτορος, δώσει τὴν εὐπορίαν τὰ πάθη τὰ νῦν γενόμενα. τῶν δὲ ἠθοποιϊῶν αἱ μέν εἰσιν ἠθικαί, αἱ δέ εἰσι παθητικαί, αἱ δὲ μικταί· ἠθικαὶ μὲν καὶ παθητικαί, ἃς ἤδη ἐδηλώσαμεν, μικταὶ δὲ αἱ ἀπὸ ἀμφοῖν, οἷον ἂν εἴπω, ποίους ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐξιὼν ἐπὶ πόλεμον μετὰ τὴν τελευτὴν τοῦ Πατρόκλου· προσθήσω γὰρ τῷ ἤθει καὶ τὰ ἐκ τοῦ πάθους, καὶ μικτὴν ἐργάσομαι. τὴν δὲ προσωποποιΐαν καλουμένην, οὖσαν σχεδὸν τὴν αὐτὴν τῇ ἠθοποιΐᾳ, ἕτεροι ἑτέρως διαφέρειν αὐτῆς ἐνόμισαν· οἱ μὲν γὰρ προσωποποιΐαν αὐτὴν ἐκάλεσαν τὴν ἔχουσαν ὡρισμένα καὶ τὰ πρόσωπα καὶ τὰ ὑποκείμενα πράγματα, ἠθοποιΐαν δὲ τὴν πανταχόθεν ἀναπλαττομένην, ἣν καὶ ῥῆσιν καλοῦσι, τοῦτο αὐτῇ τιθέντες ὄνομα· εἰσὶ δέ, οἳ καὶ κάλλιστον ἔδοξαν, ἠθοποιΐαν μὲν τὴν ἐκ τῶν ὡρισμένων προσώπων, προσωποποιΐαν δέ, ἐν ᾗ καὶ πρό-

www.libpool.com.cn
Digitized by Google

σωπα πλάττομεν καὶ περιτίθεμεν αὐτοῖς λόγους. ταῦτα δὲ μάλιστα τοῖς ποιηταῖς ἀνατιθέασιν, οἷς ἔστι καὶ τὰ ἄψυχα μεταπλάττειν εἰς πρόσωπα ἐξουσία καὶ περιποιεῖν αὐτοῖς ῥήματα. καὶ περὶ τὴν διαίρεσιν δὲ πολλῆς οὔσης τοῖς περὶ αὐτῆς διαλαμβάνουσι τῆς διαφορᾶς τὴν κρατοῦσαν δεῖ ἐκθέσθαι, ὅτι τρισὶ χρόνοις διαιρεῖται, ἐνεστῶτι, παρεληλυθότι καὶ μέλλοντι· ἃ γάρ τινες κεφάλαια ὠνόμασαν, ταῦτα ἐνθυμήματά εἰσι τῶν περὶ ἕνα τῶν χρόνων τούτων εὑρισκομένων. ἀρξόμεθα οὖν ἀπὸ τοῦ ἐνεστῶτος, καὶ ἀναδραμούμεθα ἐπὶ τὸν παρεληλυθότα χρόνον, εἶτ' ἐκεῖθεν πάλιν ἀναστρέψομεν ἐπὶ τὸν ἐνεστῶτα· οὐ γὰρ ἀμέσως ἥξομεν ἐπὶ τὸν μέλλοντα, ἀλλὰ μνημονεύσομεν διὰ βραχέων τῶν ἐνεστώτων, καὶ οὕτως ἐξετάσομεν τὰ μέλλοντα. οἷον ἡ ἠθοποιΐα, ποίους ἂν εἴποι λόγους Πηλεύς, τὸν θάνατον ἀκούσας τοῦ Ἀχιλλέως; οὐκ εὐθὺς ἀναμνησθήσεται τῆς παλαιᾶς εὐδαιμονίας, ἀλλὰ πρότερον θρηνήσας τὴν παροῦσαν τύχην, ἀντιπαραθήσει τὰ πάλαι αὐτῷ συμβεβηκότα ἀγαθά, τὸν γάμον τῆς θεᾶς, τὴν παρὰ τῶν θεῶν τιμήν, τὰς πολλὰς ἀριστείας, εἶτα δὲ δακρύσει τὰ νῦν προστιθείς, οἷα ἐξ οἵων αὐτὸν περιέστηκε, καὶ οὕτως οἷον μαντεύσεται, πόσοις εἰκὸς αὐτὸν περιπεσεῖν κακοῖς δι' ἐρημίαν τοῦ βοηθήσοντος. χρὴ δὲ τὴν ἀπαγγελίαν κομματικωτέραν εἶναι μᾶλλον, καὶ οἵαν πρὸς ἄλληλα μὴ περιοδικῶς συμπληροῦσθαι· τὸ γὰρ περὶ τὴν φράσιν καταγίγνεσθαι πάθους ἀλλότριον· ἴδιον δὲ καὶ χαιρόντων καὶ θρηνούντων τὸ συντόμως καὶ διὰ βραχέων ἕτερα ἐφ' ἑτέροις ἐπάγειν· οὐ δόξει οὖν πεπονθέναι ἐν καιρῷ τοιούτῳ κάλλους τοῦ περὶ τὴν φράσιν ἐπιμελόμενος. ἔστι δὲ καὶ τοῦτο τὸ προγύμνασμα πρὸς τὰ τρία εἴδη τῆς ῥητορικῆς χρήσιμον· καὶ γὰρ καὶ ἐγκωμιάζοντες καὶ κατηγοροῦντες καὶ συμβουλεύοντες ἠθοποιῶν πολλάκις δεόμεθα·

www.libtool.com.cn

Digitized by Google

ἐμοὶ δὲ δοκεῖ καὶ πρὸς τὸν ἐπιστολικὸν ἡμᾶς γυμνάζειν χαρακτῆρα, εἴγε καὶ ἐν ἐκείνῳ δεῖ τοῦ ἤθους τῶν τε ἐπιστελλόντων καὶ πρὸς οὓς ἐπιστέλλουσι, ποιεῖσθαι πρόνοιαν. αὐτὸ δὲ τὸ ἐπιστολικόν, εἴτε ὑφ' ἓν τούτων τῶν τριῶν ἀνάγεται εἴτε ὑφ' ἕτερον, οὐ τοῦ νῦν ἐστι καιροῦ σκοπεῖν, ἄλλως τε, ἐπειδὴ καὶ περὶ αὐτῶν ἐν τοῖς περὶ ἐγκωμίων ἀρκούντως ὡς πρὸς εἰσαγωγὴν ἐλέχθη. προοιμίων δὲ ἐνταῦθα συνεστραμμένων, ὅπουγε μηδὲ τῆς ἄλλης φράσεως τοιαύτης χρεία, οὐ δεησόμεθα, ἀλλ' οὐδὲ διηγήσεων σωζουσῶν τὴν ἀκολουθίαν· εἰ δὲ μή, λύοιτο ἂν τὸ πάθος· οὐδὲ ἀγωνιστικὸς ἔσται ὁ λόγος, ἀλλὰ μόνον κινῶν τὸν ἀκροατὴν εἰς ἡδονὴν ἢ εἰς δάκρυον.

www.libtool.com.cn

ΟΡΟΣ ΕΚΦΡΑΣΕΩΣ.

Τινὲς μετὰ τὴν σύγκρισιν εὐθὺς τὴν ἔκφρασιν τάξαντες οὕτως ἔγραψαν· ἔστι μὲν ἡ τῶν ἐφεξῆς προγυμνασμάτων τάξις ἀδιάφορος, καὶ ἄλλων ἄλλως τασσόντων, οὐδὲν δὲ κωλύει, τὴν ἔκφρασιν ἐν μελέτῃ ποιεῖσθαι εὐθὺς μετὰ τὴν σύγκρισιν· ἐπειδὴ γὰρ καὶ ἐπὶ τῆς συγκρίσεως ἔφαμεν εἶναι ἄδειαν τῆς ἀνειμένης φράσεως, καὶ ἐπὶ ταύτης δὲ μᾶλλον ἐκείνῳ τῷ εἴδει τῆς ἀπαγγελίας χρῆσθαι παραδέδοται, εἰκότως ἀκολουθεῖν δεῖ τῇ συγκρίσει τὴν ἔκφρασιν. ἀλλ' ἐκεῖνοι μὲν οὕτως· ἡμεῖς δὲ τῷ κεκρατηκότι ἔθει ἑπόμενοι μετὰ τὴν σύγκρισιν μὲν τὴν ἠθοποιΐαν ἐτάξαμεν, ταύτην δὲ τὴν ἔκφρασιν μετετάξαμεν, καί φαμεν· ἔκφρασίς ἐστι λόγος ἀφηγηματικός, ὑπ' ὄψιν ἐναργῶς ἄγων τὸ δηλούμενον. πρόσκειται δὲ ἐναργῶς, ὅτι κατὰ τοῦτο μάλιστα τῆς διηγήσεως διαφέρει· ἡ μὲν γὰρ ψιλὴν ἔχει ἔκθεσιν πραγμάτων, ἡ δὲ πειρᾶται θεατὰς τοὺς ἀκούοντας ἐργάζεσθαι. ἐκφράζομεν δὲ τόπους, χρόνους, πρόσωπα, πανηγύρεις, πράγ-

Digitized by Google

ματα· τόπους μέν, οἷον λειμῶνας, λιμένας καὶ ὅσα τοιαῦτα· χρόνους δέ, οἷον ἔαρ, θέρος· πρόσωπα δέ, οἷον ἱερέας, Θερσίτας καὶ τὰ τοιαῦτα· πανηγύρεις δέ, ὡς Παναθήναια, Διονύσια καὶ τὰ ἐν αὐτοῖς δρώμενα· καὶ ὅλως περὶ πολλὰ τῷ προγυμνάσματι τούτῳ χρησόμεθα. διαφέρει δὲ καὶ κατ' ἐκεῖνο τῆς διηγήσεως, ὅτι ἡ μὲν τὰ καθόλου, ἡ δὲ τὰ κατὰ μέρος ἐξετάζει· οἷον διηγήσεως μέν ἐστιν εἰπεῖν· ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι· ἐκφράσεως δέ, ὅτι τοιᾶδε καὶ τοιᾶδε ἑκάτεροι παρασκευῇ ἐχρήσαντο καὶ τῷδε τῷ τρόπῳ τῆς ὁπλίσεως. δεῖ δέ, ἡνίκα ἂν ἐκφράζωμεν καὶ μάλιστα ἀγάλματα τυχὸν ἢ εἰκόνας ἢ εἴ τι ἄλλο τοιοῦτον, πειρᾶσθαι λογισμοὺς προστιθέναι τοῦ τοιοῦδε ἢ τοιοῦδε παρὰ τοῦ γραφέως ἢ πλάστου σχήματος, οἷον τυχὸν ἢ ὅτι ὀργιζόμενον ἔγραψε διὰ τήνδε τὴν αἰτίαν, ἢ ἡδόμενον, ἢ ἄλλο τι πάθος ἐροῦμεν συμβαῖνον τῇ περὶ τοῦ ἐκφραζομένου ἱστορίᾳ· καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως πλεῖστα οἱ λογισμοὶ συντελοῦσιν εἰς ἐνάργειαν. ἀρξόμεθα δὲ ἀπὸ τῶν πρώτων, καὶ οὕτως ἐπὶ τὰ τελευταῖα ἥξομεν· οἷον εἰ ἄνθρωπον χαλκοῦν ἢ ἐν γραφαῖς ἢ ὁπωσοῦν ἔχομεν ἐν τῇ ἐκφράσει ὑποκείμενον, ἀπὸ κεφαλῆς τὴν ἀρχὴν ποιησάμενοι βαδιοῦμεν ἐπὶ τὰ κατὰ μέρος· οὕτω γὰρ πανταχόθεν ἔμψυχος λόγος γίνεται. πέντε δ' ὄντων τῶν τοῦ λόγου μερῶν, ὡς πολλάκις εἴρηται, προοιμίου, διηγήσεως, ἀντιθέσεως, λύσεως, ἐπιλόγου, γυμνάσει ἡμᾶς ἡ ἔκφρασις πρὸς τὸ διηγηματικὸν μέρος, πλὴν ὅσον οὐ ψιλὴν ἀφήγησιν ποιουμένη, ἀλλὰ παραλαμβάνουσα τὰ ἐργαζόμενα τὴν ἐνάργειαν καὶ ὑπ' ὄψιν ἡμῖν ἄγοντα ταῦτα, περὶ ὧν εἰσιν οἱ λόγοι, καὶ μόνον οὐ θεατὰς εἶναι παρασκευάζοντα. τριῶν δὲ ὄντων εἰδῶν, τοῦ τε δικανικοῦ λέγω καὶ πανηγυρικοῦ καὶ συμβουλευτικοῦ, ἐν πᾶσιν ἡ χρεία τοῦ προγυμνάσμα-

www.libtool.com.cn

Digitized by Google

τος τούτου εὑρεθήσεται· καὶ γὰρ συμβουλεύοντες ἀνάγκην ἔχομεν πολλάκις ἐκφράσαι τοῦτο, περὶ οὗ ποιούμεθα τοὺς λόγους, ἵνα μᾶλλον πείσωμεν, καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι δεόμεθα τῆς ἐκ τοῦ ἐκφράζειν αὐξήσεως, καὶ μέντοι καὶ ἐν πανηγυρικαῖς ὑποθέσεσιν ἱκανὸν τὸ τῆς ἐκφράσεως ἡδονὴν ἐμποιῆσαι τοῖς ἐν θεάτροις καθημένοις. ἔστι δὲ ὡς ἐπὶ τὸ πολὺ τοῦτο τὸ προγύμνασμα τῶν ὡς μερῶν παραλαμβανομένων· οὐδὲν δὲ ἴσως ἂν κωλύοι καὶ ὡς ἀρκοῦσάν ποτε αὐτὴν πρὸς ὅλην ὑπόθεσιν ἐργάσασθαι, ὡς ἐπὶ τὸ πλεῖστον μέντοι τῶν μερῶν ἐστι. φράσεως δὲ ποικίλης ἐν αὐτῇ δεόμεθα· πρὸς γὰρ τὴν ὑποκειμένην ὑπόθεσιν ἁρμόζειν δεῖ καὶ τὸ τῆς ἀπαγγελίας εἶδος, ἢ γλυκαίνοντας ἢ ἐκτραγῳδοῦντας τὰς συμφορὰς ἢ ὅλως ἄλλο τι παριστάντας πάθος· ἔστι γὰρ ὅτε εὐθυμίαν μόνην ἐμποιῆσαι θέλομεν, ἔστι δὲ ὅτε δεινῶσαί τε καὶ αὐξῆσαι, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας τὸ κατὰ τῶν Φωκέων πάθος ὑπ' ὄψιν ἄγειν πειρᾶται διὰ τοῦ λόγου.

ΟΡΟΣ ΘΕΣΕΩΣ.

Περὶ τῆς διαιρέσεως ἐν τῇ καλουμένῃ θέσει πολλὴ 13
τοῖς τεχνογράφοις γέγονεν ἀμφισβήτησις· ἀλλ' ἡμεῖς πρότερον, τί ἐστι θέσις, εἰπόντες τότε τῆς διαιρέσεως ἁψόμεθα. θέσις τοίνυν ἐστὶ πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, ἄνευ προσώπων ὡρισμένων καὶ πάσης ἑτέρας περιστάσεως. εἴρηται δὲ λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, οὐχ ὅτι καὶ τὰ ἄλλα ἄνευ λόγου ἐπισκεπτόμεθα, ἀλλ' ὅτι τοῦτο περὶ μόνην τὴν ἐξέτασιν εἴληπται τὴν ἀπὸ τοῦ λόγου. καὶ οὐδεμίαν ἔχει περίστασιν ἑτέραν, ἐπεὶ προστεθείσης περιστάσεως

Digitized by Google

τελεία ὑπόθεσις γίνεται. ταύτῃ γάρ τοι καὶ διαφέρει τῆς ὑποθέσεως ἡ θέσις, ὅτι ἡ μὲν ἄνευ περιστάσεως, ἡ δὲ μετὰ περιστάσεως συνίσταται. οἷον θέσις ἐστίν, εἰ γαμητέον· ἐνταῦθα αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ζητοῦμεν, οὐ ζητοῦντες, εἰ τονδε δεῖ γαμεῖν, ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ μόνον, εἰ τὸ πρᾶγμα ἀγαθὸν ἢ μὴ τοιοῦτον· εἰ μέντοιγε ἐθελήσομεν τυχὸν ἀναπλάσαι, ὅτι ἔχων τις τρεῖς παῖδας τούτους ἀποβαλὼν βουλεύεται τὴν γυναῖκα οὐκ οὖσαν ἔτι τεκνοποιὸν ἀποπέμψας ἑτέραν γῆμαι, ὑπόθεσις γίνεται. τοῦτο δὲ τὸ προγύμνασμα ἐστὶ μὲν τοῦ συμβουλευτικοῦ εἴδους, διαιρεῖται δὲ κατὰ τοὺς ἀκριβεῖς τεχνογράφους τοῖς πανηγυρικοῖς κεφαλαίοις. οὐ λέληθε γάρ με, ὅτι ἕτεροι καὶ ἑτέροις τισὶν ἐχρήσαντο κεφαλαίοις, οἱ μὲν τοῖς τελικοῖς καλουμένοις, τινὲς δὲ καὶ ἄλλοις, καινὰ αὐτοῖς ὀνόματα περιθέντες, περὶ ὧν ἰστέον, λέγω δὲ τῶν τοῖς καινοῖς ὀνόμασι χρησαμένων, ὅτι πάντα ἐκεῖνα, τὰ ὡς καινὰ κεφάλαια παρά τινων ὀνομαζόμενα ἐνθυμήματά ἐστι, συνιστάντα τὸ ἐν τῷ πράγματι χρήσιμον, οἷον ὃ λέγουσι κατὰ φύσιν ἢ κατὰ νόμον ἢ κατὰ ἔθος ἢ κατὰ τὸ ὅσιον τὸ περὶ τοὺς τελευτήσαντας ἢ ὅσιον τὸ περὶ τὴν πατρίδα· τοιαῦτα γάρ τινα κεφάλαια ἐξευρήκασι. δῶμεν οὖν εἶναι τὴν ἐξέτασιν ἡμῖν περὶ τοῦ εἰ γαμητέον· ἐνταῦθα τοίνυν, εἰ ἀρξαίμεθα εἰ κατὰ φύσιν τὸ πρᾶγμα ζητεῖν, εἰ κατ' ἔθος, εἰ κατὰ νόμον, εἰ ὅσιον περὶ τὴν πατρίδα, εἰ ὅσιον περὶ προγόνους, τί ἄλλο ζητοῦμεν, ἢ ὅσα ἂν ἀγαθὰ ἐκ τοῦ γάμου γένοιτο, ἅπερ ἂν εἴη ἐνθυμήματα τῶν ἐγκωμιαστικῶν κεφαλαίων ἑνός· εἰ δὲ ζητοίημεν, τίνες οἱ εὑρόντες πρῶτοι καὶ χρησάμενοι, τί ἕτερον ἢ ἐροῦμεν ἐνθυμήματα, ἅπερ ἀντὶ τοῦ γένους παραληψόμεθα· ὥστε μοι δοκοῦσι καλῶς ποιεῖν οἱ τοῖς ἐγκωμιαστικοῖς αὐτὸ διαιροῦντες

www.libtool.com.cn
Digitized by Google

κεφαλαίοις, ἵνα ᾖ μὲν τὸ προγύμνασμα εἶδους συμβουλευτικοῦ, ὕλης δὲ πανηγυρικῆς καὶ διαιρέσεως· καὶ γὰρ ἐν αὐταῖς ταῖς τελείαις κατὰ συμβουλὴν ὑποθέσεσιν ἢ προτρέποντες ἢ ἀποτρέποντες δι' ἐπαίνων ἢ ψόγων αὐτὸ κατασκευάζειν εἰώθαμεν. ὥστε μοι καὶ ἐνταῦθα ἐπαινετοὶ δοκοῦσιν οἱ οὕτω διαιροῦντες. παραλαμβανέσθω οὖν καὶ ἐν αὐτῇ προοίμιον ἓν ἢ δύο ἢ καὶ πλείονα, τῆς χρείας τῷ λέγοντι τὸ μέτρον ὁριζούσης, ἢ σύστασιν ἢ διαβολὴν ἔχοντος τοῦ πράγματος, ἢ ἄλλο τι κατασκευάζοντος, ὧν ἐν προοιμίοις εἰώθασιν οἱ ῥήτορες ποιεῖν. μετὰ δὲ ταῦτα ἰέναι δεῖ ἐπὶ τὰ ἀπὸ τοῦ γένους· παραληψόμεθα δ' ἐν αὐτοῖς ἐν τάξει προγόνων τοὺς εὑρόντας καὶ πρώτως χρησαμένους ἢ θεοὺς ἢ ἀνθρώπους. μετὰ δὲ ταῦτα ἀντὶ τῶν ἐπιτηδευμάτων τάξομεν τὰ περὶ τὴν ἄσκησιν τοῦ πράγματος γινόμενα, ἀντὶ δὲ πράξεων τὰς ἐξ αὐτοῦ ὠφελείας, καὶ οὕτω πλατυνοῦμεν τὴν ἐργασίαν. διαφέρει δὲ ἡ ἐνταῦθα πανηγυρικὴ διαίρεσις τῆς τοῦ ἐγκωμίου διαιρέσεως, ὅτι ἐν ἐκείνῳ μὲν ἀντίθεσις οὐκ ἐμπίπτει, εἰ μὴ ἄρα ἐξ ἰδιαζούσης ὕλης, ἐνταῦθα δὲ πάντως ἐμπεσεῖται ἀντίθεσις, ἔχουσα μὲν ἐξέτασιν τῶν συμβαινόντων τε καὶ παρεπομένων τῷ πράγματι κακῶν, λυομένη δὲ παραδειγματικῶς καὶ ἐνθυμηματικῶς· παραδειγματικῶς μὲν ἐκ τῶν ἑτέροις πράγμασι παρακολουθούντων κακῶν, οὐκ ὄντων δ' ἱκανῶν ἀποτρέπειν τοὺς θέλοντας ἐπ' αὐτὰ ἰέναι, καὶ διὰ τοῦτο τοῖς ἀγαθοῖς πλείοσι μᾶλλον ἢ τοῖς κακοῖς προσέχοντας· ἐνθυμηματικῶς δὲ ἐκ τῶν ἀποδείξεων τῶν δεικνυουσῶν καὶ ἐν αὐτῷ τὰ ἑπόμενα καλὰ τοῖς ἄκρον κατωρθωκόσιν· οἷον τυχόν, εἰ γαμητέον, μετὰ τὸ εἰπεῖν, πόσα ἐκ γάμων γίνονται ἀγαθά, τικτομένων ἑτέρων τῶν εἰς πλῆθος αὐξόντων, εἰ τύχοι, ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις, καὶ παρασκευαζόντων τοὺς

www.libtool.com.cn
Digitized by Google

τρόποις διαφόροις τὴν εὔνοιαν ἐπιδειξομένους, καὶ μετὰ τὸ δεῖξαι, ὅτι καὶ τοῖς γένεσιν ἡ διαδοχὴ σώζεται, καὶ ὅτι πένητες τεχθήσονται οἱ γηροβοσκήσοντες πλουσίοις, οἱ τὰς οὐσίας φυλάξοντες, καὶ μετὰ πολλὰ τοιαῦτα τὰ θετικὰ καλούμενα ἀντιθήσομεν, τὰς μοιχείας τε καὶ τὰς τῶν παίδων ἀποβολάς, αἵτινες λυθήσονται ἐκ ναυαγιῶν μὲν τῶν οὐκ εἰρξασῶν τοὺς πλέοντας, αὐχμῶν δὲ καὶ ὄμβρων τῶν οὐ κωλυσάντων γεωργίας, ἐπαγομένων τούτοις καὶ ἐπὶ τῶν παίδων ἀριστείαις στεφάνων, εἰκόνων, σιτήσεων, εὐκλείας ὅλως καὶ πάντων τῶν δεικνύντων εὐδαίμονα τοῖς μὴ ἐναντίας πειραθεῖσι τύχης τὸν βίον ἅπαντα. τοῦ δὲ κοινοῦ τόπου διαφέρει· καὶ γὰρ ἐκεῖ αὔξησίς ἐστι πράγματος, καὶ κατὰ τοῦτο ἔστι τις αὐτοῖς κοινωνία· διαφέρει οὖν, ὅτι ἐν μὲν ἐκείνοις ὁμολογούμενόν ἐστι τὸ πρᾶγμα, περὶ οὗ οἱ λόγοι, ἐνταῦθα δὲ ἀμφισβητούμενον, διόπερ καί, ἅπερ ἐπαινέσομεν, διαβάλλειν οὐ κωλυθησόμεθα· καὶ ἐν ἐκείνῳ μὲν δικαστῶν ψῆφον ἐκινοῦμεν, ἐνταῦθα δὲ ὡς βουλῆς οὔσης μόνης καὶ οὐδενὸς ἀκολουθοῦντος κακοῦ παρὰ δικαστῶν τὴν ἐξέτασιν ποιησόμεθα· κἀκεῖ μὲν καὶ πρόσωπον καὶ τὸ ἁμαρτῆσαι ὑπόκειται, ἐνταῦθα δὲ ἀπερίστατος ἡ τοῦ πράγματος ὑπάρχει ζήτησις μόνου. πολλὴ δὲ ἡ τοῦ προγυμνάσματος τούτου χρῆσις καὶ πρὸς πολλὰ ὠφέλιμος, εἴγε τέως μὲν τῶν δύο εἰδῶν τῆς ῥητορικῆς, τοῦ τε ἐγκωμιαστικοῦ λέγω καὶ τοῦ συμβουλευτικοῦ, τὴν μελέτην ἔχει, πάντων δὲ τῶν τοῦ λόγου μερῶν ἐστι δεκτική, προοιμίων τε λέγω καὶ διηγήσεων, τῶν ἐν τῇ ἐξετάσει τε λέγω τῶν ἀγαθῶν τῶν περὶ τὸ προκείμενον πρᾶγμα, καὶ ἀντιθέσεων καὶ λύσεων, οἷς δεῖ τοὺς ἐπιλόγους ἕπεσθαι, καθολικὰς συμβουλὰς ἔχοντας καὶ παρακλήσεις ἐπὶ τὸ προκείμενον, ἵνα ἐκ τούτου τὸ τῆς συμβουλῆς ἴδιον διασώζοιτο. ἔστι δὲ

καὶ αὕτη τῶν ὡς μερῶν παραλαμβανομένων μόνον· ὅλην γὰρ οὐκ εἰκὸς γενέσθαι τὴν θέσιν τὴν οὖσαν ἀπερίστατον καὶ κατ' αὐτὸ τοῦτο τῶν τελείων ὑποθέσεων ἐλαττουμένην, πλὴν εἰ μὴ εἴποι τις εἶναι ὅλην διὰ τὸ πάντα τὰ μέρη τοῦ λόγου ἐπιδέχεσθαι. τῶν δὲ θέσεων αἱ μέν εἰσι φυσικαί, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανός, ἢ εἴ τις ἑτέρα τοιαύτη θειοτέραν ἔχουσα ζήτησιν, αἱ δὲ πολιτικαί, οἷον ἡ ἐξετασθεῖσα· ἀλλὰ τῆς μὲν τῶν φυσικῶν διαιρέσεως φροντιοῦσιν οἱ περὶ φιλοσοφίαν διατρίβοντες, ἡ δὲ τῶν πολιτικῶν διαίρεσις δεδήλωται.

www.libtool.com.cn

ΟΡΟΣ ΝΟΜΟΥ ΕΙΣΦΟΡΑΣ.

Νόμος ἐστὶ δόγμα πλήθους ἢ ἀνδρὸς ἐνδόξου πολιτικοῦ, καθ' ὃ ἅπασι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει. τῶν δὲ νόμων οἱ μέν εἰσι κοινοί, οἱ δὲ ἴδιοι· κοινοὶ μὲν οἱ περὶ τῶν τῆς πόλεως καθόλου, ἴδιοι δὲ οἱ περὶ τῶν πρὸς ἀλλήλους συμβολαίων· καὶ πάλιν τῶν νόμων οἱ μὲν ἀγαθῶν ἀμοιβὰς εἰσηγοῦνται, οἱ δὲ ἀδικημάτων τιμωρίαν ὁρίζουσι. διαφέρει δὲ ψήφισμα νόμου, κατὰ πάντα κοινωνοῦν αὐτῷ, μόνῳ ἑνί, ὅτι τὸ μὲν ψήφισμα πρόσκαιρόν ἐστιν, ὁ δὲ νόμος πρὸς ἅπαντα τὸν χρόνον ἀναφέρεται. διαφέρει δὲ ἡ τοῦ νόμου εἰσφορὰ τοῦ κοινοῦ τύπου οὐ μόνον, οἷς καὶ τῆς πραγματικῆς, ἀλλ' ὅτι καὶ ἐκεῖ μὲν ὁμολογουμένου πράγματός ἐστι καὶ ἐξελεγμένου καταδρομή, ἐνταῦθα δὲ ἔτι ἀμφισβητουμένου. διαιρεῖται δέ, ὡς ὁ τεχνικός φησι, τοῖς τελικοῖς κεφαλαίοις· οἱ γὰρ ἄλλοις βουλόμενοι διαιρεῖν αὐτὴν κεφαλαίοις ἔλαθον ἑαυτοὺς τὰς ἐνθυμηματικὰς ἀποδείξεις καινοῖς ὀνόμασι κοσμήσαντες, καὶ ἐπὶ τὴν τῶν κεφαλαίων προσάγοντες τάξιν· τοῦτο δὲ καὶ ἐν πραγματικῇ τινὲς πεπόνθασι. διαιρεῖται δὲ τὰ τελικὰ κεφά-

Digitized by Google

λαια εἰς ἐγγραφον καὶ ἄγραφον· ἔγγραφον μὲν τὸ ἐκ νόμου, ἄγραφον δὲ τὸ ἐξ ἔθους. τούτων δ' ἡ τάξις ἐν μὲν πεπλασμένῃ ὑποθέσει, ὡς εἰκός, εὑρεθήσεται, ἐν δὲ ἀληθεῖ πραγμάτων ὑποθέσει τῆς τάξεως κριτὴς ὁ ἀγωνιζόμενος, ὥσπερ πολλάκις καὶ Δημοσθένης ποιεῖ, ταῖς χρείαις τὴν τάξιν συμμεταβάλλων τῆς διαιρέσεως. γυμνασία δὲ γίγνεται τῶν νόμων ἐν εἰσηγήσει μὲν καὶ ἀντιλογίᾳ, ὅταν πρῶτον εἰσφέρηται, ἐν κατηγορίᾳ δὲ καὶ ἀπολογίᾳ, ὅταν πάλαι κειμένου ἐξέτασις γίνηται· καθόλου γὰρ ἢ τὸν ὄντα διαβάλλομεν ἢ συνιστῶμεν, ἢ τὸν μὴ ὄντα εἰσφέρομεν ἢ εἰσφέρεσθαι κωλύομεν. τὸ παρὸν προγύμνασμά ἐστι πρωτοτύπως τοῦ δικανικοῦ· γένοιτο δ' ἄν τις καὶ τοῦ συμβουλευτικοῦ συγγένεια πρὸς αὐτό, ἀλλὰ καὶ τοῦ πανηγυρικοῦ βραχεῖά τις, καθὸ ἐπαινοῦντες ἢ ψέγοντες ἢ κυροῦμεν ἢ ἀκυροῦν ἐθέλομεν. ἔτι δὲ καὶ τοῦ πολιτικοῦ τῶν μερῶν ἔχει γυμνασίαν προοιμίων καὶ ἀγώνων καὶ ἐπιλόγων μόνων· διηγήσεων δέ, οἷα μὴ μετὰ περιστάσεως οὔσης καὶ περὶ τῶν μελλόντων βουλῆς προκειμένης, οὐ σφόδρα ἐνταῦθα δεόμεθα. ἔστι δὲ οὔτε τῶν ὡς μερῶν κυρίως οὔτε τῶν ὅλων· οὔτε γὰρ ὅλον ἐστὶ διὰ τὸ ἀπερίστατον οὔτε μέρος διὰ τὸ μεῖζον ἢ κατὰ μέρος ὑπάρχειν· μᾶλλον δ' ἂν εἴη τῶν μερῶν. φράσεως δὲ συνεστραμμένης ἤδη χρεία καὶ δυνατωτέρας, οἷα δὴ οὐ πρὸς θέατρον ὁρῶντος τοῦ λόγου, οὐδὲ πάθος κινοῦντος, ἀλλὰ δεομένου δεινότητος καὶ ἐργασίας, ὅσης καὶ ἐν πραγματικῇ ἐπιμελεῖσθαι εἰώθαμεν. τοσαῦτα περὶ τούτων τὰ νῦν ὡς ἐν εἰσαγωγῇ λεκτέον.

www.libtool.com.cn

Digitized by Google

References to Vol I are to the 1853 edition (K D 4834)

INDEX RHETORICUS.*)

www.libtool.com.cn

Ἀδιάπτωτον I, 282, 26.

ἀθροισμός, figura I, 274, 3; III, 120, 24.

αἴνιγμα, tropus III, 193, 13; 209, 12; 224, 27; 236, 20; 253, 7.

αἴτημα I, 207, 3.

αἰτιολογία, figura III, 17, 3; 162, 4; 175, 23.

ἀκμή II, 308, 24; *ἀκμαῖον σχῆμα* I, 359, 11; II, 253, 25; III, 114, 17.

ἀληθῆς καὶ ἐνδιάθετος λόγος II, 375, 13.

ἀλληγορία I, 307, 8; 322, 25; III, 70, 3; 144, 13; 193, 8; 207, 18; 215, 21; 234, 26; 244, 13.

ἀλλοίωσις sive *ἀλλαγή*, figura III, 33, 15; 80, 18; 168, 3.

ἀμφιβολία I, 212, 17; II, 173, 3; 454, 16; III, 203, 24; 223, 14; 243, 7; *ἀμφιβ. κατὰ τὴν κοινὴν τοῦ ἀδιαιρέτου καὶ διηρημένου* II, 81, 31; *ἀμφιβ. ἐκ προσῳδίας ἢ διὰ στάσεως συλλαβῶν* II, 141, 20.

ἀμφιδιόρθωσις, figura III, 15, 20; 161, 19; 175, 4.

ἀναδίπλωσις, figura III, 46, 15; 165, 20; 182, 22.

ἀναίρεσις, figura II, 307, 3; III, 125, 13; 130, 8.

ἀνακεφαλαίωσις sive *ἀνάμνησις* I, 384, 17; 440, 17; 454, 14; 470, 5; II, 436, 8; *ἀνακ. κατὰ στάσιν, καθ' ὑπόθεσιν, κατ' ἐπιχείρησιν, κατὰ τόπον* I, 455, 3.

ἀνακλητικόν I, 406, 10.

ἀνασκευή, progymnasma II, 8; 27; III, 466.

ἀναστροφὴ τῆς τάξεως II, 86, 7; tropus III, 48, 18; 133, 20; 197, 9; 218, 25; 239, 1; 248, 6; etiam *ἐπαναδίπλωσις* nominata III, 70, 12.

ἀνθυπαλλαγή, tropus III, 276, 13.

ἀνταπόδοσις III, 104, 8; 212, 24; 242, 5; 254, 7.

ἀντέγκλημα, status causae II, 139, 32; *ἀντεγκληματικά* Γ, 343, 21; cf. *ἀντίθεσις*.

ἀντεισαγωγή, figura III, 25, 26; 164, 3; 180, 13.

ἀντεναντίωσις, figura III, 37, 30; 169, 32; 187, 9.

τὰ πρὸς τὸν ἀντίδικον, pars orationis I, 158, 10; 231, 25.

ἀντίθεσις, status causae II, 139, 24; 161, 14; argumenta obiecta I, 360, 4; III, 450, 26; idem quod figura *ἀντιθέτου* I, 212, 24; II, 236, 1; 439, 14; III, 36, 26; 67, 3; 78, 20; 98, 26; 112, 3; 169, 23; 186, 16.

ἀντίληψις, status causae II, 139, 20; 146, 1; 157, 6.

ἀντιμετάθεσις sive *σύγκρουσις* sive *πλοκή* III, 37, 15; 235, 29; cognata *ἀντιμεταβολῇ* III, 37, 23.

*) Hos indices lectorum usui accommodatos debemus industriae doct. viri Gulielmi Christii, professoris Gymn. Monacensis.

Digitized by Google

ἀντινομία, status causae II, 141, 7; 169, 1.
ἀντιπαράστασις I, 366, 26; II, 146, 14; 209, 8.
ἀντιπίπτοντα I, 336, 20; 346, 32; 350, 23; 410, 10.
ἀντιστροφή sive ἐξ ἀντιστροφῆς, figura II, 335, 30; III, 29, 26; 50, 3; 74, 1; 102, 24; 132, 4; 166, 3; 182, 28.
ἀντίφρασις sive τὸ ἀπὸ τοῦ ἀντικειμένου σχῆμα III, 66, 6; 204, 3; 212, 6; 222, 19; 233, 10; 251, 4.
ἀντονομασία III, 134, 15; 204, 23; 213, 4; 223, 1; 234, 12; 250, 3.
ἀξίωμα λόγου II, 286, 14.
ἀπαγγελία, narratio I, 218, 23; 220, 3, 17; 231, 8; elocutio II, 4, 12; 74, 8; 101, 3.
ἀπαγωγὴ εἰς ἄτοπον I, 369, 27.
ἀπαρίθμησις, figura III, 121, 5; cf. μερισμός.
ἀπόδειξις, pars orationis I, 445, 16; 467, 14; II, 411, 6; ἀποδεικτικὸς λόγος I, 60, 31.
ἀπόδοσις sive ἀξίωσις II, 187, 11.
ἀποκοπή III, 167, 22; 198, 18.
ἀπολελυμένον, figura III, 94, 30.
ἀπολογία I, 14, 16; 39, 3; 233, 24; ἀπολογητικὸν εἶδος I, 189, 27.
ἀπομνημόνευμα II, 6, 5; 96, 23.
ἀποποίησις, figura III, 53, 10.
ἀποσιώπησις, figura I, 358, 26; 413, 16; III, 22, 6; 50, 10; 61, 25; 95, 10; 142, 9; 163, 5; 178, 3.
ἀπόστασις, figura I, 359, 11; II, 307, 5; 462, 16; III, 125, 23.
ἀποστροφή, figura III, 23, 28; 49, 29; 54, 7; 61, 28; 88, 29; 96, 3; 123, 17; 163, 13.
ἀποτροπή I, 14, 14; 19, 17; 174, 30; 223, 19.
ἀποφαντικὸν σχῆμα sive σχῆμα κατ' ἀπόφασιν II, 462, 11; III, 144, 8.
ἀποφθέγματα λακωνικά I, 101, 3.
κατ' ἄρσιν καὶ θέσιν σχῆμα II, 328, 6; III, 129, 11.
τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους II, 145, 15; 222, 16; 227, 28.
ἀστεῖα I, 138, 14; 208, 31; ἀστεϊσμός, figura III, 98, 12; 214, 5; 222, 235, 26; 291, 1; etiam προσποίησις dictus III, 206, 11.
ἀσύνδετον σχῆμα II, 435, 25; III, 45, 30; 77, 27; 102, 19; 169, 18; 186, 11; idem quod διάλυσις III, 32, 29.
αὔξησις I, 38, 18; 156, 20; 187, 3; 260, 26; 301, 26; 326, 24; 440, 11; 457, 5; II, 441, 6; 505, 11.
αὐτοσχεδία, figura III, 66, 28.
ἀφαίρεσις III, 80, 13; 167, 20; 198, 18.
ἀφέλεια et ἀφελὴς λόγος I, 136, 7; II, 351, 6; 512, 6.
ἀφήγησις distincta a διήγησις II, 3, 19; a κατάστασις I, 353, 23.
ἀφορισμός II, 467, 20
ἄχαρις χαρακτὴρ III, 327, 18.

Βαρβαρισμός III, 9, 21.
βαρύτης I, 333, 20; 334, 28; 343, 17; 408, 11; II, 384, 28; 469, 24.
βάσανος I, 58, 31; 202, 28; 451, 29.
βάσις II, 187, 12.
βεβαίωσις I, 220, 23; 231, 12.
βίαιον II, 210, 29.
βλαίσωσις I, 110, 28.
βραχύτης et βραχυλογεῖν I, 209, 19; II, 500, 16; tropus III, 202, 16.

Γενεαλογία I, 225, 27; γενεαλογικὸς ὕμνος III, 340, 1; γενεθλιακὸς λόγος III, 412, 3.
γλαφυρὸς χαρακτὴρ III, 290, 23.

www.libtool.com.cn

Digitized by Google

γλυκύτης II, 357, 4; 499, 17; 534, 8.
γλῶσσα I, 124, 8; 127, 11.
γνώμη, progymnasma II, 6; 25; 96; III, 463, 24; sententia I, 97, 14; 99, 17; 128, 12; 469, 15; II, 459, 15; γνώμη τοῦ νομοθέτου II, 154, 2; γνωμολογία I, 327, 9.
γνωσιγραφία I, 389, 12.
γοργότης et γοργὰ σχήματα I, 374, 19; II, 343, 5; III, 147, 27.
γρῖφος III, 296, 24.

Δεικτικὸν σχῆμα III, 124, 20.
δεινότης II, 388, 24; 426, 2; 497, 3; III, 214, 13.
δείνωσις I, 406, 8.
δευτερολογία idem quod ἀνακεφαλαίωσις II, 148, 24; altera oratio in eadem causa II, 448, 17.
δήλωσις I, 220, 4, 17.
δημηγορία et δημηγορικὸν εἶδος I, 5, 4; 174, 15; 214, 16.
διαβεβαίωσις, figura III, 96, 19.
διαβολή I, 152, 4; 334, 6.
διαγραφή I, 280, 28.
διακοπή I, 374, 21.
διαλεκτική I, 3, 1; 5, 25; 7, 4; διαλεκτικὸν σχῆμα III, 67, 12.
διάλυσις, figura III, 99, 10; 276, 24.
διαπόρησις, figura I, 358, 20; 406, 3; III, 24, 21; 54, 1; 61, 13; 163, 18; 179, 11.
διάρθρωσις I, 438, 19.
διασκευὴ ἢ ἡ τῶν καλουμένων χωρίων ἀγωγή II, 231, 9; 233, 6.
διάστασις II, 464, 16.
διασυρμός, figura III, 26, 4; 54, 18; 79, 27; 92, 15; 134, 21; 180, 29; 236, 10.
διατύπωσις, figura I, 457, 12; III, 25, 12; 51, 18; 79, 15; 163, 30; 180, 4.
διαφορά, figura III, 109, 15.
διήγημα, progymnasma II, 4; 22; 78; III, 455.
διήγησις, pars orationis I, 153, 22; 220, 21; 303, 18; 318, 25; 321, 10; 353, 3; 433, 23; 465, 27; II, 189, 4; 197, 1; 449, 1; III, 450, 22; διηγ. ἐγκωμιαστικὴ et παθητικὴ I, 358, 8, 18; ἁπλῆ et ἐνδιάσκευος II, 199; γενικὴ et εἰδικὴ I, 435; σφοδρὰ et ἠθικὴ I, 359; ἀντιδιήγησις I, 435, 22; παραδιήγησις I, 435, 19; 466, 19; προδιήγησις I, 467, 1; II, 189, 8; ἐπιδιήγησις I, 435, 28; ὑποδιήγησις I, 467, 7.
διθύραμβος sive ἰόβακχος III, 331, 22.
δικαιολογία, status causae II, 139, 16.
δικανικὸν γένος I, 14, 13; 94, 21; 174, 16; 228, 24; 463, 7; II, 61, 23; 402, 17; 502, 17; III, 1, 11; 450, 5; etiam δικολογία vocatum I, 5, 10.
διλήμματον I, 376, 25; II, 250, 1; III, 115, 19.
διόρθωσις, figura III, 95, 17.
διπλασιασμός, figura I, 406, 11; διπλᾶ ὀνόματα I, 124, 9.
δριμύτης II, 365, 1.

Ἐγκώμιον et ἐγκωμιαστικὸν εἶδος I, 37, 16; 467, 24; II, 61, 22; 186, 10; 225, 7; 463, 11; 501, 32; III, 1, 10; progymnasma II, 11; 35; 109; III, 477; distinctum ab ἔπαινος II, 505, 6; III, 2, 8.
ἔθος I, 382, 9.
εἶδος et ἴδια I, 13, 14; 25, 29; εἰδοποιία σχημάτων I, 270, 6.
εἰδωλοποιία I, 264, 3; II, 44, 28; III, 108, 21; 241, 10.
εἴκασμα sive εἰκασμός i. e. σκῶμμα καθ' ὁμοιότητα III, 92, 27; 236, 15; 280, 29.

www.libtool.com.cn

εἰκονισμὸς ἢ εἰκονογραφία III, 108, 10; 202, 1; 241, 1.
εἰκός I, 11, 21; 192, 23; 321, 17; 324, 1; 446, 11.
εἰκών I, 128, 30; 144, 7; 419, 2; III, 104, 25; 108, 1; 200, 6; 240, 28.
εἰρωνεία I, 208, 14; III, 22, 29; 53, 24; 60, 6; 91, 20; 140, 26; 164, 12; 205, 1; 213, 15; 222, 4; 235, 19; 254, 24.
ἐκβολὴ ἐλέου II, 11, 6; 35, 3; III, 476, 6: ἐκβ. πάθους I, 276, 15; ἐκβ. τοῦ λόγου I, 308, 31.
ἕκλυσις, figurarum genus III, 333, 13; 337, 6.
ἔκπληξις poëseos propria I, 264, 10.
ἔκτασις, tropus III, 198, 8.
ἔκφρασις, progymnasma II, 16; 46; 118; III, 251, 24; 491.
ἔλεγχος I, 199, 29; ἐλεγκτικὸν σχῆμα II, 5, 10; ἡ τῶν ἐλέγχων ἀπαίτησις II, 143, 27.
ἔλεος I, 391, 3; ἀπὸ τοῦ παρὰ τὴν ἀξίαν καλουμένου I, 392, 21; ἀπὸ τοῦ παρ' ἐλπίδα καλουμένου I, 393, 6; 401, 5; ἀπὸ τοῦ τῆς ἐντολῆς τόπου I, 404, 12.
ἔλλειψις I, 437, 9; III, 33, 6; 46, 7; 78, 32; 155, 8; 167, 1; 198, 15; 211, 26; 242, 13; 252, 1; etiam τὸ προσυπακουόμενον dictum III, 221, 20.
ἑλληνίζειν I, 130, 4; ἑλληνισμὸς II, 22, 12.
ἔμφασις, orationis virtus II, 495, 14; figura III, 65, 27; 199, 14; δι' ἐμφάσεως μυστικῶς λεγόμενον III, 144, 27.
ἔνδεια, figurarum genus III, 45, 29; 50, 7.
ἐνέργεια, dicendi virtus I, 139, 13; 141, 14; 264, 10; 439, 10; III, 307, 26; tropus III, 199, 21.
ἐνθύμημα I, 5, 23; 9, 14; 16, 30; 99, 22; 102, 29; 197, 27; 321, 23; 322, 4; 419, 12; 469, 8; II, 219, 25; ἐνθ. φαινόμενον I, 9, 15; 105, 21; 114, 29; 376, 19; δεικτικὸν I, 105, 10; 158, 8; 321, 25; ἐλεγκτικὸν I, 105, 11; 114, 16; 158, 8; 321, 25; γνωμικὸν I, 321, 26; λυτικὸν I, 120, 18; κατασκευαστικὸν I, 120, 19; παραδειγματικὸν I, 321, 26.
ἔνστασις I, 118, 15; 120, 25; II, 146, 13; 209, 18.
ἐξαγγελία I, 304, 26.
ἐξοχή tropus III, 212, 9; 225, 17; 252, 17.
ἐξέτασις I, 190, 28; ἐξεταστικὸν εἶδος I, 238, 1; ἀντεξέτασις I, 351, 22; 405, 10; 457, 11.
ἐπαγγελία I, 352, 26.
ἔπαινος I, 14, 18; 33, 19; 37, 15, 25; progymnasma II, 11; 26; III, 478.
ἐπαλλαγή, figura II, 545, 17.
ἐπανάδοσις III, 46, 25.
ἐπανάληψις, figura I, 358, 28; II, 433, 13; III, 19, 31; 46, 29; 121, 27; 164, 24; 181, 4; 203, 1; 252, 11; 305, 5; etiam ἀναδίπλωσις et παλιλλογία dicta III, 20, 22; 29, 3; 70, 26.
ἐπάνοδος idem quod ἀνακεφαλαίωσις I, 301, 26; 309, 3; 322, 15; figura III, 166, 12; 183, 13; 242, 25.
ἐπαναφορά, figura II, 335, 8; III, 20, 29; 29, 12; 46, 21; 72, 27; 96, 31; 164, 30; 181, 14.
ἐπαύξησις III, 225, 7.
ἐπεμβολή, figura II, 328, 26; III, 132, 26.
ἐπενθύμημα I, 220, 28; II, 221, 1.
ἐπιβατήριος λόγος III, 377, 31.
ἐπίγραμμα i. e. μέρος γραφῆς I, 52, 7.
ἐπιδεικτικὸν γένος, divisum in εἴδη ἐγκωμιαστικὸν καὶ ψεκτι-

www.libtool.com.cn

κόν I, 14, 18; 94, 20; III, 2, 7; 331, 8; cf. γένος πανηγυρικόν.
ἐπιδιόρθωσις, figura III, 15, 5; 51, 6; 62, 17; 95, 30; 142, 22; 161, 15; 174, 11.
ἐπιδρομή — quod nomen ab Ulpiano ὑποστροφῇ inditum est III, 139, 11 — ἐπιτρέχον εἶδος, ἐπιτροχασμός I, 358, 15; II, 325, 23; 345, 13; III, 22, 21; 50, 15; 127, 25; 162, 30; 177, 20.
ἐπιεικὴς καὶ ἠθικὸς λόγος II, 369, 13; III, 148, 16.
ἐπεξευγμένον sive ἐπίζευξις, figura I, 437, 12; III, 99, 22.
ἐπιθαλάμιος λόγος sive γαμήλιος III, 399, 9.
ἐπικερτόμησις, figura et tropus III, 92, 18; 206, 4; 236, 5.
ἐπίκρισις II, 10, 14; cf. ἐπιφώνημα.
ἐπίλογος, pars orationis I, 161, 3; 301, 24; 304, 4; 309, 3; 321, 12; 322, 14; 384, 12; 453, 1; 470, 1; II, 148, 24; III, 450, 32; distinguuntur ἐπίλογοι πρακτικοὶ καὶ παθητικοί I, 453, 18.
ἐπιμέλεια II, 330, 8; 499, 1.
ἐπιμερισμός III, 128, 29.
ἐπιμονή, figura III, 17, 27; 47, 25; 51, 23; 74, 8; 147, 18; 162, 11; 176, 7.
ἐπιμύθιον II, 21, 12.
ἐπιπλοκὴ sive ὑποστροφή, figura III, 139, 19.
ἐπιστολικοὶ λόγοι II, 115, 22; ἐπιστ. χαρακτήρ III, 310, 30.
ἐπίτασις, figura III, 47, 32; 91, 17.
ἐπιτάφιος λόγος II, 109, 23; III, 418, 5.
ἐπιτίμησις ἢ ὑπαλλαγή, figura I, 373, 19; III, 40, 21; 60, 18.
ἐπιτροπή, figura III, 98, 21.
ἐπιφορά, enunciati pars I, 459, 17.
ἐπίφρασις, figura III, 47, 8.
ἐπιφώνημα II, 252, 27; III, 116, 17; 173, 13; 285, 31.
ἐργασία, elaboratio II, 6, 19; 8, 7.
